This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

ia

a

LELAND STANFORD JUNIOR UNIVERSITY
ORGANIZED 1891
STANFORD UNIVERSITY LIBRARIES

Henry W. Prescott
12|16

# ANTHOLOGIA GRAECA

SIVE

# POETARVM GRAECORVM

LVSVS.

EX RECENSIONE BRVNCKII.

TOM. III.

INDICES ET COMMENTARIVM

ADIECIT

FRIEDERICVS IACOBS.

LIPSIAE

IN BIBLIOPOLIO DYCKIO

MDCCXCIV.

PA3458
A3
1794
t.3

# ΟΝΕΣΤΟΥ.

T.II. p.289.

## I.

Οὔτε με παρθενικῆς τέρπει γάμος, οὔτε γεραιῆς.
 τὴν μὲν ἐποικτείρω, τὴν δὲ καταιδέομαι.
εἴη μήτ' ὄμφαξ, μήτ' ἀσταφίς· ἡ δὲ πέπειρος
 ἐς Κύπριδος θαλάμους ὡρία καλλοσύνη.

## II.

Μούσης νουθεσίην φιλοπαίγμονος εὕρετο Βάκχος,
 ὦ Σικυὼν, ἐν σοὶ κῶμον ἄγων Χαρίτων·
δὴ γὰρ ἔλεγχον ἔχει γλυκερώτατον, ἔν τε γέλωτι
 κέντρον· χὠ μεθύων ἀστὸν ἐσωφρόνισε.

## III.

Αμβαίνων Ελικῶνα μέγαν κάμες· ἀλλ' ἐκορέσθης
 Πηγασίδος κρήνης νεκταρέων λιβάδων.
οὕτω καὶ σοφίης πόνος ὄρθιος· ἢν δ' ἄρ' ἐπ' ἄκρον
 τέρμα μόλῃς, ἀρύσῃ Πιερίδων χάριτας.

## IV.

Ασωπὶς κρήνη καὶ Πηγασὶς, ὕδατ' ἀδελφὰ,
 ἵππου καὶ ποταμοῦ δῶρα ποδορραγέα.
χὠ μὲν ἔκοψ' Ελικῶνος· ὁ δὲ φλέβας Ακροκορίνθου
 ἔπληξ'. ὦ πτέρνης εἰς ἴσον εὐστοχίη.

T.II. p.290.

## V.

Αὐτοθελὴς ἥδιστος ἀεὶ πότος· ὃς δ' ἐπ' ἀνάγκῃ,
ὑβριστὴς οἴνῳ τ' ἐστὶ, καὶ οἰνοπότῃ.
τὸν μὲν γὰρ γαίῃ προχέει κρύφα· τὸν δ' ὑπὸ γαίῃ
πολλάκι πρὸς Λήθης ἤγαγε πικρὸν ὕδωρ.
πυλυμεθεῖς χαίροιτε. τὸ δ' ὁππόσον ἡδὺ ποθῆναι,
μέτρον ἐμοὶ πάσης ἄρκιον εὐφροσύνης.

## VI.

Εστην ἐν φόρμιγγι, κατηρείφθην δὲ σὺν αὐλῷ
Θήβη. φεῦ Μούσης ἔμπαλιν ἁρμονίης.
κωφὰ δ' ἐμοὶ κεῖται λυροθελγέα λείψανα πύργων,
πέτροι μουσοδόμοις τείχεσιν αὐτόμολοι,
σῆς χερὸς, Αμφίον, ἄπονος χάρις· ἑπτάπυλον γὰρ
πάτρην ἑπταμίτῳ τείχισας ἐν κιθάρῃ.

## VII.

Αρμονίης ἱερὸν φήσεις γάμον· ἀλλ' ἀθέμιστος
Οἰδίποδος. λέξεις Αντιγόνην ὁσίην·
ἀλλὰ κασίγνητοι μιαρώτατοι. ἄμβροτος Ινώ·
ἀλλ' Αθάμας τλήμων. τειχομελὴς κιθάρη·
ἀλλ' αὐλὸς δύσμουσος. ἴδ' ὡς ἐκεράσσατο Θήβῃ
δαίμων, ἐσθλὰ κακοῖς δ' εἰς ἓν ἔμιξεν ἴσα.

## VIII.

Παίδων ὃν μὲν ἔκαιεν Αρίστιον, ὃν δ' ἐσάκυσε
ναυηγόν· δισσὸν δ' ἄλγος ἔτηξε μίαν.
αἶ αἶ, μητέρα Μοῖρα διείλετο, τὴν ἴσα τέκνα
καὶ πυρὶ καὶ πικρῷ νειμαμένην ὕδατι.

IX. T.II. p.291.

Οὔνομα κηρύσσω Τιμοκλέος, εἰς ἅλα πικρὴν
πάντῃ σκεπτομένη πῦ ποτ᾽ ἄρ᾽ ἐςὶ νέκυς.
αἲ αἲ, τὸν δ᾽ ἤδη φάγον ἰχθύες· ἡ δὲ περισσὴ
πέτρος ἐγὼ τὸ μάτην γράμμα τορευθὲν ἔχω.

X.

Βάκτρον, καὶ πήρη, καὶ διπλόον εἷμα σοφοῖο
Διογένευς, βιότυ φόρτος ὁ κυφότατος.
πάντα φέρω πορθμῆϊ· λέλοιπα γὰρ ὐδὲν ὑπὲρ γῆς.
ἀλλὰ κύον σαίνοις Κέρβερε τὸν κύνα μέ.

# ΣΕΡΑΠΙΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΟΣ.

Εἰς ὀςέα ἀνθρώπεια κείμενα ἀτημέλητα.

Τῦτ᾽ ὀςεῦν φωτὸς πολυεργέος. ἦ ῥά τις ἦεθα
ἔμπορος, ἢ τυφλῦ κύματος ἰχθυβόλος.
ἀγγειλον θνητοῖσιν ὅτι σπεύδοντες ἐς ἄλλας
ἐλπίδας, εἰς τοίην ἐλπίδα λυόμεθα.

IX. 4. Cod. γρ. τυρωθέν. et ſupra correctum τορευθέν.

T.II. p.292.

# ΜΕΣΟΜΗΔΟΥΣ.

## I.

### ΥΜΝΟΣ ΕΙΣ ΝΕΜΕΣΙΝ.

Νέμεσι πτερόεσσα, βίου ῥοπά,
κυανῶπι θεά, θύγατερ Δίκας,
ἃ κοῦφα φρυάγματα θνατῶν
ἐπέχεις ἀδάμαντι χαλινῷ,
ἔχθουσα δ' ὕβριν ὀλοὰν βροτῶν,
μέλανα φθόνον ἐκτὸς ἐλαύνεις·
ὑπὸ σὸν τροχὸν ἄϛατον, ἀϛιβῆ,
χαροπὰ μερόπων ϛρέφεται τύχα·
λήθουσα δὲ πὰρ πόδα βαίνεις,
γαυρούμενον αὐχένα κλίνεις·
ὑπὸ πῆχυν ἀεὶ βίοτον μετρεῖς,
νεύεις δ' ὑπὸ κόλπον ἀεὶ κάτω ὀφρὺν,
ζυγὸν μετὰ χεῖρα κρατοῦσα.
Ἵλαθι μάκαιρα, δικασπόλε,
Νέμεσι πτερόεσσα, βίου ῥοπά.
Νέμεσιν θεὸν ᾄδομεν ἀφθίταν,
νημερτέα, καὶ πάρεδρον Δίκαν,
Δίκαν τανυσίπτερον, ὀμβρίμαν,
ἃ τὰν μεγαλανορίαν βροτῶν
Νεμέσεως ἀφαιρεῖ καὶ Ταρτάρου.

## II. T. II.

Τὰν ὕελον ἐκόμιζε
κόψας ἐργάτας ἀνήρ·
ἐς δὲ πῦρ ἔθηκε βῶλον, p. 293.
ὡς σίδηρον εὐσθενῆ·
ἁ δ᾽ ὕελος, οἷα κηρὸς,
ἐξεχεῖτο, παμφάγοισι
φλοξὶν ἐκπυρούμενος.
θαῦμα δ᾽ ἦν ἰδεῖν βροτοῖς
ὁλκὸν ἐκ πυρὸς ῥέοντα,
καὶ τὸν ἐργάτην τρέμοντα,
μὴ πεσὼν διαῤῥαγῇ.
ἐς δὲ διπτύχων ἀκμὰς
χειλέων ἔθηκε βῶλον.

## III.

### ΑΙΝΙΓΜΑ ΕΙΣ ΤΗΝ ΣΦΙΓΓΑ.

Ερπουσα, πετωμένα, βεβῶσα κούρα,
νόθον ἴχνος ἀραμένα δρομαία λέαινα,
πτερόεσσα μὲν ἦν τὰ πρόσω γυνὰ,
τὰ δὲ μέσσα, βρέμουσα λέαινα θὴρ,
τὰ δ᾽ ὄπισθεν, ἑλισσόμενος δράκων.
οὔθ᾽ ὁλκὸς ἀπέτρεχεν, οὐ γυνὰ,
οὔτ᾽ ὄρνις ὅλον δέμας, οὔτε θήρ·
κόρη γὰρ ἐφαίνετ᾽ ἄνευ ποδῶν,
κεφαλὰν δ᾽ οὐκ ἔσχε βρέμουσα θήρ.
φύσιν εἶχεν ἄτακτα κεκραμέναν,
ἀτέλεστα τέλεια μεμιγμέναν.

T.II. p.294. ΠΕΙΣΑΝΔΡΟΥ ΡΟΔΙΟΥ.

Vid. T. I. p. 49.

# ΚΑΛΛΙΚΤΗΡΟΣ.

T.II. p.529.

I. a

Ηδὺ τὸ βινεῖν ἐστί· τίς οὐ λέγει; ἀλλ' ὅταν αἰτῇ
χαλκὸν, πικρότερον γίνεται ἐλλεβόρου.

T.II. p.294.

I. b

Παρθενικὰ κούρα ἐὰ κέρματα πλείονα ποιεῖ,
οὐκ ἀπὸ τᾶς τέχνας, ἀλλ' ἀπὸ τᾶς φύσιος.

II.

Φαρμακίσσει Ῥόδων λέπραν καὶ χοιράδας αἴρει·
τἄλλα δὲ πάντ' αἴρει καὶ δίχα φαρμακιῶν.

III.

Οστις ἔσω πυροὺς καταλαμβάνει οὐκ ἀγοράζων,
κείνου Ἀμαλθείας ἡ γυνή ἐστι κέρας.

I. b 1. Cod. κούρα τὰ κέρματα.

## ΕΡΥΚΙΟΥ ΚΥΖΙΚΗΝΟΥ. T.II. p.295.

### I.

Γλαύκων καὶ Κορύδων, οἱ ἐν ὤρεσι βουκολέοντες,
    Ἀρκάδες ἀμφότεροι, τὴν κεραὸν δάμαλιν
Πανὶ φιλωρείτᾳ Κυλληνίῳ αὖ ἐρύσαντες
    ἔῤῥεξαν, καὶ οἱ δωδεκάδωρα κέρα
ἅλῳ μακροτένοντι ποτὶ πλατάνιστον ἔπαξαν
    εὐρεῖαν, νομίῳ καλὸν ἄγαλμα θεῷ.

### II.

Γάλλος ὁ χαιτάεις, ὁ νεήτομος, ὁ πρὸ Τυμώλου
    Λύδιος ὀρχηστὰς μάκρ' ὀλολυζόμενος,
τᾷ παρὰ Σαγγαρίῳ τάδε ματέρι, τύμπανα ταῦτα
    θήκατο, καὶ μάστιν τὰν πολυαστράγαλον,
ταῦτά τ' ὀρειχάλκου λάλα κύμβαλα, καὶ μυρόεντα
    βόστρυχον, ἐκ λύσσας ἄρτ' ἀναπαυόμενος.

### III.

Τοῦτο Σάων τὸ δίπηχυ κόλον κέρας ὁ Μβρακιώτας
    βουμολγὸς ταύρου κλάσσεν ἀτιμαγέλου,
ὁππότε μιν κνημοῦς τε κατὰ, λασίους τε χαράδρας
    ἐξ ὀρέων ποταμοῦ φράσσατ' ἐπ' ἀϊόνι,
ψυχόμενον χηλάς τε καὶ ἰξύας· αὐτὰρ ὁ βούτεω
    ἀντίος ἐκ πλαγίων ἵεθ'· ὁ δὲ ῥοπάλῳ

T.II.p.296. γυρὸν ἀπεκράνιξε βοὸς κέρας, ἐκ δέ μιν αὐτᾶς
ἀχράδος εὐμύκῳ πᾶξε παρὰ κλισίᾳ.

## IV.

Βουκόλε, πρὸς τοῦ Πανὸς, ὁ φηγινὸς, εἰπὲ, κολοσσὸς
οὗτος, ὅτῳ σπένδεις τὸ γλάγος, ἐστὶ τίνος;
β τοῦ λειοντοπάλα Τιρυνθίω. οὐδὲ τὰ τόξα,
νήπιε, καὶ σκυτάλην ἀγριέλαιον ὁρῇς;
α χαίροις Αλκείδα δαμαληφάγε, καὶ τάδε φρουρεῖ
αὔλια, κὴξ ὀλίγων μυριόβοια τίθει.

## V.

Εὔστοχα θηροβολεῖτε, κυναγέται, οἱ ποτὶ ταύταν
Πανὸς ὀρειώτα νισσόμενοι σκοπιὰν,
αἴτε λίνοις βαίνοιτε πεποιθότες, αἴτε σιδάρῳ,
αἴτε καὶ ἰξευτᾷ λαθροβόλῳ δόνακι·
κἀμέ τις ὑμείων ἐπιβωσάτω· οἶδα ποτ᾽ ἄγραν
κοσμεῖν καὶ λόγχαν, καὶ λίνα, καὶ καλάμους.

## VI.

Εἰς ἄγαλμα Πριάπου.

Ως βαρὺ τοῦτο, Πρίηπε, καὶ εὖ τετυλωμένον ὅπλον
πᾶν ἀπὸ βουβώνων ἀθρόον ἐκκέχυκας·
εἰς γάμον οὐκ ἀνέτοιμον· ἔχει δέ σε δίψα γυναικῶν,
ὦ᾽γαθὲ, καὶ σπαργᾶς θυμὸν ἀπάντα πόροις.
ἀλλὰ καταπρήϋνε τὸν ἐξῳδηκότα φαλλὸν
τόνδε, καὶ ἀνθηρῇ κρύψον ὑπὸ χλαμύδι·
οὐ γὰρ ἐρημαῖον ναίεις ὄρος, ἀλλὰ παρ᾽ Ελλης
ἠόνα, τὴν ἱερὴν Λάμψακον ἀμφιπολεῖς.

III. 7. Cod. ἀπεκρένιζε.

## VII.

T.II. p.297.

Ο τράγος ὁ Κλήσωνος ὅλαν διὰ πάννυχον ὄρφναν
  αἶγας ἀκοιμάτους θῆκε φριμασσόμενος·
ἑδμὰ γάρ μιν ἔτυψε λύκου χιμαροσφακτῆρος
  τηλόθι πετραίαν αὖλιν ἀνερχομένου·
μέσφα κύνες κοίτας ἀνεγέρμονες ἐπτοίασαν
  θῆρα μέγαν. τραγίνας δ' ὕπνος ἔμυσε κόρας.

## VIII.

Ανίκ' ἀπὸ πτολέμου τρέσσαντά σε δέξατο μάτηρ,
  πάντα τὸν ὁπλιστὰν κόσμον ὀλωλεκότα,
αὐτά τοι φονίαν, Δαμάτριε, αὐτίκα λόγχαν
  εἶπε διὰ πλατέων ὤσαμένα λαγόνων·
Κάτθανε, μηδ' ἐχέτω Σπάρτα ψόγον· οὐ γὰρ ἐκείνα
  ἤμπλακεν, εἰ δειλοὺς τοὐμὸν ἔθρεψε γάλα.

## IX.

Αὖά τοι ἐκτάμνοντι γεράνδρυα, κάμμορε Μίδων,
  φωλὰς ἀραχναίη σκαιὸν ἔτυψε πόδα,
πιόθεν ἀντιάσασα· χύδην δ' ἔβρυξε μελαίνη
  σηπεδόνη χλωρὴν σάρκα καὶ ἀστραγάλους.
ἐτμήθη δ' ἀπὸ τῆς στιβαρὸν γόνυ, καί σε κομίζει
  μουνόποδα βλωθρῆς σκηπάνιον κοτίνου.

## X.

Αὐδήσει τὸ γράμμα, τί σᾶμά τε, καὶ τίς ὑπ' αὐτῷ.
  Γλαύκης εἰμὶ τάφος τῆς ὀνομαζομένης.

PA 3458
A3
1794
t.3

# ΟΝΕΣΤΟΥ. T. II. p. 289.

## I.

Οὔτε με παρθενικῆς τέρπει γάμος, οὔτε γεραιῆς.
  τὴν μὲν ἐποικτείρω, τὴν δὲ καταιδέομαι.
εἴη μήτ' ὄμφαξ, μήτ' ἀσταφίς· ἡ δὲ πέπειρος
  ἐς Κύπριδος θαλάμους ὡρία καλλοσύνη.

## II.

Μούσης νουθεσίην φιλοπαίγμονος εὕρετο Βάκχος,
  ὦ Σικυὼν, ἔν σοι κῶμον ἄγων Χαρίτων·
δὴ γὰρ ἔλεγχον ἔχει γλυκερώτατον, ἔν τε γέλωτι
  κέντρον· χὠ μεθύων ἀστὸν ἐσωφρόνισε.

## III.

Αμβαίνων Ελικῶνα μέγαν κάμες· ἀλλ' ἐκορέσθης
  Πηγασίδος κρήνης νεκταρέων λιβάδων.
οὕτω καὶ σοφίης πόνος ὄρθιος· ἢν δ' ἄρ' ἐπ' ἄκρον
  τέρμα μόλῃς, ἀρύσῃ Πιερίδων χάριτας.

## IV.

Ασωπὶς κρήνη καὶ Πηγασὶς, ὕδατ' ἀδελφὰ,
  ἵππου καὶ ποταμοῦ δῶρα ποδοῤῥαγέα.
χὠ μὲν ἔκοψ' Ελικῶνος· ὁ δὲ φλέβας Ακροκορίνθου
  ἔπληξ'. ὢ πτέρνης εἰς ἴσον εὐστοχίη.

T.II. p.290.

V.

Αὐτοθελὴς ἥδιστος ἀεὶ πότος· ὃς δ' ἐπ' ἀνάγκῃ,
  ὑβριστὴς οἴνῳ τ' ἐστὶ, καὶ οἰνοπότῃ.
τὸν μὲν γὰρ γαίῃ προχέει κρύφα· τὸν δ' ὑπὸ γαίῃ
  πολλάκι πρὸς Λήθης ἤγαγε πικρὸν ὕδωρ.
πουλυμεθεῖς χαίροιτε. τὸ δ' ὁππόσον ἡδὺ ποθῆναι,
  μέτρον ἐμοὶ πάσης ἄρκιον εὐφροσύνης.

VI.

Ἐστὴν ἐν φόρμιγγι, κατηρείφθην δὲ σὺν αὐλῷ
  Θήβη. φεῦ Μούσης ἔμπαλιν ἁρμονίης.
κωφὰ δ' ἐμοὶ κεῖται λυροθελγέα λείψανα πύργων,
  πέτροι μουσοδόμοις τείχεσιν αὐτόμολοι,
σῆς χερὸς, Ἀμφίον, ἄπονος χάρις· ἑπτάπυλον γὰρ
  πάτρην ἑπταμίτῳ τείχισας ἐν κιθάρῃ.

VII.

Ἁρμονίης ἱερὸν φήσεις γάμον· ἀλλ' ἀθέμιστος
  Οἰδίποδος. λέξεις Ἀντιγόνην ὁσίην·
ἀλλὰ κασίγνητοι μιαρώτατοι. ἄμβροτος Ἰνώ·
  ἀλλ' Ἀθάμας τλήμων. τειχομελὴς κιθάρη·
ἀλλ' αὐλὸς δύσμουσος. ἴδ' ὡς ἐκεράσσατο Θήβῃ
  δαίμων, ἐσθλὰ κακοῖς δ' εἰς ἓν ἔμιξεν ἴσα.

VIII.

Παίδων ὃν μὲν ἔκαιεν Ἀρίστιον, ὃν δ' ἐσάωσε
  ναυηγόν· δισσὸν δ' ἄλγος ἔτηξε μίαν.
αἲ αἲ, μητέρα Μοῖρα διείλετο, τὴν ἴσα τέκνα
  καὶ πυρὶ καὶ πικρῷ νειμαμένην ὕδατι.

T. II. p. 291.

### IX.

Οὔνομα κηρύσσω Τιμοκλέος, εἰς ἅλα πικρὴν
  πάντῃ σκεπτομένη πῦ ποτ' ἄρ' ἐστι νέκυς.
αἲ αἴ, τὸν δ' ἤδη φάγον ἰχθύες· ἡ δὲ περισσὴ
  πέτρος ἐγὼ τὸ μάτην γράμμα τορευθὲν ἔχω.

### X.

Βάκτρον, καὶ πήρη, καὶ διπλόον εἷμα σοφοῖο
  Διογένευς, βιότου φόρτος ὁ κουφότατος.
πάντα φέρω πορθμῆϊ· λέλοιπα γὰρ οὐδὲν ὑπὲρ γῆς.
  ἀλλὰ κύον σαίνοις Κέρβερε τὸν κύνα με.

---

## ΣΕΡΑΠΙΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΟΣ.

---

Εἰς ὀστέα ἀνθρώπεια κείμενα ἀτημέλητα.

Τοῦτ' ὀστεῦν φωτὸς πολυεργέος. ἦ ῥά τις ἦσθα
  ἔμπορος, ἢ τυφλοῦ κύματος ἰχθυβόλος.
ἄγγειλον θνητοῖσιν ὅτι σπεύδοντες ἐς ἄλλας
  ἐλπίδας, εἰς τοίην ἐλπίδα λυόμεθα.

IX, 4. Cod. γρ. τυρωθέν. et ſupra correctum τορευθέν.

---

T.II. p.292.

# ΜΕΣΟΜΗΔΟΥΣ.

## I.

### ΥΜΝΟΣ ΕΙΣ ΝΕΜΕΣΙΝ.

Νέμεσι πτερόεσσα, βίου ῥοπὰ,
κυανῶπι θεὰ, θύγατερ Δίκας,
ἃ κοῦφα φρυάγματα θνατῶν
ἐπέχεις ἀδάμαντι χαλινῷ,
ἔχθουσα δ' ὕβριν ὀλοὰν βροτῶν,
μέλανα φθόνον ἐκτὸς ἐλαύνεις·
ὑπὸ σὸν τροχὸν ἄστατον, ἀστιβῆ,
χαροπὰ μερόπων στρέφεται τύχα·
λήθουσα δὲ πὰρ πόδα βαίνεις,
γαυρούμενον αὐχένα κλίνεις·
ὑπὸ πῆχυν ἀεὶ βίοτον μετρεῖς,
νεύεις δ' ὑπὸ κόλπον ἀεὶ κάτω ὀφρὺν,
ζυγὸν μετὰ χεῖρα κρατοῦσα.
Ἵλαθι μάκαιρα, δικασπόλε,
Νέμεσι πτερόεσσα, βίου ῥοπά.
Νέμεσιν θεὸν ᾄδομεν ἄφθιταν,
νημερτέα, καὶ πάρεδρον Δίκαν,
Δίκαν τανυσίπτερον, ὀμβρίμαν,
ἃ τὰν μεγαλανορίαν βροτῶν
Νεμέσεως ἀφαιρεῖ καὶ Ταρτάρου.

## II.

T. II.

Τὰν ὕελον ἐκόμιζε
κόψας ἐργάτας ἀνήρ·
ἐς δὲ πῦρ ἔθηκε βῶλον, p. 293.
ὡς σίδηρον εὐσθενῆ·
ἁ δ' ὕελος, οἷα κηρὸς,
ἐξεχεῖτο, παμφάγοισι
φλοξὶν ἐκπυρώμενος.
θαῦμα δ' ἦν ἰδεῖν βροτοῖς
ὁλκὸν ἐκ πυρὸς ῥέοντα,
καὶ τὸν ἐργάτην τρέμοντα,
μὴ πεσὼν διαῤῥαγῇ.
ἐς δὲ διπτύχων ἀκμὰς
χειλέων ἔθηκε βῶλον.

## III.

### ΑΙΝΙΓΜΑ ΕΙΣ ΤΗΝ ΣΦΙΓΓΑ.

Ερπυσα, πετωμένα, βεβῶσα κούρα,
νόθον ἴχνος ἀραμένα δρομαία λέαινα,
πτερόεσσα μὲν ἦν τὰ πρόσω γυνὰ,
τὰ δὲ μέσσα, βρέμυσα λέαινα θὴρ,
τὰ δ' ὄπισθεν, ἑλισσόμενος δράκων.
οὔθ' ὁλκὸς ἀπέτρεχεν, οὐ γυνὰ,
οὔτ' ὄρνις ὅλον δέμας, οὔτε θήρ·
κόρη γὰρ ἐφαίνετ' ἄνευ ποδῶν,
κεφαλὰν δ' οὐκ ἔσχε βρέμυσα θήρ.
φύσιν εἶχεν ἄτακτα κεκραμέναν,
ἀτέλεστα τέλεια μεμιγμέναν.

T.II. p.294. ΠΕΙΣΑΝΔΡȢ ΡΟΔΙȢ.

Vid. T. I. p. 49.

# ΚΑΛΛΙΚΤΗΡΟΣ.

T.II. p.529. I. a

Ἡδὺ τὸ βινεῖν ἐστί· τίς ȣ̓ λέγει; ἀλλ' ὅταν αἰτῇ
χαλκὸν, πικρότερον γίνεται ἐλλεβόρȣ.

T.II. p.294. I. b

Παρθενικὰ κύρα ἐὰ κέρματα πλείονα ποιεῖ,
ȣ̓κ ἀπὸ τᾶς τέχνας, ἀλλ' ἀπὸ τᾶς φύσιος.

II.

Φαρμακίησι Ῥόδων λέπραν καὶ χοιράδας αἴρει·
τἄλλα δὲ πάντ' αἴρει καὶ δίχα φαρμακιῶν.

III.

Ὅστις ἔσω πυρὸς καταλαμβάνει ȣ̓κ ἀγοράζων,
κείνȣ Ἀμαλθείας ἡ γυνή ἐστι κέρας.

I. b 1. Cod. κύρα τὰ κέρματα.

# ΕΡΥΚΙΟΥ ΚΥΖΙΚΗΝΟΥ. T.II. p.295.

## I.

Γλαύκων καὶ Κορύδων, οἱ ἐν οὔρεσι βουκολέοντες,
  Ἀρκάδες ἀμφότεροι, τὴν κεραὸν δάμαλιν
Πανὶ φιλωρείτᾳ Κυλληνίῳ αὖ ἐρύσαντες
  ἔῤῥεξαν, καὶ οἱ δωδεκάδωρα κέρα
ἅλῳ μακροτένοντι ποτὶ πλατάνιστον ἔπαξαν
  εὐρεῖαν, νόμίῳ καλὸν ἄγαλμα θεῷ.

## II.

Γάλλος ὁ χαιτάεις, ὁ νεήτομος, ὁ πρὸ Τυμώλου
  Λύδιος ὀρχηστὰς μάκρ᾽ ὀλολυζόμενος,
τᾷ παρὰ Σαγγαρίῳ τάδε ματέρι, τύμπανα ταῦτα
  θήκατο, καὶ μάστιν τὰν πολυαστράγαλον,
ταῦτά τ᾽ ὀρειχάλκου λάλα κύμβαλα, καὶ μυρόεντα
  βόστρυχον, ἐκ λύσσας ἄρτ᾽ ἀναπαυόμενος.

## III.

Τοῦτο Σάων τὸ δίπαχυ κόλον κέρας δυμβρακιώτας
  βουμολγὸς ταύρου κλάσσεν ἀτιμαγέλου,
ὁππότε μιν κνημοῦς τε κατὰ, λασίους τε χαράδρας
  ἐξ ὀρέων ποταμοῦ φράσσατ᾽ ἐπ᾽ ἀϊόνι,
ψυχόμενον χηλάς τε καὶ ἰξύας· αὐτὰρ ὁ βούτου
  ἀντίος ἐκ πλαγίων ἵεθ᾽· ὁ δὲ ῥοπάλῳ

T.II.p.296. γυρὸν ἀπεκράνιξε βοὸς κέρας, ἐκ δέ μιν αὐτᾶς
ἀχράδος εὐμύκῳ πᾶξε παρὰ κλισίᾳ.

## IV.

Βουκόλε, πρὸς τῶ Πανὸς, ὁ φηγινὸς, εἰπὲ, κολοσσὸς
οὗτος, ὅτῳ σπένδεις τὸ γλάγος, ἐςὶ τίνος;
β τῶ λεοντοπάλα Τιρυνθίω. οὐδὲ τὰ τόξα,
νήπιε, καὶ σκυτάλην ἀγριέλαιον ὁρῇς;
α χαίροις Αλκείδα δαμαληφάγε, καὶ τάδε φρουρεῖ
αὔλια, κὴξ ὀλίγων μυριόβοια τίθει.

## V.

Εὔςοχα θηροβολεῖτε, κυναγέται, οἵ ποτὶ ταύταν
Πανὸς ὀρειῶτα νισσόμενοι σκοπιὰν,
αἴτε λίνοις βαίνοιτε πεποιθότες, αἴτε σιδάρῳ,
αἴτε καὶ ἰξευτᾷ λαθροβόλῳ δόνακι·
κἀμέ τις ὑμείων ἐπιβωσάτω· οἶδα ποτ᾽ ἄγραν
κοσμεῖν καὶ λόγχαν, καὶ λίνα, καὶ καλάμους.

## VI.

Εἰς ἄγαλμα Πριάπου.

Ὡς βαρὺ τοῦτο, Πρίηπε, καὶ εὖ τετυλωμένον οὐπλὸν
πᾶν ἀπὸ βουβώνων ἀθρόον ἐκκέχυκας·
εἰς γάμον οὐκ ἀνέτοιμον· ἔχει δέ σε δίψα γυναικῶν,
ὦ᾽γαθὲ, καὶ σπαργᾷς θυμὸν ἅπαντα πόρους.
ἀλλὰ καταπρήϋνε τὸν ἐξῳδηκότα φαλλὸν
τόνδε, καὶ ἀνθηρῇ κρύψον ὑπὸ χλαμύδι·
οὐ γὰρ ἐρημαῖον ναίεις ὄρος, ἀλλὰ παρ᾽ Ελλης
ἠόνα, τὴν ἱερὴν Λάμψακον ἀμφιπολεῖς.

III. 7. Cod. ἀπεκρένιξε.

## VII.

T.II.p.297.

Ὁ τράγος ὁ Κλήσωνος ὅλαν διὰ πάννυχον ὄρφναν
  αἶγας ἀκοιμάτους θῆκε φριμασσόμενος·
ἐσμὰ γάρ μιν ἔτυψε λύκου χιμαροσφακτῆρος
  τηλόθι πετραίαν αὖλιν ἀνερχομένου·
μέσφα κύνες κοίτας ἀνεγέρμονες ἐπτοίασαν
  θῆρα μέγαν. τραγίνας δ' ὕπνος ἔμυσε κόρας.

## VIII.

Ἁνίκ' ἀπὸ πτολέμου τρέσσαντά σε δέξατο μάτηρ,
  πάντα τὸν ὁπλιτᾶν κόσμον ὀλωλεκότα,
αὐτά τοι φονίαν, Δαμάτριε, αὐτίκα λόγχαν
  εἶπε διὰ πλατέων ὤσαμένα λαγόνων·
Κάτθανε, μηδ' ἐχέτω Σπάρτα ψόγον· οὐ γὰρ ἐκείνα
  ἤμπλακεν, εἰ δειλοὺς τοὐμὸν ἔθρεψε γάλα.

## IX.

Αὖά τοι ἐκτάμνοντι γεράνδρυα, κάμμορε Μίδων,
  φωλὰς ἀραχναίη σκαιὸν ἔτυψε πόδα,
νειόθεν ἀντιάσασα· χύδην δ' ἔβρυξε μελαίνη
  σηπεδόνη χλωρὴν σάρκα καὶ ἀστραγάλους.
ἐτμήθη δ' ἀπὸ τῆς τιβαρὸν γόνυ, καί σε κομίζει
  μουνόποδα βλωθρῆς σκηπάνιον κοτίνου.

## X.

Αὐδήσει τὸ γράμμα, τί σᾶμά τε, καὶ τίς ὑπ' αὐτῷ.
  Γλαύκης εἰμὶ τάφος τῆς ὀνομαζομένης.

T. H.

## XI.

Εἰς Παρθένιον Φωκαέα τὸν ἐς Ομηρον παροινήσαντα.

Εἰ καὶ ὑπὸ χθονὶ κεῖται, ὅμως ἔτι καί κατὰ πίσσαν
τοῦ μιαρογλώσσου χεύατε Παρθενίου,
p. 298. οὕνεκα Πιερίδεσσιν ἐνήμεσε μυρία κεῖνα
φλέγματα, καὶ μυσαρῶν ἀπλυσίην ἐλέγων.
ἤλασε καὶ μανίης ἐπὶ δὴ τόσον, ὥστ' ἀγορεῦσαι
πηλὸν Οδυσσείην, καὶ βάτον Ιλιάδα.
τοιγὰρ ὑπὸ ζοφίαισιν Ερινύσιν ἀμμέσον ἧπται
Κωκυτοῦ, κλοιῷ λαιμὸν ἀπαγχόμενος.

## XII.

Ατθὶς ἐγώ· κείνη γὰρ ἐμὴ πόλις. ἐκ δέ μ' Αθηνῶν
λυγρὸς Αρης Ιταλῶν πρίν ποτ' ἐληίσατο,
καὶ θέτο Ρωμαίων πολιήτιδα, νῦν δὲ θανούσης
ὀστέα νησαίη Κύζικος ἠμφίασε.
χαίροις ἡ θρέψασα, καὶ ἡ μετέπειτα λαχοῦσα
χθών με, καὶ ἡ κόλποις ὕστατα δεξαμένη.

## XIII.

Αἰεί τοι λιπαρῷ ἐπὶ σήματι, δῖε Σοφόκλεις,
σκηνίτης μαλακοὺς κισσὸς ἅλοιτο πόδας,
αἰεί τοι βούπαισι περιστάζοιτο μελίσσαις
τύμβος, Υμηττείῳ λειβόμενος μέλιτι,
ὡς ἄν τοι ῥείη μὲν ἀένναος Ατθίδι δέλτῳ
κηρὸς, ὑπὸ στεφάνοις δ' αἰὲν ἔχῃς πλοκάμους.

XI. 6. Fort. καὶ πάτον.
XIII. 5. μὲν ἀγανὸς A. Fort. ἐγάνυσις.

XIV. T. II.

Οὐκ ἔτι συρίγγων νόμιον μέλος ἀγχόθι ταύτας
 ἀρμόζῃ βλωθρᾶς, Θηρίμαχε, πλατάνου.
οὐδέ σευ ἐκ καλάμων κεραοὶ βόες ἁδὺ μέλισμα
 δέξονται, σκιερᾷ πὰρ δρυὶ κεκλιμένου.
ὤλεσε γάρ πρηστήρ σε κεραύνιος· αἱ δ᾽ ἐπὶ μάνδρην
 ὀψὲ βόες νιφετῷ σπερχόμεναι κατέβαν.

XV. p. 299.

Οὐχ ὅδε δειλαίου Σατύρου τάφος, οὐδ᾽ ὑπὸ ταύτῃ,
 ὡς λόγος, εὔνηται πυρκαϊῇ Σάτυρος.
ἀλλ᾽ εἴ που τινὰ πόντον ἀκούετε πικρὸν ἐκεῖνον,
 τὸν πέλας αἰγονόμου κλυζόμενον Μυκάλας,
κείνῳ δινήεντι καὶ ἀτρυγέτῳ ἐνὶ κεῖμαι
 ὕδατι, μαινομένῳ μεμφόμενος Βορέῃ.

## ΑΣΙΝΙΟΥ ΚΟΥΑΔΡΑΤΟΥ.

Εἰς τοὺς ἀναιρεθέντας ὑπὸ τοῦ τῶν Ῥωμαίων ὑπάτου Σύλλα.

Οἱ πρὸς Ῥωμαίους δεινὸν στήσαντες Ἄρηα
 κεῖνται, ἀριστείης σύμβολα δεικνύμενοι·
οὐ γάρ τις μετὰ νῶτα τυπεὶς θάνεν, ἀλλ᾽ ἅμα πάντες
 ὤλοντο κρυφίῳ καὶ δολερῷ θανάτῳ.

T.II. p.300.

# ΗΡΩΔΟΥ

## ΤΟΥ ΑΤΤΙΚΟΥ.

Πότνι' Ἀθηνάων ἐπιήρανε, Τριτογένεια,
ἥ τ' ἐπὶ ἔργα βροτῶν ἐλάεις, Ῥαμνουσιὰς Οὖπι,
γείτονες ἀγχίθυροι Ῥώμης ἑκατονταπύλοιο,
πίονα δὴ καὶ τόνδε, Θεά, τιμήσατε χῶρον,
δῆμον Δηώοιο φιλόξεινον Τριόπαο,
τόφρα κε καὶ Τριόπειον ἐν ἀθανάτοισι λέγησθον.
ὡς ὅτε καὶ Ῥαμνοῦντα καὶ εὐρυχόρους ἐς Ἀθήνας
ἤλθετε, δώματα πατρὸς ἐριγδούποιο λιποῦσαι,
ὣς τήνδε ῥώεσθε πολυστάφυλον κατ' ἀλωήν,
λήϊά τε σταχύων, καὶ δένδρεα βοτρυόεντα,
λειμώνων τε κόμας ἁπαλοτρεφέων ἐφέπουσαι.
ὕμμι γὰρ Ἡρώδης ἱερὴν ἀνὰ γαῖαν ἔηκε,
τὴν ὅσσην πέρι τεῖχος ἐΰτροχον ἐστεφάνωται,
ἀνδράσιν ὀψιγόνοισιν ἀκινήτην καὶ ἄσυλον
ἔμμεναι. ἦ δ' ἐπί οἱ ἐξ ἀθανάτοιο καρήνου
σμερδαλέον σείσασα λόφον κατένευσεν Ἀθήνη,
μή τῳ νήποινον βῶλον μίαν ἢ ἕνα λᾶαν
ὀχλίσσαι, ἐπεὶ οὐ Μοιρέων ἀτρεῖες ἀνάγκαι,
ὅς κε θεῶν ἐδέεσσιν ἀλιτροσύνην ἀναθείη.
κλῦτε περικτίονες καὶ γείτονες ἀγροιῶται·

6. In lapide ſculptae ſunt litterae ἀθανάτοις ἀλέγεσθε. Fort. ἐν ἀθανάτοις ἀλέγησθον.

ἱερὸς οὗτος ὁ χῶρος, ἀκίνητοί τε θέασθαι, T. II.
καὶ πολυτίμητοι, καὶ ὑποσχεῖν οὔας ἑτοῖμαι·
μηδέ τις ἡμερίδων ὄρχους, ἢ ἐν ἄλσεα δένδρων,
ἢ ποίην χιλῷ εὐαλδέϊ χλωρὰ θέουσαν
δμωὴν κυανέου Ἀΐδος ῥήξειε μάκελλαν, p. 301.
σῆμα νέον τεύχων, ἠὲ πρότερον κεραΐζων.
οὐ θέμις ἀμφὶ νέκυσσι βαλεῖν ἱερόχθονα βῶλον,
πλὴν ὅ κεν αἵματος ἦσι, καὶ ἔγγονος ἐσσαμένοιο,
(κείνοις δ' οὐκ ἀθέμιστον) ἐπεὶ τιμάορος ἴστωρ.
καὶ γὰρ Ἀθηναίη παρά οἱ Χθόνιον βασιλῆα
νηῷ ἐγκατέθηκε, συνέστιον ἔμμεναι ἱρῶν.
εἰ δέ τῳ ἄκλυτα ταῦτα, καὶ οὐκ ἐπιπεύσεται αὐτῶν,
ἀλλ' ἀποτιμήσει, μή οἱ νήτιτα γένηται·
ἀλλά μιν ἀπρόφατος Νέμεσις, καὶ ῥόμβος Ἀλάστωρ
τίσονται, στυγερὴν δὲ κυλινδήσει κακότητα.
οὐδὲ γὰρ Ἴφθιμον Τριόπεω μένος Αἰολίδαο
ὤναθ', ὅτε νειὸν Δημήτερος ἐξαλάπαξεν.
τῷ ἤτοι ποινὴν καὶ ἐπωνυμίην ἀλέασθαι
χώρου, μή τοι ἕπηται ἔπι Τριόπειος Ἐριννύς.

## ΜΑΡΚΕΛΛΟΥ. p. 302.

Δεῦρ' ἴτε Θυμβριάδες νηὸν ποτὶ τὸνδε γυναῖκες,
Ῥηγίλλης ἕδος ἀμφὶ θυοσκόα ἱρὰ φέρουσαι.
ἡ δὲ πολυκτεάνων μὲν ἔην ἐξ Αἰνεαδάων,
Ἀγχίσεω κλυτὸν αἷμα καὶ Ἰδαίης Ἀφροδίτης.

34. Fort. ῥίμβος.

T. II. γήματο δ' εἰς Μαραθῶνα. θεαὶ δέ μιν Οὐρανιῶναι
τίουσιν, Δηώ τε νέη, Δηώ τε παλαιή,
τῇσί περ ἱερὸν εἶδος ἐυζώνοιο γυναικὸς
ἄγκειται· αὐτὴ δὲ μεθ' ἡρωΐνῃσι νέναται
ἐν μακάρων νήσοισιν, ἵνα Κρόνος ἐμβασιλεύει.
τοῦτο γὰρ ἀντ' ἀγαθοῖο νόου εἴληχεν ἄποινον.
ὥς οἱ Ζεὺς ᾤκτειρεν ὀδυρόμενον παρακοίτην,
γήρᾳ ἐν ἀζαλέῳ χήρῃ περικείμενον εὐνῇ·
οὕνεκά οἱ παῖδας μὲν ἀμύμονας ἐκ μεγάροιο
Ἅρπυιαι κλωθῶες ἀνηρείψαντο μέλαιναι
ἡμίσεας πλεόνων· δοιὼ δ' ἔτι παῖδε λιπέσθην
νηπιάχω, ἀγνῶτε κακῶν, ἔτι πάμπαν ἀπύστω
οἵην σφιν νηλὴς κατὰ μητέρα πότμος ἔμαρψεν,
πρίν περ γηραιῇσι μιγήμεναι ἠλακάτῃσι.
τῷ δὲ Ζεὺς ἐπίηρον ὀδυρομένῳ ἀκόρητον,
καὶ βασιλεὺς Διὶ πατρὶ φυήν. καὶ μῆτιν ὁμοῖος.
Ζεὺς μὲν ἐς Ὠκεανὸν θαλερὴν ἔστειλε γυναῖκα
αὔρῃσι Ζεφύροιο κομιζέμεν ἠλυσίῃσιν.
αὐτὰρ ὁ ἀστερόεντα περὶ σφυρὰ παιδὶ πέδιλα
δῶκεν ἔχειν, τὰ λέγουσι καὶ Ερμάωνα φορῆναι,
ἦμος ὅτ' Αἰνείαν πολέμου ἐξῆγεν Ἀχαιῶν,
p. 303. νύκτα διὰ δνοφερήν· ὁ δέ οἱ περὶ ποσσὶ σαωτὴρ
παμφανόων ἐνέκειτο σεληναίης κύκλος αἴγλης·
τὸν δὲ καὶ Αἰνεάδαι παρενεῤῥάψαντο πεδίλῳ,
σύμβολον Αὐσονίοισιν εὐγενέεσσι γεραιόν.
ὥς μιν ἐκόσμησεν, καὶ Κεκροπίδην περ ἐόντα,
Τυρσηνῶν ἀρχαῖον ἐπισφύριον γέρας ἀνδρῶν,
Ερσης ἐκγεγαῶτα καὶ Ερμέω, εἰ ἐτεὸν δὴ

Κῆρυξ Ἡρώδεω πρόγονος Θησηϊάδαο. T. II.
τοὔνεκα τιμήεις καὶ ἐπώνυμος, ἣ μὲν ἄνασσαν
εἰς βουλὴν ἀγέρεσθαι, ἵνα πρωτόθρονες ἕδραι·
Ἑλλάδι δ' οὔτε γένος βασιλεύτερος, οὔτ' ἔτι φωνήν
Ἡρώδεω γλῶσσαν δέ τε μιν καλέουσιν Ἀθῆναι.
ἡ δὲ καὶ αὐτή περ καλλίσφυρος Αἰνειώνη,
καὶ Γανυμηδείη, καὶ Δαρδάνιον γένος ἦεν
Τρωὸς Ἐριχθονίδεω. ᾧ δὴ φίλον ἱερὰ ῥέξαι,
καὶ θῦσαι· θυέων ἀτὰρ οὐκ ἀέκοντος ἀνάγκη·
εἴδεται εὐσεβέεσσι καὶ ἡρώων ἀλεγίζειν.
οὐ μὲν γὰρ θνητὴ, ἀτὰρ οὐδὲ θέαινα τέτυκται.
τοὔνεκεν οὔτε νεὼν ἱερὸν λάχεν, οὔτ' ἔτι τύμβον,
οὐδὲ γέρα θνητοῖς, ἀτὰρ οὐδὲ θεοῖσιν ὅμοια.
σῆμα μέν οἱ νηῷ ἴκελον δήμῳ ἐν Ἀθήνης·
ψυχὴ δὲ σκῆπτρον Ῥαδαμάνθυος ἀμφιπολεύει.
τοῦτο δὲ Φαυστίνῃ κεχαρισμένον ἧσται ἄγαλμα
δήμῳ ἐνὶ Τριόπεω· ναοῦ πάρος εὐρέες ἀγροὶ,
καὶ χορὸς ἡμερίδων καὶ ἐλαιήεντες ἄρουραι.
οὐ μὲν ἀτιμήσειε θεὰ βασίλεια γυναικῶν
ἀμφίπολον γεράων ἔμεναι καὶ ὀπάονα νύμφην.
οὐδὲ γὰρ Ἰφιγένειαν ἐΰθρονος Ἰοχέαιρα,
οὐδ' Ἕρσην γοργῶπις ἀπητίμησεν Ἀθήνη·
οὐδέ μιν ἡρώνῃσι παλαιῇσι μεδέουσα
Καίσαρος ἰφθίμοιο παρόψεται ὄμπνια μήτηρ p. 304.
ἐς χορὸν ἐρχομένην προτεράων ἡμιθεάων,
ἣ λάχεν Ἠλυσίῃσι χοροστασίῃσιν ἀνάσσειν,
αὐτή γ', Ἀλκμήνη τε, μάκαιρά τε Καδμειώνη.

T. II.

## ΣΑΒΙΝΟΥ
### ΓΡΑΜΜΑΤΙΚΟΥ.

Πανὶ Βίτων χίμαρον, Νύμφαις ῥόδα, θύρσα Λυαίῳ,
τρισσὸν ὑπ᾽ εὐπετάλοις δῶρον ἔθηκε φόβαις.
δαίμονες ἀλλὰ δέχοισθε κεχαρμένοι, αὔξετε δ᾽ αἰεὶ
Πὰν ἀγέλην, Νύμφαι πίδακα, Βάκχε γάνος.

## ΜΑΓΝΟΥ ΙΑΤΡΟΥ.

Εἰς τὴν εἰκόνα Γαληνοῦ.

Ην χρόνος, ἡνίκα γαῖα βροτοὺς διὰ σεῖο, Γαληνὲ,
δέχνυτο μὲν θνητοὺς, ἔτρεφε δ᾽ ἀθανάτους.
χήρευεν δὲ μέλαθρα πολυκλαύτου Ἀχέροντος,
σῇ παιηονίῃ χειρὶ βιαζόμενα.

p. 305.

## ΑΝΤΙΟΧΟΥ.

I.

Εἰς ἀπαίδευτον ἐπιδειξάμενον.

Βήσας, εἰ φρένας εἶχεν, ἀπήγχετο· νῦν δ᾽ ὑπ᾽ ἀνοίας
καὶ ζῇ, καὶ πλουτεῖ, καὶ μετὰ τὴν πάροδον.

II. T. II.

Ψυχὴν μὲν γράψαι χαλεπόν· μορφὴν δὲ χαράξαι
    ῥᾴδιον· ἀλλ' ἐπὶ σοὶ τοὔμπαλιν ἀμφότερα.
τῆς μὲν γὰρ ψυχῆς τὸ διάστροφον ἔξω ἄγουσα,
    ἐν τοῖς φαινομένοις ἡ φύσις εἰργάσατο·
τὸν δ' ἐπὶ τῆς μορφῆς θόρυβον, καὶ σώματος ὕβριν
    πῶς ἄν τις γράψοι, μηδ' ἐσιδεῖν ἐθέλων;

## ΕΠΙΓΟΝΟΥ p. 306.

### ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

I.

Ἡ πάρος εὐπετάλοισιν ἐν οἰνάνθαις νεάσασα,
    καὶ πεπάνων βοτρύων ῥᾶγα κομισσαμένη,
νῦν οὕτω γραιοῦμαι· ἴδ' ὁ χρόνος οἷα δαμάζει·
    καὶ σταφυλὴ γήρως αἰσθάνεται ῥυτίδων.

II.

Ἡ τοπάλαι Λαῒς πάντων βέλος, οὐκ ἔτι Λαῒς,
    ἀλλ' ἐτέων φανερὴ πᾶσιν ἐγὼ Νέμεσις.
οὐ μὰ Κύπριν (τί δὲ Κύπρις ἐμοὶ ἔτι, πλὴν ὅσον ὅρκος;)
    γνώριμος οὐδ' αὐτῇ Λαΐδι Λαῒς ἔτι.

Antioch. II. 6. Cod. Vat. γράψαι.
Epig. II. 3. Cod. Vat. ἐμοῦ.

T. II. ## ΗΛΙΟΔΩΡΟΥ.

Μὴ σύ γε, μηδ' εἴ τοι πολὺ φέρτερος εἴδεαι ἔσσο
ἀμφοτέρω κλεινοῦ, κοῦρε, Μεγιστοκλέους,
κἢν στίλβῃ Χαρίτεσσι λελουμένος, ἀμφιδοκεύοις
τὸν καλόν· οὐ γὰρ ὁ παῖς ἤπιος οὐδ' ἄκακος,
ἀλλὰ μέλων πολλοῖσι, καὶ οὐκ ἀδίδακτος ἐρώτων.
τὴν φλέγα ῥιπίζειν δείδιθι, δαιμόνιε.

p. 307. ## ΕΥΡΟΥΣΚΟΥ ΜΕΣΣΗΝΙΟΥ.

Η μία καὶ βιότοιο καὶ Αἴδος ἤγαγεν εἴσω
ναῦς Ἱεροκλείδην, κοινὰ λαχοῦσα τέλη.
ἔτρεφεν ἰχθυβολεῦντα, κατέφλεγε τεθνηῶτα,
σύμπλοος εἰς ἄγρην, σύμπλοος εἰς Αΐδην.
ὄλβιος ὁ γριπεὺς ἰδίῃ καὶ πόντον ἐπέπλει
νηΐ, καὶ ἐξ ἰδίης ἔδραμεν εἰς Αΐδην.

## ΔΙΟΦΑΝΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ.

### ΠΡΟΒΛΗΜΑ ΑΡΙΘΜΗΤΙΚΟΝ.

Οκταδράχμους καὶ πενταδράχμους χοέας τις ἔμιξε,
τοῖς προπόλοισι πιεῖν χρηστ' ἀποταξάμενος.
καὶ τιμὴν ἀπέδωκεν ὑπὲρ πάντων τετράγωνον
τὰς ἐπιταχθείσας δεξάμενον μονάδας,

καὶ ποιῦντα πάλιν ἕτερόν σε φέρειν τετράγωνον T. II.
  κτησάμενον πλευρὰν σύνθεμα τῶν χοέων.
ὥστε διάστειλον τὺς ὀκταδράχμυς, πόσοι ἦσαν,
  καὶ πάλι τὺς ἑτέρυς, παῖ, λέγε πενταδράχμυς.

## ΑΔΜΗΤΟΥ. p. 308.

Γαῖα λάβ' Ἀδμήτυ ἔλυτρον· βῆ δ' εἰς θεὸν αὐτός.

## ΛΟΥΚΙΑΝΟΥ.

### I.

Αἱ τρισσαί τοι ταῦτα τὰ παίγνια θῆκαν ἑταῖραι,
  Κύπρι μάκαιρ', ἄλλης ἄλλη ἀπ' ἐργασίης.
ὧν ἀπὸ μὲν πυγῆς Εὐφρὼ τάδε· ταῦτά δὲ Κλειὼ,
  ὡς θέμις· ἡ τριτάτη Λαὶς ἀπ' ὐρανίων.
ἀνθ' ὧν τῇ μὲν πέμπε τὰ παιδικὰ, δεσπότι, κέρδη·
  τῇ δὲ τὰ θηλείης· τῇ δὲ τὰ μηδετέρης.

### II.

Εἰς τὸ ἐν Κνίδῳ τῆς Ἀφροδίτης ἄγαλμα.

Σοὶ μορφῆς ἀνέθηκα τεῆς περικαλλὲς ἄγαλμα,
  Κύπρι, τεῆς μορφῆς φέρτερον ὐδὲν ἔχων.

### III.

Εἰς τὸ αὐτό.

Τὴν Παφίην γυμνὴν ὐδεὶς ἴδεν. εἰ δέ τις εἶδεν,
  ὗτος ὁ τὴν γυμνὴν στησάμενος Παφίην.

T.II. p.309.

## IV.

Ζωγράφε, τὰς μορφὰς κλέπτεις μόνον· ὐ δύνασαι δὲ
φωνὴν συλῆσαι, χρώματι πειθόμενος.

## V.

Εἰς τὴν ἑαυτῦ βίβλον.

Λυκιανὸς τάδ᾽ ἔγραψα, παλαιά τε μωρά τε εἰδὼς,
μωρὰ γὰρ ἀνθρώποις καὶ τὰ δοκῦντα σοφά.
ὐδὲν ἐν ἀνθρώποισι διακριδόν ἐςι νόημα·
ἀλλ᾽ ὃ σὺ θαυμάζεις, τῦθ᾽ ἑτέροισι γέλως.

## VI.

Τὴν κεφαλὴν βάπτεις, τὸ δὲ γῆρας ὔποτε βάψεις,
ὐδὲ παρειάων ἐκτανύσεις ῥυτίδας.
μὴ τοίνυν τὸ πρόσωπον ἅπαν ψιμύθῳ κατάπλαττε,
ὥςε προσωπεῖον, κὐχὶ πρόσωπον ἔχειν.
ὐδὲν γὰρ πλέον ἐςί. τί μαίνεαι; ὔποτε φῦκος
καὶ ψίμυθος τεύξει τὴν Ἑκάβην Ἑλένην.

## VII.

Μηδείς μοι ταύτην, Ἐρασίςρατε, τὴν σπατάλην συ-
ποιήσειε θεῶν, ἣ σὺ κατασπαταλᾷς,
ἔσθων ἐκτραπέλως ςομάχων κακὰ, χείρονα λιμῦ,
οἷα φάγοιεν ἐμῶν ἀντιδίκων τεκνία.
πεινάσαιμι γὰρ αὖθις ἔτι πλέον ἢ πρὶν, ἐκείνης
εἰ χορτασθείην τῆς παρά σοι σπατάλης.

## VIII.

Αἱ τρίχες, ἢν σιγᾷς, εἰσὶ φρένες· ἢν δὲ λαλήσῃς,
ὡς αἱ τῆς ἥβης, ὐ φρένες, ἀλλὰ τρίχες.

IX. T.II. p.310.

Τοῦ πωγωνοτρόφου Κυνικοῦ, τοῦ βακτροπροσαίτου
εἴδομεν ἐν δείπνῳ τὴν μεγάλην σοφίαν.
θέρμων μὲν γὰρ πρῶτον ἀπείχετο καὶ ῥαφανίδων,
μὴ δεῖν δουλεύειν γαστρὶ λέγων ἀρετήν.
εὖτε δ᾽ ἐν ὀφθαλμοῖσιν ἴδεν χιονώδεα βόλβαν
τριφυνὴν, τὸν πινυτὸν ἤδη ἔκλεπτε νόον.
ᾔτησεν παρὰ προσδοκίαν, καὶ ἔτρωγεν ἀληθῶς,
κοὐδὲν ἔφη βόλβαν τὴν ἀρετὴν ἀδικεῖν.

X.

Εἰ ταχὺς εἰς τὸ φαγεῖν, καὶ πρὸς δρόμον ἀμβλὺς ὑπάρχεις,
τοῖς σοῖς τρῶγε ποσὶ, καὶ τρέχε τῷ στόματι.

XI.

Εἰς τί μάτην νίπτεις δέμας Ἰνδικόν; ἴσχεο τέχνης,
οὐ δύνασαι δνοφερὴν νύκτα καθηλιάσαι.

XII.

Ἵλαθι Γραμματικὴ φυσίζοε, ἵλαθι λιμοῦ
φάρμακον εὑρομένη ΜΗΝΙΝ ΑΕΙΔΕ ΘΕΑ.
νηὸν ἐχρῆν καὶ σοὶ περικαλλέα δωμήσασθαι,
καὶ βωμὸν θυέων μή ποτε δευόμενον.
καὶ γὰρ σοῦ μεσταὶ μὲν ὁδοὶ, μεστὴ δὲ θάλασσα
καὶ λιμένες, πάντων δέκτρια Γραμματική.

XIII.

Δαίμονα πολλὰ λαλῶν ὀζόστομος ἐξορκιστὴς
ἐξέβαλ᾽, οὐχ ὅρκων ἀλλὰ κόπρων δυνάμει.

IX. 6. Vulgo στρυφνὴν ὁ πινυτόν.

T.II, p.311.

## XIV.

Εἰς τὸ κενόν με τέθεικε, νόμῳ χάριν, ὧδε Πρίηπον
Εὐτυχίδης, ξηρῶν κλημματίδων φύλακα·
καὶ περιβέβλημαι κρημνὸν βαθύν. ὃς δ' ἂν ἐπέλθῃ
οὐδὲν ἔχοι κλέψαι πλὴν ἐμὲ τὸν φύλακα.

## XV.

Γλαύκῳ, καὶ Νηρῆϊ, καὶ Ἰνώῳ Μελικέρτῃ,
καὶ βυθίῳ Κρονίδῃ, καὶ Σαμόθρᾳξι θεοῖς,
σωθεὶς ἐκ πελάγους Λουκίλλιος ὧδε κέκαρμαι
τὰς τρίχας ἐκ κεφαλῆς· ἄλλο γὰρ οὐδὲν ἔχω.

## XVI.

Ἐν πᾶσιν μεθύουσιν Ἀκίνδυνος ἤθελε νήφειν,
τοὔνεκα καὶ μεθύειν αὐτὸς ἔδοξε μόνος.

## XVII.

Ἔσβεσε τὸν λύχνον μῶρος, ψυλλῶν ὑπὸ πολλῶν
δακνόμενος, λέξας· Οὐκέτι με βλέπετε.

## XVIII.

Ἢν ἐσίδῃς κεφαλὴν μαδαρὰν, καὶ στέρνα, καὶ ὤμους,
μηδὲν ἐρωτήσῃς, μῶρον ὁρᾷς φαλακρόν.

## XIX.

Οὐδέποτ' εἰς πορθμεῖον ὁ κηλήτης Διόφαντος
ἐμβαίνει, μέλλων εἰς τὸ πέραν ἀπίναι.
τῆς κήλης δ' ἐπάνωθε τὰ φορτία πάντα τεθεικὼς
καὶ τὸν ὄνον, διαπλεῖ σινδόν' ἐπαράμενος.
p. 312. ὥστε μάτην Τρίτωνες ἐν ὕδασι δόξαν ἔχουσιν,
εἰ καὶ κηλήτης ταὐτὸ ποιεῖν δύναται.

## XX.

Ὁ γρυπὸς Νίκων ὀσφραίνεται οἴνου ἄριστα,
οὐ δύναται δ' εἰπεῖν οἷος ἂν ᾖ ταχέως.
ἐν τρισὶν ὥραις γὰρ θερειναῖς μόλις αἰσθάνετ' αὐτὸς,
ὡς ἂν ἔχων πηχῶν ῥῖνα διακοσίων.
ὢ μεγάλου μυκτῆρος· ὅταν ποταμὸν διαβαίνῃ,
θηρεύει τούτῳ πολλάκις ἰχθύδια.

## XXI.

Θαυμάζειν μοι ἔπεισιν, ὅπως Βίτος ἐστὶ σοφιστὴς,
οὔτε λόγον κοινὸν, οὔτε λογισμὸν ἔχων.

## XXII.

Θᾶττον ἔην λευκοὺς κόρακας, πτηνάς τε χελώνας
εὑρεῖν, ἢ δόκιμον ῥήτορα Καππαδόκην.

## XXIII.

Εἰ τὸ τρέφειν πώγωνα δοκεῖς σοφίαν περιποιεῖν,
καὶ τράγος εὐπώγων εὔστοχός ἐστι Πλάτων.

## XXIV.

Ἰητήρ τις ἐμοὶ τὸν ἑὸν φίλον υἱὸν ἔπεμψεν,
ὥστε μαθεῖν παρ' ἐμοὶ ταῦτα τὰ γραμματικά.
ὡς δὲ τὸ ΜΗΝΙΝ ΑΕΙΔΕ καὶ ΑΛΓΕΑ ΜΥΡΙ' ΕΘΗΚΕΝ
ἔγνω, καὶ τὸ τρίτον τοῖσδ' ἀκόλουθον ἔπος,
ΠΟΛΛΑΣ Δ' ΙΦΘΙΜΟΥΣ ΨΥΧΑΣ ΑΪΔΙ ΠΡΟΪΑΨΕΝ,
οὐκέτι μιν πέμπει πρός με μαθησόμενον.
ἀλλά μ' ἰδὼν ὁ πατὴρ, Σοὶ μὲν χάρις, εἶπεν, ἑταῖρε· p. 313.
αὐτὰρ ὁ παῖς παρ' ἐμοὶ ταῦτα μαθεῖν δύναται.
καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς Ἄϊδι προϊάπτω,
καὶ πρὸς τοῦτ' οὐδὲν γραμματικοῦ δέομαι.

T. II.

## XXV.

Εἰπέ μοι εἰρομένῳ, Κυλλήνιε, πῶς κατέβαινε
Λολλιανοῦ ψυχὴ δῶμα τὸ Φερσεφόνης;
θαῦμα μὲν, εἰ σιγῶσα· τυχὸν δέ τι καί σε διδάσκειν
ἤθελε· φεῦ, κείνου καὶ νέκυν ἀντιάσαι.

## XXVI.

Παῖδά με πενταέτηρον, ἀκηδέα θυμὸν ἔχοντα,
νηλειὴς Ἀΐδης ἥρπασε, Καλλίμαχον.
ἀλλά με μὴ κλαίοις· καὶ γὰρ βιότοιο μετέσχον
παύρου, καὶ παύρων τῶν βιότοιο κακῶν.

## XXVII.

Εἰς ποδάγραν.

Μισόπτωχε θεὰ, μόνη πλούτου δαμάτειρα,
ἡ τὸ καλῶς ζῆσαι πάντοτ' ἐπισταμένη,
εἰ δὲ καὶ ἀλλοτρίοις ἐπιϊζομένη ποσὶ χαίρεις,
ὁπλοφορεῖν τ' οἶδας, καὶ μύρα σοι μέλεται·
τέρπει καὶ στέφανός σε, καὶ Αὐσονίου πόμα Βάκχου.
ταῦτα παρὰ πτωχοῖς γίνεται οὐδέποτε.
τοὔνεκά νυν φεύγεις πενίης τὸν ἀχάλκεον οὐδὸν,
τέρπῃ δ' εὐπλούτου πρὸς πόδας ἐρχομένη.

p. 214.

## XXVIII.

Ὡς τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπόλαυε,
ὡς δὲ βιωσόμενος φείδεο σῶν κτεάνων.
ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας
φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

## XXIX.

T. II.

Τοῖσι μὲν εὖ πράττουσιν ἅπας ὁ βίος βραχύς ἐςι·
τοῖς δὲ κακῶς, μία νὺξ ἄπλετός ἐςι χρόνος.

## XXX.

Τὸν πατρικὸν πλοῦτον νέος ὢν Θήρων ὁ Μενίππου
αἰσχρῶς εἰς ἀκρατεῖς ἐξέχεεν δαπάνας.
ἀλλά μιν Εὐκτήμων, πατρικὸς φίλος, ὡς ἐνόησεν
ἤδη καρφαλέῃ τειρόμενον πενίῃ.
καί μιν δακρυχέων ἀνελάμβανε, καὶ πόσιν αὐτὸν
θῆκε θυγατρὸς ἑῆς, πόλλ' ἐπὶ μείλια δούς.
αὐτὰρ ἐπεὶ Θήρωνι παρ' ἐλπίδας ἤλυθε πλοῦτος,
αὐτίκα ταῖς αὐταῖς ἐτρέφετ' ἐν δαπάναις,
γαςρὶ χαριζόμενος πᾶσαν χάριν οὐ κατὰ κόσμον,
τῇ δ' ὑπὸ τὴν μιαρὰν γαςέρα μαργοσύνῃ.
οὕτως μὲν Θήρωνα τὸ δεύτερον ἀμφεκάλυψεν
οὐλομένης πενίης κῦμα παλιρρόθιον.
Εὐκτήμων δ' ἐδάκρυσε τὸ δεύτερον, οὐκ ἔτι κεῖνον,
ἀλλὰ θυγατρὸς ἑῆς προῖκά τε καὶ θάλαμον.
ἔγνω δ' ὡς οὐκ ἔςι κακῶς κεχρημένον ἄνδρα
τοῖς ἰδίοις, εἶναι πιςὸν ἐν ἀλλοτρίοις.

## XXXI.

Οὐχ ὁ Ἔρως ἀδικεῖ μερόπων γένος, ἀλλ' ἀκολάςοις
ψυχαῖς ἀνθρώπων ἔσθ' ὁ Ἔρως πρόφασις.

## XXXII.

p. 315.

Φαῦλος ἀνὴρ πίθος ἐςὶ τετρημένος, εἰς ὃν ἁπάσας
ἀντλῶν τὰς χάριτας, εἰς κενὸν ἐξέχεας.

T. H.

## XXXIII.

Ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας·
οὐ λήσεις δὲ θεοὺς, οὐδὲ λογιζόμενος.

## XXXIV.

Οὐδὲν ἐν ἀνθρώποισι φύσις χαλεπώτερον εὗρεν
ἀνθρώπου καθαρὰν ψευδομένου φιλίαν·
οὐ γὰρ ἔθ' ὡς ἐχθρὸν προφυλασσόμεθ', ἀλλ' ἀγαπῶντες
ὡς φίλον, ἐν τούτῳ πλείονα βλαπτόμεθα.

## XXXV.

Ἀῤῥήτων ἐπέων γλώσσῃ σφραγὶς ἐπικείσθω.
κρείσσων γὰρ μύθων, ἢ κτεάνων φυλακή.

## XXXVI.

Πλοῦτος ὁ τῆς ψυχῆς, πλοῦτος μόνος ἐστὶν ἀληθής.
τἄλλα δ' ἔχει λύπην πλείονα τῶν ἀγαθῶν.

## XXXVII.

Τόνδε πολυκτέανον καὶ πλούσιόν ἐστι δίκαιον
κλήζειν, ὃς χρῆσθαι τοῖς ἀγαθοῖς δύναται.
εἰ δέ τις ἐν ψήφοις κατατήκεται, ἄλλον ἐπ' ἄλλῳ
σωρεύειν αἰεὶ πλοῦτον ἐπειγόμενος,
οὗτος ὁποῖα μέλισσα πολυτρήτοις ἐνὶ σίμβλοις
μοχθήσει, ἑτέρων δρεψομένων τὸ μέλι.

p. 316.

## XXXVIII.

Εὖ πράττων, φίλος εἶ θνητοῖς, φίλος εἶ μακάρεσσι,
καί σευ ῥηϊδίως ἔκλυον εὐξαμένου.

XXXIII. 2. Cod. Vat. θεόν.
XXXVI. 2. Codd. τῶν κτεάνων.

ἢ παίσῃς, οὐδεὶς ἔτι σοι φίλος, ἀλλ' ἅμα πάντα T. II.
ἐχθρὰ, Τύχης ῥιπαῖς συμμεταβαλλόμενα.

XXXIX.

Ἡ βραδύπους βουλὴ, μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα
αἰὲν ἐφελκομένη τὴν μετάνοιαν ἔχει.

---

## ΛΟΥΚΙΛΛΙΟΥ. p. 317.

I.

Πανὶ φιλοσπήλυγγι, καὶ οὐρεσιφοιτάσι Νύμφαις,
καὶ Σατύροις, ἱεραῖς τ' ἔνδον Ἀμαδρυάσι,
σὺν κυσὶ καὶ λόγχαις ταῖς πρὶν συοφόντισι Μάρκος
μηδὲν ἑλὼν, αὐτοὺς τοὺς κύνας ἐκρέμασε.

II.

Τῷ Πίσης μεδέοντι τὸ κρανίον Αὖλος ὁ πύκτης,
ἓν καθ' ἓν ἀθροίσας ὀστέον, ἀντίθεται.
σωθεὶς δ' ἐκ Νεμέας, Ζεῦ δέσποτα, σοὶ τάχα θήσει
καὶ τοὺς ἀστραγάλους, τοὺς ἔτι λειπομένους.

III.

Εἰκόνα τῆς κήλης Διονύσιος ὧδ' ἀνέθηκε,
σωθεὶς ἐκ ναυτῶν τεσσαράκοντα μόνος·
τοῖς μηροῖς αὐτὴν γὰρ ὑπερδήσας ἐκολύμβα·
ἔστω καὶ κήλης ἔν τισιν εὐτυχίη.

IV.

Γραμματικὸς Ζήνωνος ἔχει πώγωνα Μένανδρος·
τὸν δ' υἱὸν τούτῳ φῂς σὺ συνεσχηκέναι.

T. II. τὰς νύκτας δ' αὐτῷ μελετῶν οὐ παύεται οὗτος
πτώσεις, συνδέσμους, σχήματα, συζυγίας.

## V.

p. 318. Τὸν φιλόπαιδα Κράτιππον ἀκούσατε· θαῦμα γὰρ ὑμῖν
καινὸν ἀπαγγέλλω· πλὴν μεγάλαι Νεμέσεις.
τὸν φιλέπαιδα Κράτιππον ἀνεύρομεν ἄλλο γένος. τί;
τῶν ἑτεροζήλων. ἤλπισα τοῦτ' ἂν ἐγώ;
ἤλπισα τοῦτο, Κράτιππε; μανήσομαι, εἰ λύκος εἶναι
πᾶσι λέγων, ἐφάνης ἐξαπίνης ἔριφος.

## VI.

Οὗτος ὁ τῆς ἀρετῆς ἀδάμας βαρὺς, οὗτος ὁ πάντη
πᾶσιν ἐπιπλήσσων, οὗτος ὁ ῥιγομάχας,
καὶ πώγωνα τρέφων, ἑάλω· τί γάρ; ἀπρεπὲς εἰπεῖν;
ἀλλ' ἑάλω ποιῶν ἔργα κακοστομάχων.

## VII.

Φεύγων τὴν ὑπόνοιαν Ἀπολλοφάνης ἐγάμησεν,
καὶ διὰ τῆς ἀγορᾶς νυμφίος ἦλθε μέσης,
Αὔριον ἕξω, λέγων, ἕξω τέκνον. εἶτα προῆλθεν
αὔριον, ἀντὶ τέκνου τὴν ὑπόνοιαν ἔχων.

## VIII.

Ἤθελε ΔΡΙΜΥΣ ἄγαν τοπρόσθ' Ἱερώνυμος εἶναι·
νῦν δὲ τὸ ΔΡΙ μὲν ἔχει, ΛΟΣ δὲ τὸ μῦς γέγονε.

## IX.

Εἰς γραμματικὸν κερασφόρον.

Ἔξω παιδεύεις Πάριδος κακὰ καὶ Μενελάου,
ἔνδον ἔχων πολλοὺς τῆς Ἑλένης Πάριδας.

T. II. p. 319.

## X.

Πύκτης ὢν κατέλυσε Κλεόμβροτος· εἶτα γαμήσας
ἔνδον ἔχει πληγῶν Ἴσθμια καὶ Νέμεα,
γραῦν μαχίμην τύπτουσαν Ὀλύμπια· καὶ τὰ παρ' αὐτῷ
μᾶλλον ἰδεῖν φρίσσει, ἢ ποτὲ τὸ στάδιον.
ἂν γὰρ ἀναπνεύσῃ, δέρεται τὰς παντὸς ἀγῶνος
πληγὰς, ὡς ἀποδῷ· κἂν ἀποδῷ, δέρεται.

## XI.

Οὔτε τάχιον ἐμοῦ τις ἐν ἀντιπάλοισιν ἔπιπτεν,
οὔτε βράδιον ὅμως ἔδραμε τὸ στάδιον.
δίσκῳ μέν τοι ὅλως οὐδ' ἤγγισα, τοὺς δὲ πόδας μου
ἐξᾶραι πηδῶν ἴσχυον οὐδέποτε·
κυλλὸς δ' ἠκόντιζεν ἀμείνονα. πέντε δ' ἀπ' ἄθλων
πρῶτος ἐκηρύχθην πεντετριαζόμενος.

## XII.

Εἰκοσέτους σωθέντος Ὀδυσσέος εἰς τὰ πατρῷα,
ἔγνω τὴν μορφὴν Ἄργος ἰδὼν ὁ κύων.
ἀλλὰ σὺ πυκτεύσας, Στρατοφῶν, ἐπὶ τέσσαρας ὥρας,
οὐ κυσὶν ἄγνωστος, τῇ δὲ πόλει γέγονας.
ἢν ἐθέλῃς δὲ πρόσωπον ἰδεῖν ἐς ἔσοπτρον ἑαυτοῦ,
Οὐκ εἰμὶ Στρατοφῶν, αὐτὸς ἐρεῖς ὀμόσας.

## XIII.

Πᾶσαν ὅσαν Ἕλληνες ἀγωνοθετοῦσιν ἅμιλλαν
πυγμῆς, Ἀνδρόλεως πᾶσαν ἀγωνισάμαν·
ἔσχον δ' ἐν Πίσῃ μὲν ἓν ὠτίον· ἐν δὲ Πλαταιαῖς
ἓν βλέφαρον· Πυθοῖ δ' ἄπνοος ἐκφέρομαι·

X. 3. Fort. παρ' αὐτῆς.

T.II.p.320. Δαμοτέλης δ' ὁ πατὴρ καρύσσετο σὺν πολίταις
ἆραί με σταδίων ἢ νεκρὸν, ἢ κολοβόν.

## XIV.

Οἱ συναγωνισταὶ τὸν πυγμάχον ἐνθάδ' ἔθηκαν
Ἆπιν· οὐδένα γὰρ πώποτ' ἐτραυμάτισε.

## XV.

Τὸν σταδίην. πρώην Ἐρασίστρατον ἡ μεγάλη γῆ,
πάντων σειομένων, οὐκ ἐσάλευσε μόνον.

## XVI.

Νύκτα μέσην ἐποίησε τρέχων ποτὲ Μάρκος ὁπλίτης,
ὥστ' ἀποκλεισθῆναι πάντοθε τὸ στάδιον.
οἱ γὰρ δημόσιοι. κεῖσθαί τινα πάντες ἔδοξαν
ὁπλίτην τιμῆς εἵνεκα τῶν λιθίνων.
καὶ τί γάρ; εἰς ὥρας ἠνοίγετο· καὶ τότε Μάρκος
ἦλθε, προσελλείπων τῷ σταδίῳ στάδιον.

## XVII.

Οὗτος ὁ νῦν τοιοῦτος Ὀλυμπικὸς εἶχε, Σεβαστὲ,
ῥῖνα, γένειον, ὀφρὺν, ὠτάρια, βλέφαρα.
εἶτ' ἀπογραψάμενος πύκτης ἀπολώλεκε πάντα,
ὥστ' ἐκ τῶν πατρικῶν μηδὲ λαβεῖν τὸ μέρος·
εἰκόνιον γὰρ ἀδελφὸς ἔχων προενήνοχεν αὐτοῦ,
καὶ κέκριτ' ἀλλότριος, μηδὲν ὅμοιον ἔχων.

## XVIII.

Κόσκινον ἡ κεφαλή σου, Ἀπολλόφανες, γεγένηται,
ἢ τῶν σητοκόπων βιβλαρίων τὰ κάτω·

ὄντως μυρμήκων τρυπήματα λοξὰ καὶ ὀρθὰ, T.II. p.321.
γράμματα τῶν λυρικῶν Λύδια καὶ Φρύγια.
πλὴν ἀφόβως πύκτευε· καὶ ἢν τρωθῇς γὰρ ἄνωθεν,
ταῦθ' ὅσ' ἔχεις, ἕξεις· πλείονα δ' ἐ δύνασαι.

XIX.

Ῥύγχος ἔχων τοιοῦτον, Ὀλυμπικὲ, μήτ' ἐπὶ κρήνην
ἔλθῃς, μήτ' ἐν ὄρει πρός τι διαυγὲς ὕδωρ.
καὶ σὺ γὰρ, ὡς Νάρκισσος, ἰδὼν τὸ πρόσωπον ἐναργὲς,
τεθνήξῃ, μισῶν σαυτὸν ἕως θανάτου.

XX.

Εἰς ἱερόν ποτ' ἀγῶνα Μίλων μόνος ἦλθ' ὁ παλαιστής·
τὸν δ' εὐθὺς στεφανοῦν ἀθλοθέτης ἐκάλει.
προσβαίνων δ' ὤλισθεν ἐπ' ἰσχίον· οἱ δ' ἐβόησαν
τοῦτον μὴ στεφανοῦν, εἰ μόνος ὢν ἔπεσεν.
ἀνστὰς δ' ἐν μέσσοισιν ἀνέκραγεν· Οὐχὶ τρί' ἐστίν·
ἓν κεῖμαι, λοιπὸν τἆλλα μέ τις βαλέτω.

XXI.

Ἦν βραδὺς Εὐτυχίδας σταδιοδρόμος, ἀλλ' ἐπὶ δεῖπνον
ἔτρεχεν, ὥστε λέγειν· Εὐτυχίδας πέταται.

XXII.

Οὐδὲν ἀφῆκεν ὅλως, Διονύσιε, λείψανον Αὔλῳ
Εὐτυχίδης δειπνῶν, φέρε δὲ πάντ' ὀπίσω.
καὶ νῦν Εὐτυχίδης μὲν ἔχει μέγα δεῖπνον ἐν οἴκῳ,
μὴ κληθεὶς δ' Αὖλος ἐξηροφαγεῖ καθίσας.

XXIII. p. 322.

Οὐκ ᾔδειν σε τραγῳδὸν, Ἐπίκρατες, οὐδὲ χοραύλην,
οὐδ' ἄλλ' οὐδὲν ὅλως, ὧν χορός ἐστιν, ἔχειν·

T. II. ἀλλ' ἐκάλουν σε μόνον. σὺ δ' ἔχων χορὸν οἴκοθεν ἥκεις
ὀρχηστῶν, αὐτοῖς πάντα διδοὺς ὀπίσω.
εἰ δ' οὕτω τοῦτ' ἐστὶ, σὺ τοὺς δούλους κατάκλινον,
ἡμεῖς δ' αὐτοί σοι πρὸς πόδας ἐρχόμεθα.

XXIV.

Καὶ τρώγεις ὅσα πέντε λύκοι, Γάμε, καὶ τὰ περισσὰ,
οὐ τὰ σὰ, τῶν δὲ πέριξ, πάντα δίδως ὀπίσω.
πλὴν μετὰ τοῦ κοφίνου τοῦ πρὸς πόδας αὔριον ἔρχου,
πρίσματα, καὶ σπόγγον, καὶ σαρὸν εὐθὺς ἔχων.

XXV.

Οὕτω σοι πέψαι, Διονύσιε, ταῦτα γένοιτο
πάντα· νέμου δὲ χάριν, δός τι καὶ ὧδε φαγεῖν·
κἀγὼ κέκλημαι, κἀμοὶ παρέθηκέ τι τούτων
γεύσασθαι Πόπλιος, κἀμὸν ἔπεστι μέρος.
εἰ μὴ λεπτὸν ἰδών με, δοκεῖς κατακεῖσθαι ἄρωστον,
εἶθ' οὕτως τηρεῖς, μή σε λαθών τι φάγω.

XXVI.

Αργυρέῳ λιμῷ τις, ἐς εἰλαπίνην με καλέσσας,
ἔκτανε, πειναλέους τοὺς πίνακας προφέρων.
ὀχθήσας δ' ἄρ' ἔειπον ἐν ἀργυροφεγγέϊ λιμῷ·
Πῶ μοι χορτασίη ὀστρακίνων πινάκων;

XXVII.

Εζήτουν πινάκων πόθεν οὔνομα τοῦτο καλέσσω,
καὶ παρὰ σοὶ κληθεὶς, εὗρον ὅθεν λέγεται.
p. 323. πείνης γὰρ μεγάλης μεγάλους πίνακας παρέθηκας,
ὄργανα τοῦ λιμοῦ πειναλέους πίνακας.

XXVII. 3. Cod. Vat. πίνης et πιναλέους.

## XXVIII. T. II.

Τούτοις τοῖς παρὰ δεῖπνον ἀοιδομάχοις λογολέσχαις,
τοῖς ἀπ' Ἀριστάρχου γραμματολικριφίσιν,
οἷς οὐ σκῶμμα λέγειν, οὐ πῖν φίλον, ἀλλ' ἀνάκεινται
νηπυτιευόμενοι Νέστορι καὶ Πριάμῳ,
μή με βάλῃς κατὰ λέξιν ἕλωρ καὶ κύρμα γενέσθαι.
σήμερον οὐ δειπνῶ ΜΗΝΙΝ ΑΕΙΔΕ ΘΕΑ.

## XXIX.

Τὸν τοῦ δειπναρίου νόμον οἴδατε· σήμερον ὑμᾶς,
Αὖλε, καλῶ καινοῖς δόγμασι συμποσίου.
οὐ μελοποιὸς ἐρεῖ κατακείμενος· οὔτε παρέξεις,
οὔθ' ἕξεις αὐτὸς πράγματα γραμματικά.

## XXX.

Εἶναι μὲν Κυνικόν σε, Μενέστρατε, κἀνυπόδητον,
καὶ ῥιγοῦν, οὐδεὶς ἀντιλέγει, καθόλου.
ἂν δὲ παραρπάζῃς ἄρτους καὶ κλάσματ' ἀναιδῶς,
κἀγὼ ῥάβδον ἔχω, καί σε λέγουσι Κύνα.

## XXXI.

Τὰς τρίχας, ὦ Νίκυλλα, τινὲς βάπτειν σε λέγουσιν,
ἃς σὺ μελαινοτάτας ἐξ ἀγορᾶς ἐπρίω.

## XXXII.

Τὰς πολιὰς βάψασα Θεμιστονόη τρικόρωνος
γίνεται ἐξαπίνης οὐ νέα, ἀλλὰ Ῥέα.

## XXXIII. p. 324.

Ψευδὲς ἔσοπτρον ἔχει Δημοσθενίς· εἰ γὰρ ἀληθὲς
ἔβλεπεν, οὐκ ἂν ὅλως ἤθελεν αὐτὸ βλέπειν.

T. II.

## XXXIV.

Ἠγόρασας πλοκάμους, φῦκος, μέλι, κηρὸν, ὀδόντας·
τῆς αὐτῆς δαπάνης ὄψιν ἂν ἠγόρασας.

## XXXV.

Ῥύγχος ἔχουσα Βιτῶ τριπιθήκινον, οἷον ἰδοῦσαν
τὴν Ἑκάτην αὐτὴν οἴομ' ἀπαγχονίσαι,
Εἰμὶ, λέγει, σώφρων, Λουκίλλιε, καὶ μονοκοιτῶ.
αἰδεῖται γὰρ ἴσως, Παρθένος εἰμὶ, λέγειν.
ὃς δὲ λέγει μισεῖν με, κακὸν τοιοῦτο γαμήσας
τῆς αὐτῆς σχοίη τέκνα σαοφροσύνης.

## XXXVI.

Τοῦ λιθίνου Διὸς ἐχθὲς ὁ κλινικὸς ἥψατο Μάρκος·
καὶ λίθος ὢν, καὶ Ζεὺς, σήμερον ἐκφέρεται.

## XXXVII.

Ἑρμογένη τὸν ἰατρὸν ἰδὼν Διόφαντος ἐν ὕπνοις
οὐκ ἔτ' ἀνηγέρθη, καὶ περίαμμα φέρων.

## XXXVIII.

Πρίν σ' ἐναλείψασθαι, Δημόστρατε, Χαῖρ' ἱερὸν φῶς,
εἰπὲ τάλαν· οὕτως εὔκοπός ἐστι Δίων.
οὐ μόνον ἐξετύφλωσεν Ολυμπικὸν, ἀλλὰ καὶ αὐτῆς
εἰκόνος ἧς εἶχεν τὰ βλέφαρ' ἐξέβαλε.

p. 325.

## XXXIX.

Ἤν τιν' ἔχῃς ἐχθρὸν, Διονύσιε, μὴ καταρᾶσῃ
τὴν Ἶσιν τούτῳ, μηδὲ τὸν Ἀρποκράτην,

XXXVIII. 2. Cod. Vat. εὔσκοπος. 3. Vulgo δι' αὐτοῦ.
XXXIX. 2. Cod. Vat. Αλφικράτη.

μηδ' εἴ τις τυφλοὺς ποιεῖ θεός· ἀλλὰ Σίμωνα. T. II.
καὶ γνώσῃ, τί θεός, καὶ τί Σίμων δύναται.

XL.

Εἰς Ἀΐδος κατέπεμψε πάλαι ποτὲ, δέσποτα Καῖσαρ,
ὡς λόγος, Εὐρυσθεὺς τὸν μέγαν Ἡρακλέα·
νῦν δ' ἐμὲ Μηνοφάνης ὁ κλινικός. ὥστε λεγέσθω
κλινικὸς Εὐρυσθεὺς, μηκέτι Μηνοφάνης.

XLI.

Ἑρμογένη τὸν ἰατρὸν ὁ ἀστρολόγος Διόφαντος
εἶπε μόνους ζωῆς ἐννέα μῆνας ἔχειν.
κἀκεῖνος γελάσας, Τί μὲν ὁ χρόνος ἐννέα μηνῶν,
φησὶ, λέγει; σὺ νόει· τἀμὰ δὲ σύντομά σοι.
εἶπε, καὶ ἐκτείνας μόνον ἥψατο, καὶ Διόφαντος
ἄλλον ἀπελπίζων, αὐτὸς ἀπεσκάρισε.

XLII.

Πάντες, ὅσοι τὸν Ἄρη καὶ τὸν Κρόνον ὡροθετοῦσιν,
ἄξιοί εἰσι τυχεῖν πάντες ἑνὸς τυπάνου.
ὄψομαι οὐ μακρὰν αὐτοὺς τυχὸν εἰδότας ὄντως
καὶ τί ποιεῖ ταῦρος, καὶ τί λέων δύναται.

XLIII.

Πρὸς τὸν μάντιν Ὄλυμπον Ὀνήσιμος ἦλθεν ὁ πύκτης,
εἰ μέλλει γηρᾶν βουλόμενος προμαθεῖν.
κἀκεῖνος, Ναὶ, φησὶν, ἐὰν ἤδη καταλύσῃς· p. 326.
ἂν δέ γε πυκτεύσῃς, ὡροθετεῖ σε Κρόνος.

XLIV.

Πρὸς τὸν μάντιν Ὄλυμπον Ὀνήσιμος ἦλθ' ὁ παλαιστὴς,
καὶ πένταθλος Ὕλας, καὶ σταδιεὺς Μενεκλῆς,

Τ. ΙΙ. τίς μέλλει νικᾷν αὐτῶν τὸν ἀγῶνα θέλοντες
γνῶναι· κἀκεῖνος τοῖς ἱεροῖς ἐνιδὼν,
Πάντες, ἔφη, νικᾶτε, μόνον μή τις σε παρέλθῃ,
καὶ σὲ καταστρέψῃ, καὶ σὲ παρατροχάσῃ.

## XLV.

Τῷ πατρί μου τὸν ἀδελφὸν οἱ ἀστρολόγοι μακρόγηρων
πάντες ἐμαντεύσανθ', ὡς ἀφ' ἑνὸς στόματος.
ἀλλ' Ἑρμοκλείδης αὐτὸν μόνος εἶπε πρόμοιρον.
εἶπε δ', ὅτ' αὐτὸν ἔσω νεκρὸν ἐκοπτόμεθα.

## XLVI.

Εἶπεν ἐληλυθέναι τὸ πεπρωμένον, αὐτὸς ἑαυτοῦ
τὴν γένεσιν διαθεὶς Αὖλος ὁ ἀστρολόγος,
καὶ ζήσειν ὥρας ἔτι τέσσαρας· ὡς δὲ παρῆλθεν
ἡ πέμπτη, καὶ ζῆν εἰδότα μηδὲν ἔδει,
αἰσχυνθεὶς Πετόσιριν, ἀπήγξατο· καὶ μετέωρος
θνήσκει μὲν, θνήσκει δ' οὐδὲν ἐπιστάμενος.

## XLVII.

Πᾶς ὃς ἂν ᾖ πτωχὸς καὶ ἀγράμματος, οὐκέτ' ἀλήθει,
ὡς τοπρὶν, οὐδ' αἴρει φορτία μισθαρίου·
ἀλλὰ τρέφει πώγωνα, καὶ ἐκ τριόδου ξύλον ἄρας
τῆς ἀρετῆς εἶναι φησὶν ὁ πρωτοκύων.
p. 327. Ἑρμοδότου τόδε δόγμα τὸ πάνσοφον· Εἴ τις ἀχαλκεῖ,
μηκέτι πεινάτω θεὶς τὸ χιτωνάριον.

## XLVIII.

Ἂν τοῦ γραμματικοῦ μνησθῶ μόνον Ἡλιοδώρου,
εὐθὺ σολοικίζειν τὸ στόμα μου δέδεται.

XLVIII. 2. Cod. Vat. σολοικίζων. unus Planudeorum δίχεται.

T. II.

XLIX.

Οὐδεὶς γραμματικῶν δύναται νόον ἄρτιος εἶναι,
ὀργὴν καὶ μῆνιν, καὶ χόλον εὐθὺς ἔχων.

L.

Ἐκ τῶν Ἑσπερίδων τῶν τοῦ Διὸς ἦρε Μενίσκος,
ὡς τοπρὶν Ἡρακλέης, χρύσεα μῆλα τρία.
καὶ τί γάρ; ὡς ἑάλω, γέγονεν μέγα πᾶσι θέαμα,
ὡς τοπρὶν Ἡρακλέης, ζῶν κατακαιόμενος.

LI.

Τὴν γένεσιν λυποῦντα μαθὼν Κρόνον Ἡλιόδωρος,
νύκτωρ ἐκ ναοῦ χρύσεον ἦρε Κρόνον,
Τίς πρῶτος κακοποιὸς ἐλήλυθε πείρασον, εἰπὼν,
δέσποτα, καὶ γνώσῃ τίς τίνος ἐστὶ Κρόνος·
ὃς δ' ἄλλῳ κακὰ τεύχει, ἑῷ κακὸν ἥπατι τεύχει·
εὑρών μοι τιμὴν, πᾶν ἀνάτελλ', ὃ θέλεις.

LII.

Εἴσιδεν Ἀντίοχος τὴν Λυσιμάχου ποτὲ τύλην,
κοὐκ ἔτι τὴν τύλην εἴσιδε Λυσίμαχος.

LIII. p. 328.

Τὴν μικρὴν παίξουσαν Ἐρώτιον ἥρπασε κώνωψ·
ἡ δὲ τί φησίν; Ἰδοὺ, Ζεῦ πάτερ, εἴ μ' ἐθέλεις.

LIV.

Τῷ πατρὶ θυμωθεὶς, Διονύσιε, Μάρκος ὁ μικρὸς,
πυρῆνα στήσας, αὐτὸν ἀπηγχόνισε.

T. II.

## LV.

Ἐν καλάμῳ πήξας ἀθέρα Στρατόνικος ὁ λεπτὸς,
καὶ τριχὸς ἐκδήσας, αὐτὸν ἀπηγχόνισε.
καὶ τί γάρ; οὐχὶ κάτω βρῖσεν βαρύς; ἀλλ' ὑπὲρ αὐτῶν,
νηνεμίας οὔσης, νεκρὸς ἄνω πέταται.

## LVI.

Γάϊος ἐκπνεύσας τὸ πανύστατον ἐχθὲς ὁ λεπτὸς,
εἰς τὴν ἐκκομιδὴν οὐδὲν ἀφῆκεν ὅλως·
καὶ πέρας εἰς Ἀΐδην καταβὰς ὅλος, οἷος ὅτ' ἔζη,
τῶν ὑπὸ γῆν σκελετῶν λεπτότατος πέταται.
τὴν δὲ κενὴν κλίνην οἱ φράτορες ἦραν ἐπ' ὤμων,
ἐγγράψαντες ἄνω, ΓΑΪΟΣ ΕΚΦΕΡΕΤΑΙ.

## LVII.

Τῶν Ἐπικουρείων ἀτόμων ποτὲ Μάρκος ὁ λεπτὸς
τῇ κεφαλῇ τρήσας, εἰς τὸ μέσον διέβη.

## LVIII.

Τὸν πόδα τῇ βελόνῃ τρυπῶν Κλεόνικος ὁ λεπτὸς,
αὐτὸς ἐτρύπησε τῷ ποδὶ τὴν βελόνην.

p. 329.

## LIX.

Σαλπίζων ἔπνευσεν ὅσον βραχὺ Μάρκος ὁ λεπτὸς,
καὶ κατὰ τῆς κεφαλῆς ὀρθὸς ἀπῆλθε κάτω.

## LX.

Τὸν λεπτὸν φυσῶντα τὸ πῦρ Πρόκλον ἦρεν ὁ καπνὸς,
καὶ διὰ τῶν θυρίδων ἔνθεν ἀπῆλθεν ἔχων.
ἀλλὰ μόλις νεφέλῃ προσενήξατο, καὶ δι' ἐκείνης
προσκατέβη τρωθεὶς μυρία ταῖς ἀτόμοις.

T. II.

## LXI.

Οὕτω κυφότατος πέλε Γάϊος, ὥστ' ἐκολύμβα
τοῦ ποδὸς ἐκκρεμάσας ἢ λίθον, ἢ μόλιβον.

## LXII.

Ἐξ ἀτόμων Ἐπίκουρος ὅλον τὸν κόσμον ἔγραψεν
εἶναι, τοῦτο δοκῶν, Ἄλκιμε, λεπτότατον.
εἰ δὲ τότ' ἦν Διόφαντος, ἔγραψεν ἂν ἐκ Διοφάντου,
τοῦ καὶ τῶν ἀτόμων πολύ τι λεπτοτέρου,
ἢ τὰ μὲν ἄλλ' ἔγραψε συνεστάναι ἐξ ἀτόμων ἄν,
ἐκ τούτου δ' αὐτάς, Ἄλκιμε, τὰς ἀτόμους.

## LXIII.

Ἱππεύων μύρμηκι Μενέστρατος, ὡς ἐλέφαντι,
δύσμορος ἐξαπίνης ὕπτιος ἐξετάθη,
λακτισθεὶς δ', ὡς εἶχε τὸ καίριον, Ὦ φθόνε, φησίν,
οὕτως ἱππεύων ὤλετο καὶ Φαέθων.

## LXIV. p. 330.

Τὸν μέγαν ἐζήτουν Εὐμήκιον· ὃς δ' ἐκάθευδε
μικρῷ ὑπ' ὀξυβάφῳ τὰς χέρας ἐκτανύσας.

## LXV.

Ἀρθεὶς ἐξ αὔρης λεπτῆς ἐπετᾶτο δι' αἴθρης
Χαιρήμων, ἀχύρου πολλὸν ἐλαφρότερος.
καὶ τάχ' ἂν ἐῤῥοίζητο δι' αἰθέρος, εἰ μὴ ἀράχνης
τοὺς πόδας ἐμπλεχθεὶς ὕπτιος ἐκρέματο.
αὐτοῦ δὴ νύκτας τε καὶ ἤματα πέντε κρεμασθεὶς
ἑκταῖος κατέβη νήματι τῆς ἀράχνης.

T. II.

## LXVI.

Μύρμηκος πτερόεντος ὑπὲρ νώτοιό καθεσθεὶς
Ἄδραστος ῥήτωρ τοῖον ἔλεξεν ἔπος·
Ἵπτασο, τὸν σὸν ἔχεις, ὦ Πήγασε, Βελλεροφόντην,
φέρτατον ἡρώων, ἡμιθανῆ σκελετόν.

## LXVII.

Ριπίζων ἐν ὕπνοις Δημήτριος Ἀρτεμιδώραν
τὴν λεπτὴν, ἐκ τοῦ δώματος ἐξέβαλε.

## LXVIII.

Αἰγείρου φύλλῳ πεφορημένος ἐξ ἀνέμοιο
πληγεὶς Χαιρήμων ὕπτιος ἐξετάθη.
κεῖται δ' ἢ Τιτυῷ ἐναλίγκιος, ἢ Πιτυκάμπτῃ,
ἁπλώσας κατὰ γῆς σῶμα τὸ καννάβινον.

p. 331.

## LXIX.

Εἰ μὲν ἐπ' ἀττελάβους ἄγεται στρατὸς, ἢ κυνομυίας,
ἢ μύας, ἢ ψυλλῶν ἱππικὸν, ἢ βατράχων,
Γάϊε, καὶ σὺ φοβοῦ μὴ καί σέ τις ἐγκαταλέξῃ,
ὡς ἂν τῆς τούτων ἄξιον ὄντα μάχης.
εἰ δ' ἀρετῆς ἀνδρῶν ἄγεται στρατὸς, ἄτρομος ἴσθι·
Ῥωμαίοις οὐδεὶς πρὸς γεράνους πόλεμος.

## LXX.

Ἀγρὸν Μηνοφάνης ὠνήσατο, καὶ διὰ λιμὸν
ἐκ δρυὸς ἀλλοτρίας αὐτὸν ἀπηγχόνισε.
γῆν δ' αὐτῷ τεθνεῶτι βαλεῖν οὐκ ἔσχον ἄνωθεν,
ἀλλ' ἐτάφη μισθοῦ πρός τινα τῶν ὁμόρων.
εἰ δ' ἔγνω τὸν ἀγρὸν τὸν Μηνοφάνους Ἐπίκουρος,
πάντα γέμειν ἀγρῶν εἶπεν ἄν, οὐκ ἀτόμων.

LXXI. T. II.

Τιμόμαχον τὸν μακρὸν ὁ πεντόργυιος ἐχώρει
οἶκος, ὑπὲρ γαίης πάντοτε κεκλιμένον.
τῆναι δ' εἴ ποτ' ἔχρηζεν, ἔδει τοὺς παῖδας ἀπ' ὄρθρου
τὴν ὀροφὴν τρῆσαι πέντ' ἐπὶ πέντε πόδας.

LXXII.

Ποιητὴς πανάριστος ἀληθῶς ἐστιν ἐκεῖνος,
ὅστις δειπνίζει τοὺς ἀκροασαμένους.
ἢν δ' ἀναγινώσκῃ, καὶ νήστιας οἴκαδε πέμπῃ,
εἰς αὐτὸν τρεπέτω τὴν ἰδίην μανίην.

LXXIII. p. 332.

Ὠμοβρεῖς μοι παραθεὶς τόμον, Ἡλιόδωρε,
καὶ τρία μοι κεράσας ὠμοβοειότερα,
εὐθὺ κατακλύζεις ἐπιγράμμασιν. εἰ δ' ἀσεβήσας
βεβρωκεῖν τινα βοῦν τῶν ἀπὸ Τρινακρίας,
βούλομ' ἅπαξ πρὸς κῦμα χανεῖν· εἰ δ' ἔστι τὸ κῦμα
μακρὰν ἔνθεν, ἄρας εἰς τὸ φρέαρ με βάλε.

LXXIV.

Ἀρχόμεθ', Ἡλιόδωρε, ποιήματα παίζομεν οὕτω
στάντε πρὸς ἀλλήλους· Ἡλιόδωρε θέλεις;
ἶσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου... καὶ γὰρ ἔμ' ὕψει
μακροφλυαρητὴν Ἡλιοδωρότερου.

LXXV.

Οὐδενὸς ἐνθάδε νῦν τεθνηκότος, ὦ παροδῖτα,
Μάρκος ὁ ποιητὴς ᾠκοδόμηκε τάφον,
καὶ γράψας ἐπίγραμμα μονόστιχον, ὧδ' ἐχάραξε·
ΚΛΑΥΣΑΤΕ ΔΩΔΕΚΕΤΗ ΜΑΞΙΜΟΝ ΕΞ ΕΦΕΣΟΥ.

T. II. οὐδὲ γὰρ εἶδον ἐγώ τινα Μάξιμον. εἰς δ' ἐπίδειξιν
ποιητοῦ κλαίειν τοῖς παριοῦσι λέγω.

## LXXVI.

Οὔτ' ἐπὶ Δευκαλίωνος ὕδωρ, οὔτε πάντ' ἐπεκλύσθη,
οὔθ' ὁ καταπρήσας τοὺς ἐπὶ γῆς Φαέθων,
ἀνθρώπους ἔκτεινεν, ὅσους Ποτάμων ὁ ποιητὴς,
καὶ χειρουργήσας ὤλεσεν Ἑρμογένης.
ὥστ' ἐξ αἰῶνος κακὰ τέσσαρα ταῦτ' ἐγενήθη,
Δευκαλίων, Φαέθων, Ἑρμογένης, Ποτάμων.

## LXXVII.

p. 333. Τέθνηκ' Εὐτυχίδης ὁ μελογράφος. οἱ κατὰ γαῖαν
φεύγετ'· ἔχων ᾠδὰς ἔρχεται Εὐτυχίδης·
καὶ κιθάρας αὐτῷ διετάξατο συγκατακαῦσαι
δώδεκα, καὶ κίστας εἰκοσίπεντε νόμων.
νῦν ὑμῖν ὁ Χάρων ἐπελήλυθε· ποῦ τις ἀπέλθῃ
λοιπὸν, ἐπεὶ καὶ γῆν Εὐτυχίδης κατέχει;

## LXXVIII.

Μηκέτι, μηκέτι Μάρκε τὸ παιδίον, ἀλλ' ἐμὲ κόπτου,
τὸν πολὺ τοῦ παρὰ σοὶ νεκρότερον τεκνίου.
εἰς ἐμὲ νῦν ἐλέγους ποίει πάλιν, εἰς ἐμὲ θρήνους,
δήμιε, τὸν στιχίνῳ σφαζόμενον θανάτῳ.
τοῦ σοῦ γὰρ πάσχω νεκροῦ χάριν, οἷα πάθοιεν
οἱ καταδείξαντες βιβλία καὶ καλάμους.

LXXVII. 5. Cod. Vat. ἀπέλθω. Scr. ἀπέλθοι.
LXXVIII. 6. Fort. καταλείξαντες.

## LXXIX.

T. II.

Οὐχ οὕτω κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
ἄνθρωποι, διὰ τὰς ἐξαπίνης ἐνέδρας,
οἷον ἀκήρυκτον, Καλλίστρατε, καὶ σὺ προελθὼν
ποιεῖς μοι φονικῶν ἑξαμέτρων πόλεμον.
σάλπιγξον ταχέως ἀνακλητικόν· εἰς ἀνοχὰς γὰρ
καὶ Πρίαμος κλαύσας ἡμερίων ἔτυχε.

## LXXX.

Μισῶ, δέσποτα Καῖσαρ, ὅσοις νέος οὐδέποτ' οὐδεὶς
ἤρεσε, κἂν εἴπῃ ΜΗΝΙΝ ΑΕΙΔΕ ΘΕΑ·
ἀλλ' ἢν μὴ Πριάμου τις ἔχῃ χρόνον ἡμιφάλακρος,
ἢ καὶ κυρτὸς ἄγαν, οὐ δύνατ' ΑΛΦΑ γράφειν.
εἰ δ' ὄντως οὕτως τοῦτ' ἔστ' ἔχον, ὦ ὕπατε Ζεῦ, p. 334.
εἰς τοὺς κηλήτας ἔρχεται ἡ σοφία.

## LXXXI.

Πέντ' ὀβολῶν πέπρακεν Ἀπολλοφάνης ὁ τραγῳδὸς
πέντε θεῶν σκευήν, Ἡρακλέους ῥόπαλον,
Τισιφόνης τὰ φόβητρα, Ποσειδῶνος δὲ τρίαιναν,
ὅπλον Ἀθηναίης, Ἀρτέμιδος φαρέτρην.
οἱ δὲ θεοὶ παρὰ Ζηνὶ καθήμενοι ἐξεδόθησαν
εἰς βραχὺ σιταρίου κέρμα καὶ οἰναρίου.

## LXXXII.

Πάντα καθ' ἱστορίην ὀρχούμενος, ἓν τὸ μέγιστον
τῶν ἔργων παριδὼν, ἠνίασας μεγάλως.
τὴν μὲν γὰρ *Νιόβην ὀρχούμενος, ὡς λίθος ἔστης,
καὶ πάλιν ὢν Καπανεύς, ἐξαπίνης ἔπεσες.

T. II. ἀλλ' ἐπὶ τῆς Κανάκης ἀφυῶς, ὅτι καὶ ξίφος ἦν σοι,
καὶ ζῶν ἐξῆλθες· τοῦτο παρ' ἱστορίην.

## LXXXIII.

Ἐκ ποίων ὁ πατήρ σε δρυῶν τέτμηκεν, Ἀρίστων,
ἢ ποίων σε μύλου κόψατο λατομιῶν;
ἢ γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, ἢ ἀπὸ πέτρης
ὀρχηστής, Νιόβης ἔμπνοον ἀρχέτυπον·
ὥστε με θαυμάζοντα λέγειν, ὅτι καὶ σύ τι Λητοῖ
ἤρισας· οὐ γὰρ ἂν ἦς αὐτομάτως λίθινος.

## LXXXIV.

Χοιρίδιον καὶ βοῦν ἀπολώλεκα, καὶ μίαν αἶγα,
ὧν χάριν εἴληφας μισθάριον, Μενέκλεις.
p. 335. οὔτε δ' ἐμοὶ κοινόν τι πρὸς Ὀθρυάδαν γεγένηται,
οὔτ' ἀπάγω κλέπτας τοὺς ἀπὸ Θερμοπυλῶν·
ἀλλὰ πρὸς Εὐτυχίδην ἔχομεν κρίσιν· ὥστε τί ποιεῖ
ἐνθάδε μοι Ξέρξης καὶ Λακεδαιμόνιοι;
πλὴν κἀμοῦ μνήσθητι νόμου χάριν, ἢ μέγα κράξω·
ΑΛΛΑ ΛΕΓΕΙ ΜΕΝΕΚΛΗΣ, ΑΛΛΑ ΤΟ ΧΟΙΡΙΔΙΟΝ.

## LXXXV.

Οὐ δέχεται Μάρκον τὸν ῥήτορα νεκρὸν ὁ Πλούτων,
εἰπών· Ἀρκείτω Κέρβερος ὧδε κύων.
εἰ δ' ἐθέλεις πάντως, Ἰξίονι καὶ Μελίτωνι
τῷ μελοποιητῇ, καὶ Τιτυῷ μελέτα.
οὐδὲν γάρ σου χεῖρον ἔχω κακὸν, ἄχρις ἂν ἐλθὼν
ὧδε σολοικίζῃ Ροῦφος ὁ γραμματικός.

LXXXV. 4. Vat. Cod. μελίται.

## LXXXVI. T. II.

Μηδὲ λαλῶν, πρώην ἐσολοίκισε Φλάκκος ὁ ῥήτωρ,
καὶ μέλλων χαίνειν, εὐθὺς ἐβαρβάρισε,
καὶ τῇ χειρὶ τὰ λοιπὰ σολοικίζει διανεύων.
κἀγὼ δ᾽ αὐτὸν ἰδὼν, τὸ στόμα μου δέδεται.

## LXXXVII.

ΠΟΛΛΟΥ ΔΕΙ, καὶ ΣΦΙΝ, καὶ τρὶς παρ᾽ ἕκαστα ΔΙΚΑΣΤΑΙ
ΑΝΔΡΕΣ, καὶ ΛΕΓΕ ΔΗ ΤΟΝ ΝΟΜΟΝ ΕΝΘΑΔΕ ΜΟΙ,
καὶ ΤΑΤΤΙ, καὶ ΜΩΝ, καὶ ΤΕΤΤΑΡΑΚΟΝΤΑ, καὶ ΑΤΤΑ
σκηψάμενος, καίτοι ΝΗ ΔΙΑ, καὶ ΜΑ ΔΙΑ,
ῥήτωρ ἐστὶ Κρίτων, καὶ παιδία πολλὰ διδάσκει·
προσθήσει δ᾽ αὐτοῖς ΓΡΥ, ΦΛΘΙ, καὶ ΜΙΝ ἔτι.

## LXXXVIII. p. 336.

Οὔτε Χίμαιρα τοιοῦτον ἔπνει κακὸν, ἤ καθ᾽ Ομηρον,
οὔτ᾽ ἀγέλη ταύρων, ὡς ὁ λόγος, πυρίπνους,
οὐ Λῆμνος σύμπασα, καὶ Αρπυιῶν τὰ περισσὰ,
οὐδ᾽ ὁ Φιλοκτήτου ποὺς ἀποσηπόμενος·
ὥστε σε παμψηφεὶ νικᾷν, Τελέσιλλα, Χιμαίρας,
σηπεδόνας, ταύρους, ὄρνεα, Λημνιάδας.

## LXXXIX.

Οὐ μόνον αὐτὴ πνεῖ Δημοστρατὶς, ἀλλὰ καὶ αὐτῆς
τοὺς ὀσμησαμένους πνεῖν πεποίηκε τράγου.

## XC.

Λύεσθαί σε λέγουσι πολὺν χρόνον, Ἡλιόδωρε,
γραῖαν ἐτῶν ἑκατὸν μὴ καταλυομένην.
πλὴν ἔγνωκα τίνος ποιεῖς χάριν· ὡς ὁ παλαιὸς
ἐλπίζεις Πελίας ἑψομένη νεάσαι.

T. II.

## XCI.

Τὸν δασὺν Ἑρμογένην ζητεῖ πόθεν ἄρξεθ' ὁ κουρεὺς
κείρειν τὴν κεφαλὴν, οὕνθ' ὅλον ὡς κεφαλήν.

## XCII.

Ἄρες Ἄρες βροτολοιγὲ, μιαιφόνε παύεο κουρεῦ
τέμνων, οὐ γάρ ἔχεις οὐκέτι ποῦ με τεμεῖς.
ἀλλ' ἤδη μεταβὰς ἐπὶ τοὺς μύας, ἢ τὰ κάτωθεν
τῶν γονάτων, οὕτω τέμνε με, καὶ παρέχω.
νῦν μὲν γὰρ μυιῶν ὁ τόπος γέμει· ἢν δ' ἐπιμείνῃς,
ὄψει καὶ γυπῶν ἔθνεα καὶ κοράκων.

p. 337.

## XCIII.

Γράψας Δευκαλίωνα, Μενέστρατε, καὶ Φαέθοντα,
ζητεῖς τίς τούτων ἄξιός. ἐστι τινός.
τοῖς ἰδίοις αὐτοὺς τιμήσομεν. ἄξιος ὄντως
ἐστὶ πυρὸς Φαέθων, Δευκαλίων δ' ὕδατος.

## XCIV.

Εἴκοσι γεννήσας ὁ ζωγράφος Εὔτυχος υἱοὺς,
οὐδ' ἐπὶ τῶν τέκνων οὐδὲν ὅμοιον ἔχει.

## XCV.

Θεσσαλὸν ἵππον ἔχεις, Ἐρασίστρατε, ἀλλὰ σαλεῦσαι
οὐ δύνατ' αὐτὸν ὅλης φάρμακα Θεσσαλίης,
ὄντως δούριον ἵππον, ὃν εἰ Φρύγες εἷλκον ἅπαντες
σὺν Δαναοῖς, Σκαιὰς οὐκ ἂν ἐσῆλθε πύλας·
ὃν στήσας ἀνάθημα θεοῦ τινος, εἰ προσέχεις μοι,
τὰς κριθὰς ποίει τοῖς τεκνίοις πτισάνην.

XCVI.

## XCVI. T. II.

Ἵππον ὑποσχόμενός μοι Ὀλύμπιος, ἤγαγεν οὐρὴν,
ἧς ὀλιγοδρανέων ἵππος ἀπεκρέματο.

## XCVII.

Εἰ μὲν ζῇς ἐλάφου τανααὸν χρόνον, ἠὲ κορώνης,
συγγνώμη πλεῖστον πλοῦτον ἀγειρομένῳ.
εἰ δέ τις ἐσσὶ βροτῶν, οὓς αὐτίκα γῆρας ἰάπτει,
μή σέ γ᾽ ἀπειρεσίων οἶστρος ἕλῃ κτεάνων.
καὶ σὺ γὰρ ἀτλήτοισιν ἐν ἄλγεσι θυμὸν ὀλέσσεις,
χρήσονται δ᾽ ἄλλοι σοῖς ἀγαθοῖς ἀπόνως.

## XCVIII. p. 338.

Οὐ γλήχωνι Κρίτων ὁ φιλάργυρος, ἀλλὰ διχάλκῳ
αὐτὸν ἀποσφραίνει, θλιβομένου στομάχου.

## XCIX.

Θνήσκων Ἑρμοκράτης ὁ φιλάργυρος, ἐν διαθήκαις
αὐτὸν τῶν ἰδίων ἔγραφε κληρονόμον.
ψηφίζων δ᾽ ἀνέκειτο πόσον δώσει διεγερθεὶς
ἰητροῖς μισθὸν, καὶ τί νοσῶν δαπανᾷ·
ὡς δ᾽ εὗρε πλείω δραχμὴν μίαν, ἢν διασωθῇ,
Λυσιτελεῖ θνήσκειν, εἶπε, καὶ ἐξετάθη.
κεῖτο δ᾽ ὅ γ᾽ οὐδὲν ἔχων ὀβολοῦ πλέον· οἱ δὲ τὰ κείνου
χρήματα κληρονόμοι ἥρπασαν ἀσπασίως.

## C.

Γεννηθὲν τὸ τέκνον κατεπόντισεν Αὖλος ὁ κνιπὸς,
ψηφίζων αὐτοῦ σωζομένου δαπάνας.

T. II.

CI.

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος,
ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

CII.

Θαρσύμαχε, πλοῦτον πολὺν ὤλεσας ἐξ ἐπιβουλῆς,
εἰς οὐδὲν δ' ἥκεις ἄθλιος ἐξαπίνης,
φεισάμενος, δανίσας, τοκίσας τόκον, ὑδροποτήσας,
πολλάκι μηδὲ φαγὼν, ὥστε τι πλεῖον ἔχειν.
ἀλλ' εἴ μοι λογίσαιο τὸ πεινῆν, καὶ τότε, καὶ νῦν,
οὐδὲν ἔλαττον ἔχεις ὧν τότ' ἔδοξας ἔχειν.

p. 339. CIII.

Ποιήσας δαπάνην ἐν ὕπνοις ὁ φιλάργυρος Ἑρμῶν
ἐκ περιωδονίας αὐτὸν ἀπηγχόνισεν.

CIV.

Μῦν Ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ,
καὶ, Τί ποιεῖς, φησὶν, φίλτατε μῦ παρ' ἐμοί;
ἡδὺ δ' ὁ μῦς γελάσας, Μηδὲν φίλε, φησὶ, φοβηθῇς,
οὐχὶ τροφῆς παρὰ σοὶ χρῄζομεν, ἀλλὰ μονῆς.

CV.

Φαῖδρος πραγματικὸς, καὶ ζωγράφος ἤρισε Ροῦφος,
τίς θᾶσσον γράψει, καὶ τίς ὁμοιότερον.
ἀλλ' ἐν ὅσῳ Ροῦφος τρίβειν τὰ χρώματ' ἔμελλε,
Φαῖδρος ἔγραψε λαβὼν εἰκονικὴν ἀποχήν.

CVI.

Τοὺς πόδας εἰ Κρατερὸς καὶ τὰς χεῖρας εἶχ' ὁλοκλήρους,
οὐκ ἂν τὴν κεφαλὴν εἶχε, τοιαῦτα γράφων.

T. II.

CVII.

Μακροτέρῳ σταυρῷ σταυρούμενον ἄλλον ἑαυτοῦ
ὁ φθονερὸς Διοφῶν ἐγγὺς ἰδὼν ἐτάκη.

CVIII.

Εἰς φυλακὴν βληθείς ποτε Μάρκος ὁ ἀργὸς, ἑκοντὶ,
ὀκνῶν ἐξελθεῖν, ὡμολόγησε φόνον.

CIX. p. 340.

Τῆς νυκτὸς τροχάσας ἐν ὕπνοις ποτὲ Μάρκος ὁ ἀργὸς
οὐκ ἔτ' ἐκοιμήθη, μὴ πάλι που τροχάσῃ.

CX.

Οὕτως ἔτ' ἀργὸς Πανταίνετος, ὥστε πυρέξας
μηκέτ' ἀναστῆναι παντὸς ἐδεῖτο θεοῦ.
καὶ νῦν οὐκ ἐθέλων μὲν ἐγείρεται, ἐν δέ οἱ αὐτῷ
κωφὰ θεῶν ἀδίκων οὔατα μεμφόμενος.

CXI.

Ἐκ ποίων ἔταμες, Διονύσιε, τὰ ξύλα ταῦτα
λατομιῶν; ποίων τὸ σκάφος ἐστὶ μύλων;
εἰ γὰρ ἐγώ τι νοῶ, μολίβου γένος, οὐ δρυός ἐστιν,
οὐδ' ἐλάτης· μικροῦ ῥιζοβολεῖ τὰ κάτω.
καὶ τυχὸν ἐξαπίνης ἔσομαι λίθος· εἶτα, τὸ χεῖρον,
γράψει μ' ὡς Νιόβην δρᾶμα σαπρὸν Μελίτων.

CXII.

Εἰς πέλαγος πλέομεν, Διονύσιε, καὶ γεγέμισται
τὸ πλοῖον παντὸς πανταχόθεν πελάγους.
ἀντλεῖται δ' Ἀδρίας, Τυῤῥηνικὸν, Ἰβηρικὸν, αἰγῶν.
οὐ πλοῖον, πηγὴ δ' Ὠκεανοῦ ξυλίνη.

CXII. 3. Fort. Αἴγων.

T. II. ὁπλίζει Καῖσαρ· Διονύσιος ἄρχεται ἤδη
οὐκέτι ναυκληρεῖν, ἀλλὰ θαλασσοκρατεῖν.

## CXIII.

Οἱ τοῖχοι, Διόφαντε, τὰ κύματα πάντα δέχονται,
καὶ διὰ τῶν θυρίδων Ὠκεανὸς φέρεται.
p. 341. δελφίνων δ' ἀγέλαι, καὶ Νηρέος ἀγλαὰ τέκνα
ἐν τῷ πλοίῳ σου νηχόμενα βλέπεται.
ἂν δ' ἀναμείνωμεν, πλεύσει τάχα καί τις ἐν ἡμῖν·
οὐ γὰρ ἔνεστιν ὕδωρ οὐκέτι τῷ πελάγει.

## CXIV.

Ανθρακα καὶ δάφνην παραβύεται ὁ στρατιώτης
Αὖλος, ἀποσφίγξας μήλινα λωμάτια.
φρίσσει καὶ τὸ μάτην ἴδιον ξίφος. ἢν δέ ποτ' εἴπῃς,
ΕΡΧΟΝΤ', ἐξαπίνης ὕπτιος ἐκτέταται.
οὐδενὶ δ' οὐ Πολέμωνι προσέρχεται, οὐ Στρατοκλείδῃ·
ἀλλὰ φίλῳ χρῆται πάντοτε Λυσιμάχῳ.

## CXV.

Γραπτὴν ἐν τοίχῳ Καλπούρνιος ὁ στρατιώτης,
ὡς ἔθος ἐστὶν, ἰδὼν τὴν ἐπὶ νανσὶ μάχην,
ἄσφυκτος καὶ χλωρὸς ὁ θούριος ἐξετανύσθη,
Ζωγρεῖτε, κράξας, Τρῶες ἀρηΐφιλοι.
κεὶ μὴ τέτρωται κατεμάνθανε, καὶ μόλις ἔγνω
ζῆν· τότε τοῖς τοίχοις ὡμολόγησε λύτρα.

## CXVI.

Οὐκ ἔστι θυγατρὸς μεῖζον βάρος. εἰ δὲ δοκεῖ σοι,
Εὐκτήμων, εἶναι κοῦφον, ἄκουσον ἐμοῦ.

ἔστιν σοὶ κήλη, κἀμοὶ θυγάτηρ· λάβε ταύτην, T. II.
καὶ δός μοι κήλας ἀντὶ μιᾶς ἑκατόν.

## CXVII.

p. 342.

Εἰς οἶνον φαῦλον δοθέντα αὐτῷ.

Εἴ τιν' ἔχεις Διόνυσον ἐνὶ μεγάροισι τεοῖσι,
τὸν κισσὸν ἀφελὼν, θριδάκων φύλλοις στεφάνωσον.

## CXVIII.

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς·
ἢν δὲ μὴ, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

## CXIX.

Πολλὰ τὸ δαιμόνιον δύναται, κἂν ᾖ παράδοξα·
τοὺς μικροὺς ἀνάγει, τοὺς μεγάλους κατάγει.
καὶ σοῦ τὴν ὀφρὺν, καὶ τὸν τῦφον καταπαύσει,
κἂν ποταμὸς χρυσοῦ νάματά σοι παρέχῃ.
οὐ θρύον, οὐ μαλάχην ἄνεμός ποτε, τὰς δὲ μεγίστας
ἢ δρύας, ἢ πλατάνους οἶδε χαμαὶ κατάγειν.

## CXX.

Εἴ τις γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι
γηράσκειν πολλὰς εἰς ἐτέων δεκάδας.

## CXXI.

Ἄχρις ἂν ᾖς ἄγαμος, Νουμήνιε, πάντα δοκεῖ σοι
ἐν τῷ ζῆν εἶναι τἀγαθὰ τῶν ἀγαθῶν.
εἶθ' ὅταν εἰσέλθῃ γαμετὴ, πάλιν εὐθὺ δοκεῖ σοι,
ἐν τῷ ζῆν εἶναι πάντα κακῶν τὰ κακά.
ἀλλὰ χάριν τεκνίων; ἕξεις, Νουμήνιε, τέκνα,
χαλκὸν ἔχων· πτωχὸς οὐδὲ τὰ τέκνα φιλεῖ.

T. II. οὐδὲ γὰρ εἶδον ἐγώ τινα Μάξιμον. εἰς δ' ἐπίδειξιν
ποιητοῦ κλαίειν τοὺς παριοῦσι λέγω.

## LXXVI.

Οὔτ' ἐπὶ Δευκαλίωνος ὕδωρ, οὔτε πάντ' ἐπεκλύσθη,
οὔθ' ὁ καταπρήσας τοὺς ἐπὶ γῆς Φαέθων,
ἀνθρώπους ἔκτεινεν, ὅσους Ποτάμων ὁ ποιητὴς,
καὶ χειρουργήσας ὤλεσεν Ἑρμογένης.
ὥστ' ἐξ αἰῶνος κακὰ τέσσαρα ταῦτ' ἐγενήθη,
Δευκαλίων, Φαέθων, Ἑρμογένης, Ποτάμων.

## LXXVII.

p. 333. Τέθνηκ' Εὐτυχίδης ὁ μελογράφος. οἱ κατὰ γαῖαν
φεύγετ'· ἔχων ᾠδὰς ἔρχεται Εὐτυχίδης·
καὶ κιθάρας αὐτῷ διετάξατο συγκατακαῦσαι
δώδεκα, καὶ κίστας εἰκοσίπεντε νόμων.
νῦν ὑμῖν ὁ Χάρων ἐπελήλυθε· ποῦ τις ἀπέλθῃ
λοιπὸν, ἐπεὶ καὶ γῆν Εὐτυχίδης κατέχει;

## LXXVIII.

Μηκέτι, μηκέτι Μάρκε τὸ παιδίον, ἀλλ' ἐμὲ κόπτου,
τὸν πολὺ τοῦ παρὰ σοὶ νεκρότερον τεκνίου.
εἰς ἐμὲ νῦν ἐλέγους ποίει πάλιν, εἰς ἐμὲ θρήνους,
δήμιε, τὸν στιχίνῳ σφαζόμενον θανάτῳ.
τοῦ σοῦ γὰρ πάσχω νεκροῦ χάριν, οἷα πάθοιεν
οἱ καταδείξαντες βιβλία καὶ καλάμους.

LXXVII. 5. Cod. Vat. ἀπέλθω. Scr. ἀπέλθοι.
LXXVIII. 6. Fort. καταλείξαντες.

## LXXIX.

T. II.

Οὐχ οὕτω κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
ἄνθρωποι, διὰ τὰς ἐξαπίνης ἐνέδρας,
οἷον ἀκήρυκτον, Καλλίστρατε, καὶ σὺ προσελθὼν
ποιεῖς μοι φονικῶν ἑξαμέτρων πόλεμον.
σάλπιγξον ταχέως ἀνακλητικόν· εἰς ἀνοχὰς γὰρ
καὶ Πρίαμος κλαύσας ἡμερίων ἔτυχε.

## LXXX.

Μισῶ, δέσποτα Καῖσαρ, ὅσοις νέος οὐδέποτ' οὐδεὶς
ἤρεσε, κἂν εἴπῃ ΜΗΝΙΝ ΑΕΙΔΕ ΘΕΑ·
ἀλλ' ἢν μὴ Πριάμου τις ἔχῃ χρόνον ἡμιφάλακρος,
ἢ καὶ κυρτὸς ἄγαν, οὐ δύνατ' ΑΛΦΑ γράφειν.
εἰ δ' ὄντως οὕτως τοῦτ' ἔστ' ἔχον, ὦ ὕπατε Ζεῦ, p. 334.
εἰς τοὺς κηλήτας ἔρχεται ἡ σοφία.

## LXXXI.

Πέντ' ὀβολῶν πέπρακεν Ἀπολλοφάνης ὁ τραγῳδὸς
πέντε θεῶν σκευὴν, Ἡρακλέους ῥόπαλον,
Τισιφόνης τὰ φόβητρα, Ποσειδῶνος δὲ τρίαιναν,
ὅπλον Ἀθηναίης, Ἀρτέμιδος φαρέτρην.
οἱ δὲ θεοὶ παρὰ Ζηνὶ καθήμενοι ἐξεδόθησαν
εἰς βραχὺ σιταρίου κέρμα καὶ οἰναρίου.

## LXXXII.

Πάντα καθ' ἱστορίην ὀρχούμενος, ἓν τὸ μέγιστον
τῶν ἔργων παριδὼν, ἠνίασας μεγάλως.
τὴν μὲν γὰρ Νιόβην ὀρχούμενος, ὡς λίθος ἔστης,
καὶ πάλιν ὢν Καπανεὺς, ἐξαπίνης ἔπεσες.

T. II. ἀλλ' ἐπὶ τῆς Κανάκης ἀφυῶς, ὅτι καὶ ξίφος ἦν σοι,
καὶ ζῶν ἐξῆλθες· τοῦτο παρ' ἱστορίην.

## LXXXIII.

Ἐκ ποίων ὁ πατήρ σε δρυῶν τέτμηκεν, Ἀρίστων,
ἢ ποίων σε μύλου κόψατο λατομιῶν;
ἢ γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, ἢ ἀπὸ πέτρης
ὀρχηστὴς, Νιόβης ἔμπνοον ἀρχέτυπον·
ὥστε με θαυμάζοντα λέγειν, ὅτι καὶ σύ τι Λητοῖ
ἤρισας· οὐ γὰρ ἂν ἦς αὐτομάτως λίθινος.

## LXXXIV.

Χοιρίδιον καὶ βοῦν ἀπολώλεκα, καὶ μίαν αἶγα,
ὧν χάριν εἴληφας μισθάριον, Μενέκλεις.
p. 335. οὔτε δ' ἐμοὶ κοινόν τι πρὸς Ὀθρυάδαν γεγένηται,
οὔτ' ἀπάγω κλέπτας τοὺς ἀπὸ Θερμοπυλῶν·
ἀλλὰ πρὸς Εὐτυχίδην ἔχομεν κρίσιν· ὥστε τί ποιεῖ
ἐνθάδε μοι Ξέρξης καὶ Λακεδαιμόνιοι;
πλὴν κἀμοῦ μνήσθητι νόμου χάριν, ἢ μέγα κράξω·
ΑΛΛΑ ΛΕΓΕΙ ΜΕΝΕΚΛΗΣ, ΑΛΛΑ ΤΟ ΧΟΙΡΙΔΙΟΝ.

## LXXXV.

Οὐ δέχεται Μάρκον τὸν ῥήτορα νεκρὸν ὁ Πλούτων,
εἰπών· Ἀρκείτω Κέρβερος ὧδε κύων.
εἰ δ' ἐθέλεις πάντως, Ἰξίονι καὶ Μελίτωνι
τῷ μελοποιητῇ, καὶ Τιτυῷ μελέτα.
οὐδὲν γάρ σου χεῖρον ἔχω κακὸν, ἄχρις ἂν ἐλθὼν
ὧδε σολοικίζῃ Ροῦφος ὁ γραμματικός.

LXXXV. 4. Vat. Cod. μελέται.

## LXXXVI.

T. II.

Μηδὲ λαλῶν, πρώην ἐσολοίκισε Φλάκκος ὁ ῥήτωρ,
καὶ μέλλων χαίνειν, εὐθὺς ἐβαρβάρισε,
καὶ τῇ χειρὶ τὰ λοιπὰ σολοικίζει διανεύων.
κἀγὼ δ' αὐτὸν ἰδὼν, τὸ στόμα μου δέδεται.

## LXXXVII.

ΠΟΛΛΟΥ ΔΕΙ, καὶ ΣΦΙΝ, καὶ τρὶς παρ' ἕκαστα ΔΙΚΑΣΤΑΙ
ΑΝΔΡΕΣ, καὶ ΛΕΓΕ ΔΗ ΤΟΝ ΝΟΜΟΝ ΕΝΘΑΔΕ ΜΟΙ,
καὶ ΤΑΥΤΙ, καὶ ΜΩΝ, καὶ ΤΕΤΤΑΡΑΚΟΝΤΑ, καὶ ΑΤΤΑ
σκηψάμενος, καίτοι ΝΗ ΔΙΑ, καὶ ΜΑ ΔΙΑ,
ῥήτωρ ἐστὶ Κρίτων, καὶ παιδία πολλὰ διδάσκει·
προσθήσει δ' αὐτοῖς ΓΡΥ, ΦΑΘΙ, καὶ ΜΙΝ ἔτι.

## LXXXVIII.

p. 336.

Οὔτε Χίμαιρα τοιοῦτον ἔπνει κακὸν, ἡ καθ' Ὅμηρον,
οὔτ' ἀγέλη ταύρων, ὡς ὁ λόγος, πυρίπνους,
οὐ Λῆμνος σύμπασα, καὶ Ἁρπυιῶν τὰ περισσὰ,
οὐδ' ὁ Φιλοκτήτου πούς ἀποσηπόμενος·
ὥστε σε παμψηφεὶ νικᾶν, Τελέσιλλα, Χιμαίρας,
σηπεδόνας, ταύρους, ὄρνεα, Λημνιάδας.

## LXXXIX.

Οὐ μόνον αὐτὴ πνεῖ Δημοστρατὶς, ἀλλὰ καὶ αὐτῆς
τοὺς ὀσμησαμένους πνεῖν πεποίηκε τράγου.

## XC.

Λούεσθαί σε λέγουσι πολὺν χρόνον, Ἡλιόδωρε,
γραῖαν ἐτῶν ἑκατὸν μὴ καταλυομένην.
πλὴν ἔγνωκα τίνος ποιεῖς χάριν· ὡς ὁ παλαιὸς
ἐλπίζεις Πελίας ἑψομένη νεάσαι.

T. II.

XCI.

Τὸν δασὺν Ἑρμογένην ζητεῖ πόθεν ἄρξεθ᾽ ὁ κουρεὺς
κείρειν τὴν κεφαλὴν, ὄνθ᾽ ὅλον ὡς κεφαλήν.

XCII.

Ἄρες Ἄρες βροτολοιγὲ, μιαιφόνε παύεο κουρεῦ
τέμνων, οὐ γάρ ἔχεις οὐκέτι ποῦ με τεμεῖς.
ἀλλ᾽ ἤδη μεταβὰς ἐπὶ τοὺς μύας, ἢ τὰ κάτωθεν
τῶν γονάτων, οὕτω τέμνε με, καὶ παρέχω.
νῦν μὲν γὰρ μυιῶν ὁ τόπος γέμει· ἢν δ᾽ ἐπιμείνῃς,
ὄψει καὶ γυπῶν ἔθνεα καὶ κοράκων.

p. 337.

XCIII.

Γράψας Δευκαλίωνα, Μενέστρατε, καὶ Φαέθοντα,
ζητεῖς τίς τούτων ἄξιός ἐστι τινός.
τοῖς ἰδίοις αὐτοὺς τιμήσομεν. ἄξιος ὄντως
ἐστὶ πυρὸς Φαέθων, Δευκαλίων δ᾽ ὕδατος.

XCIV.

Εἴκοσι γεννήσας ὁ ζωγράφος Εὔτυχος υἱοὺς,
οὐδ᾽ ἐπὶ τῶν τέκνων οὐδὲν ὅμοιον ἔχει.

XCV.

Θεσσαλὸν ἵππον ἔχεις, Ἐρασίστρατε, ἀλλὰ σαλεῦσαι
οὐ δύνατ᾽ αὐτὸν ὅλης φάρμακα Θεσσαλίης,
ὄντως δούριον ἵππον, ὃν εἰ Φρύγες εἷλκον ἅπαντες
σὺν Δαναοῖς, Σκαιὰς οὐκ ἂν ἐσῆλθε πύλας·
ὃν στήσας ἀνάθημα θεοῦ τινος, εἰ προσέχεις μοι,
τὰς κριθὰς ποίει τοῖς τεκνίοις πτισάνην.

## XCVI. T. II.

Ἵππον ὑποσχόμενός μοι Ὀλύμπιος, ἤγαγεν οὐρήν,
ἧς ὀλιγοδρανέων ἵππος ἀπεκρέματο.

## XCVII.

Εἰ μὲν ζῇς ἐλάφου ταναὸν χρόνον, ἠὲ κορώνης,
συγγνώμη πλεῖστον πλοῦτον ἀγειρομένῳ.
εἰ δέ τις ἐσσὶ βροτῶν, ὃς αὐτίκα γῆρας ἰάπτει,
μή σέ γ' ἀπειρεσίων οἶστρος ἕλῃ κτεάνων.
καὶ σὺ γὰρ ἀτλήτοισιν ἐν ἄλγεσι θυμὸν ὀλέσσεις,
χρήσονται δ' ἄλλοι σοῖς ἀγαθοῖς ἀπόνως.

## XCVIII. p. 338.

Οὐ γλήχωνι Κρίτων ὁ φιλάργυρος, ἀλλὰ διχάλκῳ
αὑτὸν ἀποσφραίνει, θλιβομένου στομάχου.

## XCIX.

Θνήσκων Ἑρμοκράτης ὁ φιλάργυρος, ἐν διαθήκαις
αὑτὸν τῶν ἰδίων ἔγραφε κληρονόμον.
ψηφίζων δ' ἀνέκειτο πόσον δώσει διεγερθεὶς
ἰητροῖς μισθὸν, καὶ τί νοσῶν δαπανᾷ;
ὡς δ' εὗρε πλείω δραχμὴν μίαν, ἢν διασωθῇ,
Λυσιτελεῖ θνήσκειν, εἶπε, καὶ ἐξετάθη.
κεῖτο δ' ὅ γ' οὐδὲν ἔχων ὀβολοῦ πλέον· οἱ δὲ τὰ κείνου
χρήματα κληρονόμοι ἥρπασαν ἀσπασίως.

## C.

Γεννηθὲν τὸ τέκνον κατεπόντισεν Αὖλος ὁ κνιπὸς,
ψηφίζων αὐτῷ σωζομένου δαπάνας.

T. II.

CI.

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος,
ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

CII.

Θαρσύμαχε, πλοῦτον πολὺν ὤλεσας ἐξ ἐπιβουλῆς,
εἰς οὐδὲν δ' ἥκεις ἄθλιος ἐξαπίνης,
φεισάμενος, δανίσας, τοκίσας τόκον, ὑδροποτήσας,
πολλάκι μηδὲ φαγὼν, ὥστε τι πλεῖον ἔχειν.
ἀλλ' εἴ μοι λογίσαιο τὸ πεινῆν, καὶ τότε, καὶ νῦν,
οὐδὲν ἔλαττον ἔχεις ὧν τότ' ἔδοξας ἔχειν.

p. 339. CIII.

Ποιήσας δαπάνην ἐν ὕπνοις ὁ φιλάργυρος Ἑρμῶν
ἐκ περιωδυνίας αὐτὸν ἀπηγχόνισεν.

CIV.

Μῦν Ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ,
καὶ, Τί ποιεῖς, φησὶν, φίλτατε μῦ παρ' ἐμοί;
ἡδὺ δ' ὁ μῦς γελάσας, Μηδὲν φίλε, φησὶ, φοβηθῇς,
οὐχὶ τροφῆς παρὰ σοὶ χρήζομεν, ἀλλὰ μονῆς.

CV.

Φαῖδρος πραγματικὸς, καὶ ζωγράφος ἤρισε Ροῦφος,
τίς θᾶσσον γράψει, καὶ τίς ὁμοιότερον.
ἀλλ' ἐν ὅσῳ Ροῦφος τρίβειν τὰ χρώματ' ἔμελλε,
Φαῖδρος ἔγραψε λαβὼν εἰκονικὴν ἀποχήν.

CVI.

Τοὺς πόδας εἰ Κρατερὸς καὶ τὰς χέρας εἶχ' ὁλοκλήρους,
οὐκ ἂν τὴν κεφαλὴν εἶχε, τοιαῦτα γράφων.

T. II.

## CVII.

Μακροτέρῳ σταυρῷ σταυρούμενον ἄλλον ἑαυτοῦ
  ὁ φθονερὸς Διοφῶν ἐγγὺς ἰδὼν ἐτάκη.

## CVIII.

Εἰς φυλακὴν βληθείς ποτε Μάρκος ὁ ἀργὸς, ἑκοντὶ,
  ὀκνῶν ἐξελθεῖν, ὡμολόγησε φόνον.

## CIX.

p. 340.

Τῆς νυκτὸς τροχάσας ἐν ὕπνοις ποτὲ Μάρκος ὁ ἀργὸς
  οὐκ ἔτ' ἐκοιμήθη, μὴ πάλι που τροχάσῃ.

## CX.

Οὕτως ἔστ' ἀργὸς Πανταίνετος, ὥστε πυρέξας
  μηκέτ' ἀναστῆναι παντὸς ἐδεῖτο θεοῦ.
καὶ νῦν οὐκ ἐθέλων μὲν ἐγείρεται, ἐν δέ οἱ αὐτῷ
  κωφὰ θεῶν ἀδίκων οὔατα μεμφόμενος.

## CXI.

Ἐκ ποίων ἔταμες, Διονύσιε, τὰ ξύλα ταῦτα
  λατομιῶν; ποίων τὸ σκάφος ἐστὶ μύλων;
εἰ γὰρ ἐγώ τι νοῶ, μολίβου γένος, οὐ δρυός ἐστιν,
  οὐδ' ἐλάτης· μικροῦ ῥιζοβολεῖ τὰ κάτω.
καὶ τυχὸν ἐξαπίνης ἔσομαι λίθος· εἶτα, τὸ χεῖρον,
  γράψει μ' ὡς Νιόβην δρᾶμα σαπρὸν Μελίτων.

## CXII.

Εἰς πέλαγος πλέομεν, Διονύσιε, καὶ γεγέμισται
  τὸ πλοῖον παντὸς πανταχόθεν πελάγους.
ἀντλεῖται δ' Αδρίας, Τυῤῥηνικὸν, Ιστρικὸν, αἰγῶν.
  οὐ πλοῖον, πηγὴ δ' Ωκεανοῦ ξυλίνη.

CXII. 3. Fort. Αἴγων.

T. II. ὅπλιζε Καῖσαρ· Διονύσιος ἄρχεται ἤδη
οὐκέτι ναυκληρεῖν, ἀλλὰ θαλασσοκρατεῖν.

## CXIII.

Οἱ τοῖχοι, Διόφαντε, τὰ κύματα πάντα δέχονται,
καὶ διὰ τῶν θυρίδων Ὠκεανὸς φέρεται.
p. 341. δελφίνων δ' ἀγέλαι, καὶ Νηρέος ἀγλαὰ τέκνα
ἐν τῷ πλοίῳ σου νηχόμενα βλέπεται.
ἂν δ' ἀναμείνωμεν, πλεύσει τάχα καί τις ἐν ἡμῖν·
οὐ γὰρ ἔνεστιν ὕδωρ οὐκέτι τῷ πελάγει.

## CXIV.

Ἄνθρακα καὶ δάφνην παραβύεται ὁ στρατιώτης
Αὖλος, ἀποσφίγξας μήλινα λωμάτια.
φρίσσει καὶ τὸ μάτην ἴδιον ξίφος· ἢν δέ ποτ' εἴπῃς,
ΕΡΧΟΝΤ', ἐξαπίνης ὕπτιος ἐκτέταται.
οὐδενὶ δ' οὐ Πολέμωνι προσέρχεται, οὐ Στρατοκλείδῃ·
ἀλλὰ φίλῳ χρῆται πάντοτε Λυσιμάχῳ.

## CXV.

Γραπτὴν ἐν τοίχῳ Καλπούρνιος ὁ στρατιώτης,
ὡς ἔθος ἐστὶν, ἰδὼν τὴν ἐπὶ ναυσὶ μάχην,
ἄσφυκτος καὶ χλωρὸς ὁ θούριος ἐξετανύσθη,
Ζωγρεῖτε, κράξας, Τρῶες ἀρηΐφιλοι.
καὶ μὴ τέτρωται κατεμάνθανε, καὶ μόλις ἔγνω
ζῆν· τότε τοῖς τοίχοις ὡμολόγησε λύτρα.

## CXVI.

Οὐκ ἔστι θυγατρὸς μεῖζον βάρος. εἰ δὲ δοκεῖ σοι,
Εὐκτήμων, εἶναι κοῦφον, ἄκουσον ἐμοῦ.

ἐστιν σοὶ κήλη, κᾀμοὶ θυγάτηρ· λάβε ταύτην, T. II.
καὶ δός μοι κήλας ἀντὶ μιᾶς ἑκατόν.

CXVII. p. 342.

Εἰς οἶνον φαῦλον δοθέντα αὐτῷ.

Εἴ τιν᾽ ἔχεις Διόνυσον ἐνὶ μεγάροισι τεοῖσι,
τὸν κισσὸν ἀφελὼν, θριδάκων φύλλοις στεφάνωσον.

CXVIII.

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς·
ἢν δὲ μὴ, ἀλλ᾽ ἡμεῖς αὐτὰ παρερχόμεθα.

CXIX.

Πολλὰ τὸ δαιμόνιον δύναται, κἂν ᾖ παράδοξα·
τοὺς μικροὺς ἀνάγει, τοὺς μεγάλους κατάγει.
καὶ σοῦ τὴν ὀφρὺν, καὶ τὸν τῦφον καταπαύσει,
κἂν ποταμὸς χρυσοῦ νάματά σοι παρέχῃ.
οὐ θρύον, οὐ μαλάχην ἄνεμός ποτε, τὰς δὲ μεγίστας
ἢ δρύας, ἢ πλατάνους οἶδε χαμαὶ κατάγειν.

CXX.

Εἴ τις γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι
γηράσκειν πολλὰς εἰς ἐτέων δεκάδας.

CXXI.

Ἄχρις ἂν ᾖς ἄγαμος, Νουμήνιε, πάντα δοκεῖ σοι
ἐν τῷ ζῆν εἶναι τἀγαθὰ τῶν ἀγαθῶν.
εἶθ᾽ ὅταν εἰσέλθῃ γαμετὴ, πάλιν εὐθὺ δοκεῖ σοι,
ἐν τῷ ζῆν εἶναι πάντα κακῶν τὰ κακά.
ἀλλὰ χάριν τεκνίων; ἕξεις, Νουμήνιε, τέκνα,
χαλκὸν ἔχων· πτωχὸς οὐδὲ τὰ τέκνα φιλεῖ.

T.II. p.343.

## CXXII.

Εἴ με φιλεῖς, ἔργῳ με φίλει, καὶ μή μ' ἀδικήσῃς,
ἀρχὴν τῦ βλάπτειν τὴν φιλίαν θέμενος.
πᾶσι γὰρ ἀνθρώποισιν ἐγὼ πολὺ κρέσσονα φημὶ
τὴν φανερὰν ἔχθραν τῆς δολερῆς φιλίας.
φασὶ δὲ καὶ νήεσσιν ἁλιπλανέεσσι χερείυς
τὰς ὑφάλυς πέτρας, τῶν φανερῶν σπιλάδων.

## CXXIII.

Εἰς τὺς ἀεὶ νοσῦντας.

Τὺς καταλείψαντας γλυκερὸν φάος ὐκέτι θρηνῶ,
τὺς δ' ἐπὶ προσδοκίῃ ζῶντας ἀεὶ θανάτυ.

## CXXIV.

Μάγνον, ὅτ' εἰς Αΐδην κατέβη, τρομέων Αϊδωνεὺς
εἶπεν· Ἀναςήσων ἤλυθε καὶ νέκυας.

p. 344.

# ΝΕΣΤΟΡΟΣ ΛΑΡΑΝΔΕΩΣ.

## I.

Σπείσατέ μοι, Μῦσαι, λιγυρὴν εὐτερπέα φωνήν,
ἡδὺν ἀπὸ ςομάτων Ἑλικωνίδος ὄμβρον ἀοιδῆς.
ὑσσοις γὰρ προχέυσιν ἀοιδοτόκοι πόμα πηγαὶ,
ὑμετέρων ἐπέων λιγυρῇ τέρπονται ἀοιδῇ.

## II.

Εἰς Ἀλφεῖον ποταμόν.

Ἄβροχον ἐν πελάγεσσι δι' ὕδατος ἔπλεεν ὕδωρ.

### III. T. II.

Εἰς τὸν Πύθιον δράκοντα.

Εἷρπε τὸ μὲν, τὸ δ' ἔμελλε, τὸ δ' ἦν ἔτι νωθρὸν ἐν εὐνῇ.
αὐτὰρ ὁ διψήσας ποταμῷ ὑπέθηκε γένειον.
πᾶς δ' ἄρα Κηφισσὸς ῥέεν εἴσω· ἀργαλέον δὲ
ἀνθερεὼν κελάρυζε. κατερχομένυ δὲ ῥεέθρυ,
Κηφισσὸν κώκυον ὀλωλότα πολλάκι Νύμφαι.

### IV.

Τίπτε με θρυλλήσαντες ἐμὴν ἀπεπαύσατ' ἀοιδήν;
ἱππεὺς ἱππεύειν ἐδάη, καὶ ἀοιδὸς ἀείδειν.
κἂν δέ τις ἱππεύειν δεδαὼς ἐθέλῃσιν ἀείδειν,
ἀμφοτέρων ἥμαρτε, καὶ ἱπποσύνης καὶ ἀοιδῆς.

---

## Κ Ε Ρ Ε Α Λ Ι Ο Υ. p. 345.

### I.

Ποιητὴς ἐλθὼν εἰς Ισθμια πρὸς τὸν ἀγῶνα,
εὑρὼν ποιητὰς, εἶπε παρίσθμι' ἔχειν.
μέλλει δ' ἐξορμᾷν εἰς Πύθια· κἂν πάλιν εὕρῃ,
εἰπεῖν ὐ δύναται, Καὶ ΠΑΡΑΠΥΘΙ' ἔχω.

### II.

Οὐ τὸ λέγειν παράσημα καὶ Αττικὰ ῥήματα πέντε,
εὐζήλως ἐςὶ καὶ φρονίμως μελετᾷν.
ὐδὲ γὰρ εἰ ΚΑΡΚΑΙΡΕ, καὶ εἰ ΚΟΝΑΒΕΙ, τό τε ΣΙΖΕΙ,
καὶ ΚΕΛΑΡΥΖΕ λέγεις, εὐθὺς Ομηρος ἔσῃ.
νῦν ὑποκεῖσθαι δεῖ τοῖς γράμμασι, καὶ φράσιν αὐτῶν
εἶναι κοινοτέραν, ὥςε νοεῖν ἃ λέγεις.

T. II. III.

Ἀντιπάτρου ῥητῆρος ἐγὼ τάφος. ἥλικα δ᾽ ἔπνει
ἔργα, Πανελλήνων πεύθεο μαρτυρίης.
κεῖται δ᾽ ἀμφήριστος, Ἀθηνόθεν, εἴτ᾽ ἀπὸ Νείλου
ἦν γένος. ἠπείρων δ᾽ ἄξιος ἀμφοτέρων.
ἄστεα καὶ δ᾽ ἄλλως ἑνὸς αἵματος, ὡς λόγος ἐστί·
κλήρῳ δ᾽ ἡ μὲν ἀεὶ Παλλάδος, ἡ δὲ, Διός.

p. 346. ## ΦΡΟΝΤΩΝΟΣ.

I.

Μέχρι τίνος πολεμεῖς μ᾽, ὦ φίλτατε Κῦρε; τί ποιεῖς;
τὸν σὸν Καμβύσην οὐκ ἐλεεῖς; λέγε μοι.
μὴ γίνου Μῆδος· Σάκας γὰρ ἔσῃ μετὰ μικρὸν,
καί σε ποιήσουσιν αἱ τρίχες Ἀστυάγην.

II.

Τὴν ἀκμὴν θησαυρὸν ἔχειν, Κωμῳδὲ, νομίζεις,
οὐκ εἰδὼς αὐτὴν φάσματος ὀξυτέρην.
ποιήσει σ᾽ ὁ χρόνος ΜΙΣΟΥΜΕΝΟΝ, εἶτα ΓΕΩΡΓΟΝ,
καὶ τότε μαστεύσεις ΤΗΝ ΠΕΡΙΚΕΙΡΟΜΕΝΗΝ.

## ΝΟΥΜΗΝΙΟΥ ΤΑΡΣΕΩΣ.

Κῦρος Κύριός ἐστι. τί μοι μέλει, εἰ παρὰ γράμμα;
οὐκ ἀναγινώσκω τὸν καλὸν, ἀλλὰ βλέπω.

# ΓΛΑΥΚΟΥ. T. II. p. 347.

I.

Ην ὅτε παῖδας ἔπειθε πάλαι ποτὲ δῶρα φιλεῦντας
  ὄρτυξ, καὶ ῥαπτὴ σφαῖρα, καὶ ἀστράγαλοι·
νῦν δὲ λοπὰς καὶ κέρμα. τὰ παίγνια δ' οὐδὲν ἐκεῖνα
  ἰσχύει. ζητεῖτ' ἄλλο τι, παιδοφίλαι.

II.

α Νύμφαι, πευθομένῳ φράσατ' ἀτρεκὲς, εἰ παροδεύων
  Δάφνις τὰς λευκὰς ὧδ' ἀνέπαυσ' ἐρίφους.
β Ναὶ ναὶ, Πὰν συρικτὰ, καὶ εἰς αἴγειρον ἐκείναν
  σοί τι κατὰ φλοιοῦ γράμμ' ἐκόλαψε λέγειν·
Πὰν, Πὰν, πρὸς Μαλέαν, πρὸς ὄρος Ψωφίδιον ἔρχευ,
  ἵξομαι. α Νύμφαι χαίρετ', ἐγὼ δ' ὑπάγω.

III.

Α Βάκχα Παρία μὲν, ἐνεψύχωσε δ' ὁ γλύπτας
  τὸν λίθον· ἀνθρώσκει δ' ὡς βρομιαζομένα.
ὦ Σκόπα, ἁ ϑεοποιὸς ἐμήσατο τέχνα
  θαῦμα χιμαιροφόνον, Θυιάδα μαινομέναν.

IV.

Η Βάκχη Κρονίδην Σάτυρον θέτο· εἰς δὲ χορείαν
  θρώσκει μαινόμενος, ὡς βρομιαζόμενος.

V. p. 348.

Καὶ τὸν ἀπὸ Τρηχῖνος ἰδὼν πολυώδυνον ἥρω,
  τόνδε Φιλοκτήτην ἔγραφε Παῤῥάσιος.

Υ. 11. ἔν τε γὰρ ὀφθαλμοῖς ἐσκληκόσι κωφὸν ὑποικεῖ
δάκρυ, καὶ ὁ τρύχων ἐντὸς ἔνεςι πόνος.
ζωογράφων ὦ λῷςε, σὺ μὲν σοφὸς, ἀλλ' ἀναπαῦσαι
ἄνδρα πόνων ἤδη τὸν πολύμοχθον ἔδει.

VI.

Οὐ κόνις, οὐδ' ὀλίγον πέτρας βάρος, ἀλλ' Ἐρασίππου
ἣν ἐσορᾷς αὕτη πᾶσα θάλασσα τάφος.
ὤλετο γὰρ σὺν νηΐ· τὰ δ' ὀςέα πού ποτ' ἐκείνου
πύθεται, αἰθυίαις γνωςὰ μόναις ἐνέπειν.

---

p. 349. ΝΙΚΑΡΧΟΥ.

I.

Εὐμεγέθης πείθει με καλὴ γυνὴ, ἄν τε καὶ ἀκμῆς
ἅπτητ', ἄν τε καὶ ᾖ, Σιμύλε, πρεσβυτέρη.
ἡ μὲν γάρ με νέα περιλήψεται· ἡ δὲ παλαιὴ
γραῖά με καὶ ῥυσσὴ, Σιμύλε, λιχμάσεται.

II.

Τῆς μητρὸς μὴ ἄκυε, Φιλυμένη· ἢν γὰρ ἀπέλθω,
καὶ θῶ ἅπαξ ἔξω τὸν πόδα τῆς πόλεως,
* * * * * * * *
τῶν καταπαιζόντων μὴ σχῇς λόγον, ἀλλὰ καὶ αὐτοῖς
ἐμπαίξασ', ἄρξαι πλεῖον ἐμοῦ τι ποιεῖν.

I. 4. Cod. Σ. δικάσεται.

T. II.

## III.

Λέμβιον, ἡ δ' ἑτέρα Κερκύριον, αἱ δύ' ἑταῖραι
  αἰὲν ἐφορμοῦσιν τῷ Σαμίων λιμένι.
ἀλλὰ, νέοι, πανδημὶ τὰ ληστρικὰ τῆς Ἀφροδίτης
  φεύγεθ'· ὁ συμμίξας καὶ καταδὺς πίεται.

## IV.

Γραῖα καλὴ, σὺ γὰρ οἶδας, ὅτ' ἦν νέα· ἀλλὰ τότ' ᾔτει.
  νῦν δ' ἐθέλει δοῦναι μισθὸν, ἐλαυνομένη.
εὑρήσεις τεχνῖτιν· ὅταν δὲ πίῃ, τότε μᾶλλον
  εἰς ὃ θέλεις αὐτὴν εἰς ἐπίτακτον ἔχεις.
πίνει γὰρ καὶ τρεῖς καὶ τέσσαρας, ἢν ἐθελήσῃ, p. 350.
  ξέστας, κἀκ τούτου γίνετ' ἄνω τὰ κάτω.
κολλᾶται, κνίζει, παθικεύεται· ἤν τι διδῷ τις,
  λαμβάνει· ἢν μηδὲν, μισθὸν ἔχει τὸ πάθος.

## V.

Τὴν μίαν Ἑρμογένης κἀγώ ποτε, καὶ Κλεόβουλος
  ἤγομεν εἰς κοινὴν Κύπριν Ἀριστοδίκην.
ἧς ἔλαχον μὲν ἐγὼ πολιὴν ἅλα ναιέμεν αὐτός·
  εἷς γὰρ ἓν, οὐ πάντες πάντα, διειλόμεθα.
Ἑρμογένης δ' ἔλαχε στυγερὸν δόμον εὐρώεντα,
  ὕστατος εἰς ἀφανῆ χῶρον ὑπερχόμενος,
ἔνθ' ἀκταὶ νεκύων καὶ ἐρημίαι ἠερόεσσαι
  τύπτονται πνοιῇ δυσκελάδων ἀνέμων.
Ζηνὶ δ' ἴσος Κλεόβουλος, ὃς Οὐρανὸν εἰσαναβαίνειν,
  τὸ ψολόεν κατέχων ἐν χερὶ πῦρ, ἔλαχε.
γῆ δ' ἔμενε ξυνὴ πάντων· ψίαθον γὰρ ἐν αὐτῇ
  στρώσαντες, τὴν γραῦν ὧδε διειλόμεθα.

T. II.

## VI.

Οὐκ ἐν γαστρὶ λαβοῦσα Φιλαίνιον Ἡλιοδώρῳ
θήλειαν τίκτει παῖδ' ἀπὸ ταὐτομάτου.
τοῦ δ' ἐπὶ θηλείῃ λυπουμένου, ἓξ διαλείπει
ἤματα, καὶ τίκτειν ἄρσενα παῖδ' ἔφατο.
οὕτω Βούβαστις καταλύεται· εἰ γὰρ ἑκάστη
τέξεται ὡς αὐτὴ, τίς θεοῦ ἐστι λόγος;

## VII.

Οὐκ ἀποθνήσκειν δεῖ με; τί μοι μέλει, ἤν τε ποδαγρὸς,
ἤν τε δρομεὺς γεγονὼς εἰς Ἀΐδην ὑπάγω;
p. 351. πολλοὶ γάρ μ' ἐρέθουσιν. ἔα χωλόν με γενέσθαι.
τῶνδ' ἕνεκεν γὰρ ἴσως οὔποτ' ἐῶ θιάσους.

## VIII.

α Κράνας εὐύδρου παρὰ νάμασι, καὶ παρὰ Νύμφαις
ἔστασέν με Σίμων, Πᾶνα τὸν αἰγιβάτην.
β τεῦ δὲ χάριν; α λέξω τοι. ὅσον ποθέεις ἀπὸ κράνας
καὶ πίε, καὶ κοίλαν κάλπιν ἑλὼν ἄρυσαι.
ποσσὶ δὲ μὴ ποτὶ νίπτρα φέρειν κρυστάλλινα Νυμφᾶν
δῶρα, τὸν ὑβριστὰν εἰς ἐμὲ δερκόμενος.
β ὢ σέμν', οὐ λέξεις ἕτερον λόγον; α ἀλλὰ παρέξεις
πυγίξαι· τούτοις χρῶμαι ὁ Πὰν νομίμοις.
ἢν δὲ πίνῃς ἐπίτηδες, ἔχων πάθος, ἔστι καὶ ἄλλα
τέχνα, τῷ ῥοπάλῳ τὰν κεφαλὰν λέπομες.

## IX.

Αἰγιβάτῃ τόδε Πανὶ, καὶ εὐκάρπῳ Διονύσῳ
καὶ Δηοῖ χθονίῃ ξυνὸν ἔθηκα γέρας.

VIII. 9. Fort. ἢν δὲ ποιῇς.

αἰτέομαι δ' αὐτοὺς καλὰ πώεα, καὶ καλὸν οἶνον,
καὶ καλὸν ἀμῆσαι καρπὸν ἀπ' ἀσταχύων.

## X.

Ἡ πρὶν Ἀθηναίης ὑπὸ κερκίσι, καὶ τὰ καθ' ἱστὸν
νήματα Νικαρέτη πολλὰ μιτωσαμένη,
Κύπριδι τὸν κάλαθόν τε, τὰ πηνία, καὶ τὰ σὺν αὐτοῖς
ἔρμεν' ἐπὶ προδόμου πάντα πυρῆς ἔθετο,
Ἔῤῥετε, φωνήσασα, κακῶν λιμηρὰ γυναικῶν
ἔργα, νέον τήκειν ἄνθος ἐπιστάμενα.
εἵλετο δὲ στεφάνους καὶ πηκτίδα, καὶ μετὰ κώμων
ἡ παῖς τερπνὸν ἔχειν ἐν θαλίαις βίοτον.
εἶπε δέ· Παντός σοι δεκάτην ἀπὸ λήμματος οἴσω, p. 352.
Κύπρι, σὺ δ' ἐργασίην καὶ λάβε καὶ μετάδος.

## XI.

Παρθένε Τριτογένεια, τί τὴν Κύπριν ἄρτι με λυπεῖς,
ἁρπάξασα δ' ἐμὸν δῶρον ἔχεις παλάμῃ;
μέμνησαι τοπάροιθεν ἐν Ἰδαίοις σκοπέλοισιν
ὡς Πάρις οὔ σε καλήν, ἀλλ' ἔμ' ἐδογμάτισε.
σὸν δόρυ καὶ σάκος ἐστίν· ἐμὸν δὲ τὸ μῆλον ὑπάρχει·
ἀρκεῖ τῷ μήλῳ κεῖνος ὁ πρὶν πόλεμος.

## XII.

Ἤκμασε Νικονόη. κἀγὼ λέγω. ἤκμασε δ' αὐτή,
ἡνίκα Δευκαλίων ἄπλετον εἶδεν ὕδωρ.
ταῦτα μὲν οὖν ἡμεῖς οὐκ οἴδαμεν, ἀλλ' ὅτι ταύτῃ
οὐκ ἄνδρα ζητεῖν νῦν ἔδει, ἀλλὰ τάφον.

T. II.

## XIII.

Πέντε μετ᾽ ἄλλων Χάρμος ἐν Ἀρκαδίᾳ δολιχεύων,
θαῦμα μὲν, ἀλλ᾽ ὄντως ἕβδομος ἐξέπεσεν.
ἓξ ὄντων, τάχ᾽ ἐρεῖς, πῶς ἕβδομος. εἷς φίλος αὐτοῦ,
Θάρσει Χάρμε, λέγων, ἦλθεν ἐν ἱματίῳ.
ἕβδομος οὖν οὕτω παραγίνεται. εἰ δ᾽ ἔτι πέντε
εἶχε φίλους, ἦλθ᾽ ἂν, Ζωΐλε, δωδέκατος.

## XIV.

Εἰς Ῥόδον εἰ πλεύσει τις Ολυμπικὸν ἦλθεν ἐρωτῶν
τὸν μάντιν, καὶ πῶς πλεύσεται ἀσφαλέως.
χὠ μάντις, Πρῶτον μὲν, ἔφη, καινὴν ἔχε τὴν ναῦν,
καὶ μὴ χειμῶνος, τοῦ δὲ θέρους ἀνάγου.
p. 353. τοῦτο γὰρ ἂν ποιῇς, ἥξεις κἀκεῖσε καὶ ὧδε,
ἂν μὴ πειρατὴς ἐν πελάγει σε λάβῃ.

## XV.

Λούσασθαι πεπόρευται Ονήσιμος εἰς βαλανεῖον
δωδεκάτῃ δύστρου μηνὸς, ἐπ᾽ Ἀντιφίλου,
παῖδα λιπὼν οἴκοις ἐπιτίτθιον, ὃν δύο τέκνων
ἄλλων εὑρήσει λουσάμενος πατέρα.
ἥξειν δ᾽ εἰς ὥρας γράφει· οἱ βαλανεῖς γὰρ
εἰς τότε τάσσονται τὴν πυρίαν καθελεῖν.

## XVI.

Τρεῖς λεπτοὶ πρώην περὶ λεπτοσύνης ἐμάχοντο,
τίς προκριθεὶς εἴη λεπτεπιλεπτότερος.
ὧν ὁ μὲν εἷς, Ἑρμων, μεγάλην ἐνεδείξατο τέχνην,
καὶ διέδυ ῥαφίδος τρῆμα, λίνον κατέχων.

Δημᾶς δ' ἐκ τρώγλης βαίνων, ἐς ἀράχνιον ἔϛη, 'Γ. II.
  ἡ δ' ἀράχνη νήθουσ' αὐτὸν ἀπεκρέμασε.
Σωσίπατρος δ' ἐβόησεν· Ἐμὲ ϛεφανώσατ'· ἐγὼ γὰρ
  εἰ βλέπομ', ἥττημαι· πνεῦμα γὰρ εἰμὶ μόνον.

## XVII.

Πολλὰς μυριάδας ψηφίζων Ἀρτεμίδωρος,
  καὶ μηδὲν δαπανῶν, ζῇ βίον ἡμιόνων,
πολλάκις αἳ χρυσοῦ τιμαλφέα φόρτον ἔχουσαι
  πολλὸν ὑπὲρ νώτου, χόρτον ἔδουσι μόνον.

## XVIII.

Ἐχθὲς ἀπάγχεσθαι μέλλων Δίναρχος ὁ φείδων,
  Γλαῦκε, δι' ἓξ χαλκοῦς δύσμορος οὐκ ἔθανεν.
ἓξ χαλκῶν ἦν γὰρ τὸ σχοινίον, ἀλλ' ἐδυσώνει, p. 354.
  εὔωνον ζητῶν ἄλλον ἴσως θάνατον.
τοῦτο φιλαργυρίας δεινῆς ὅρος, ὃς κ' ἀποθνήσκων,
  Γλαῦκε, δι' ἓξ χαλκοῦς δύσμορος οὐκ ἔθανε.

## XIX.

Δακρύει Φείδων ὁ φιλάργυρος, οὐχ ὅτι θνήσκει,
  ἀλλ' ὅτι πέντε μνῶν τὴν σορὸν ἐπρίατο.
ταύτην οἳ χαρίσασθε, καὶ, ὡς τόπος ἐϛὶν ἐν αὐτῇ,
  τῶν πολλῶν τεκνίων ἕν τι προσεμβάλετε.

## XX.

Πορδὴ ἀποκτέννει πολλοὺς, ἀδιέξοδος οὖσα·
  πορδὴ καὶ σώζει, τραυλὸν ἱεῖσα μέλος.
οὐκοῦν εἰ σώζει, καὶ ἀποκτέννει πάλι πορδὴ,
  τοῖς βασιλεῦσιν ἴσην πορδὴ ἔχει δύναμιν.

T. II.

## XXI.

Ἦν Στέφανος πτωχὸς, καὶ παῖς ἅμα· νῦν δὲ προκόψας
πλουτεῖ, καὶ γεγένητ' εὐθὺ Φιλοστέφανος,
τέσσαρα τῷ πρώτῳ Στεφάνῳ καλὰ γράμματα προσθείς.
ἔσται δ' εἰς ὥρας Ἱπποκρατιππιάδης,
ἢ διὰ τὴν σπατάλην Διονυσιοπηγανόδωρος.
ἐν δ' ἀγορανομίῳ παντὶ μένει Στέφανος.

## XXII.

Ἑρμαίοις, ἡμῖν Ἀφροδίσιος ἓξ χόας οἴνου
αἴρων, προσκόψας, πένθος ἔθηκε μέγα.
οἶνος καὶ Κένταυρον ἀπώλεσεν, ὡς ὄφελεν δὲ
χἠμᾶς· νῦν δ' ἡμεῖς τοῦτον ἀπωλέσαμεν.

p. 355.

## XXIII.

Τοῦ γρυποῦ Νίκωνος ὁρῶ τὴν ῥῖνα, Μένιππε·
αὐτὸς δ' οὐ μακρὰν φαίνεται εἶναι ἔτι.
πλὴν ἥξει, μείνωμεν ὅμως· εἰ γὰρ πολὺ, πέντε
τῆς ῥινὸς σταδίους, οἴομαι, οὐκ ἀπέχει.
ἀλλ' αὐτὴ μὲν, ὁρᾷς, προπορεύεται· ἢν δ' ἐπὶ βουνὸν
ὑψηλὸν στῶμεν, καὐτὸν ἐσοψόμεθα.

## XXIV.

Τὸ στόμα χὠ πρωκτὸς ταὐτὸν, Θεόδωρέ, σου ὄζει,
ὥστε διαγνῶναι τοῖς φυσικοῖς καλὸν ἦν.
ἦ γράψαι σε ἔδει ποῖον στόμα, ποῖον ὁ πρωκτός.
νῦν δὲ λαλοῦντός σου [κἄμμιγα περδομένου]
οὐ δύναμαι γνῶναι, πότερον χαίνεις, Θεόδωρε,
ἢ βδεῖς· πνεῖς γὰρ ἴσον πνεῦμα κάτω καὶ ἄνω.

XXIV. 4. Verba κἄμμιγα περδομένου ab omnibus codd. abſunt.

## XXV.

T. II.

Εἴ με φιλεῖς, μισεῖς με· καὶ εἰ μισεῖς σὺ, φιλεῖς με.
εἰ δ' ἐμὲ μὴ μισεῖς, φίλτατε, μή με φίλει.

## XXVI.

Ιητρὸς τὴν γραῦν εἴτ' ἔκλυσεν, εἴτ' ἀπέπνιξεν,
ὐδεὶς γινώσκει· δαιμόνιον τὸ τάχος.
ὁ ψέφος ἦν κλυστῆρος ἐν ὕασι, καὶ τεφανῦτο
ἡ σορὸς, οἱ δ' ἄλλοι τὸν φανὸν ηὐτρέπισαν.

## XXVII.

Οὔτ' ἔκλυσεν Φείδων μ', ὔθ' ἥψατο· ἀλλὰ πυρέξας
ἐμνήσθην αὐτῦ τὔνομα, κἀπέθανον.

## XXVIII.

p. 356.

Ορθῶσαι τὸν κυρτὸν ὑποσχόμενος Διόδωρον
Σωκλῆς, τετραπέδυς τρεῖς ἐπέθηκε λίθυς
τῦ κυρτῦ τιβαρὺς ἐπὶ τὴν ῥάχιν. ἀλλὰ πιεσθεὶς
τέθνηκε, γέγονεν δ' ὀρθότερος κανόνος.

## XXIX.

Χειρυργῶν ἔσφαξεν Ακεςορίδην Αγέλαος·
ζῶν γὰρ χωλεύειν, φησὶν, ἔμελλε τάλας.

## XXX.

Πέντ' ἰητρὸς Αλεξις ἅμ' ἔκλυσε, πέντ' ἐκάθηρε,
πέντ' ἴδεν ἀῤῥώςυς, πέντ' ἐνέχρισε πάλιν.
καὶ πᾶσιν μία νὺξ, ἓν φάρμακον, εἷς σοροπηγὸς,
εἷς τάφος, εἷς Αἴδης, εἷς κοπετὸς γέγονε.

XXVII. 1. Fort. ὔ μ' ἔκλυσε Φ. ὔθ'.

T. II.

### XXXI.

[α]Ξεῖνε, τί μὰν πεύθῃ; [β]τίνες ἐν χθονὶ τοῖσδ' ὑπὸ τύμβοις;
[α]οὓς γλυκεροῦ φέγγους Ζώπυρος ἐστέρισε,
Δᾶμις, Ἀριστοτέλης, Δημήτριος, Ἀρκεσίλαος,
Σώστρατος, οἵ τ' ὀπίσω μέχρι Παραιτονίου.
κηρύκιον γὰρ ἔχων ξύλινον, καὶ πλαστὰ πέδιλα,
ὡς Ἑρμῆς, κατάγει τοὺς θεραπευομένους.

### XXXII.

Νυκτικόραξ ᾄδει θανατηφόρον· ἀλλ' ὅταν ᾄσῃ
Δημόφιλος, θνήσκει καὐτὸς ὁ νυκτικόραξ.

p. 357.

### XXXIII.

Δυσκώφῳ δύσκωφος ἐκρίνετο· καὶ πολὺ μᾶλλον
ἦν ὁ κριτὴς τούτων δοὺς δύο κωφότερος.
ὧν ὁ μὲν ἀντέλεγεν τὸ ἐνοίκιον αὐτὸν ὀφείλειν
μηνῶν πένθ'· ὁ δ' ἔφη νυκτὸς ἀληλεκέναι.
ἐμβλέψας δ' αὐτοῖς ὁ κριτὴς λέγει· Ἐς τί μάχεσθε;
μήτηρ ἔσθ' ὑμῶν· ἀμφότεροι τρέφετε.

### XXXIV.

Ἠγόρασας χαλκοῦν μιλιάριον, Ἡλιόδωρε,
τοῦ περὶ τὴν Θρᾴκην ψυχρότερον Βορέου.
μὴ κάμνε, μὴ φύσα, τί μάτην τὸν καπνὸν ἐγείρεις;
εἰς τὸ θέρος χαλκῆν βαύκαλιν ἠγόρασας.

### XXXV.

Ἐκλήθην ἐχθὲς, Δημήτριε· σήμερον ἦλθον
δειπνεῖν. μὴ μέμψῃ, κλίμακ' ἔχεις μεγάλην.

XXXIII. 2. Vat. Cod. τούτων δύο κωφ.

ἐν ταύτῃ πεποίηκα πολὺν χρόνον. οὐδ' ἂν ἐσώθην
σήμερον, ἀλλ' ἀνέβην κέρκον ὄνου κατέχων.
ψαύεις τῶν ἄστρων. Ζεὺς ἡνίκα τὸν Γανυμήδην
ἥρπασε, τῇδ' αὐτὸν, οἶμαι, ἔχων ἀνέβη.
ἔνθεν δ' εἰς Αΐδην τίς ἀφίξεται; οὐκ ἀφυὴς εἶ·
εὕρηκας τέχνην πῶς ἔσῃ ἀθάνατος.

XXXVI.

Ἀρκάδας οὐχ οὕτω Στυμφαλίδες, ὡς ἐμὲ κίχλαι
αἱ νέκυες ξηροῖς ἤκαχον ὀσταρίοις,
Ἅρπυιαι, δραχμῆς ξηρὴ δεκάς. ὦ ἐλεειναὶ
λειμώνων ἐτύμως ἔρρετε νυκτερίδες.

XXXVII. p. 358.

Εἶχε Φίλων λέμβον Σωτήριχον· ἀλλ' ἐν ἐκείνῳ
σωθῆν' οὐδὲ Ζεὺς αὐτὸς ἴσως δύναται·
οὔνομα γὰρ μόνον ἦν Σωτήριχος· οἱ δ' ἐπιβάντες
ἔπλεον ἢ παρὰ γῆν, ἢ παρὰ Φερσεφόνην.

XXXVIII.

Ὀρφεὺς μὲν κιθάρᾳ πλεῖστον γέρας εἵλετο θνητῶν,
Νέστωρ δὲ γλώσσης ἡδυλόγου σοφίῃ,
τεκτοσύνῃ δ' ἐπέων πολυΐστωρ θεῖος Ὅμηρος,
Τηλεφάνης δ' αὐλοῖς, οὗ τάφος ἐστὶν ὅδε.

## ΑΠΟΛΛΩΝΙΟΥ
### ΓΡΑΜΜΑΤΙΚΟΥ.

Καλλίμαχος τὸ κάθαρμα, τὸ παίγνιον, ὁ ξύλινος νοῦς·
αἴτιος ὁ γράψας ΑΙΤΙΑ Καλλιμάχου.

T.II. p.359. ## ΣΤΡΑΤΩΝΟΣ ΣΑΡΔΙΑΝΟΥ.

I.

Εκ Διὸς ἀρχώμεσθα, καθὼς ἔκρινεν Αρατος·
  ὑμῖν δ', ὦ Μῦσαι, σήμερον ὐκ ἐνοχλῶ.
εἰ γὰρ ἐγὼ παῖδάς τε φιλῶ, καὶ παισὶν ὁμιλῶ,
  τῦτο τί πρὸς Μύσας τὰς Ελικωνιάδας;

II.

Μὴ ζήτει δέλτοις ἐν ἐμαῖς Πρίαμον παρὰ βωμοῖς,
  μηδὲ τὰ Μηδείης πένθεα καὶ Νιόβης,
μηδ' Ιτυν ἐν θαλάμοις, καὶ ἀηδόνας ἐν πετάλοισιν·
  ταῦτα γὰρ οἱ πρότεροι πάντα χύδην ἔγραφον·
ἀλλ' ἱλαραῖς Χαρίτεσσι μεμιγμένον ἡδὺν Ερωτα,
  καὶ Βρόμιον· τύτοις δ' ὀφρύες ὐκ ἔπρεπον.

III.

Τῶν παίδων, Διόδωρε, τὰ προσθέματ' εἰς τρία πίπτει
  σχήματα, καὶ τύτων μάνθαν' ἐπωνυμίας.
τὴν ἔτι μὲν γὰρ ἄθικτον ἀκμὴν λαλῦ, ὀνόμαζε
  κοκκωτὴν φυσᾶν ἄρτι καταρχομένην·
τὴν δ' ἤδη πρὸς χεῖρα σαλευομένην, λέγε σαῦραν·
  τὴν δὲ τελειοτέρην, οἶδας ἃ χρή σε καλεῖν.

II. 1. Cod. δέλτοισιν ἐμ.
III. 4. Cod. κοκωτὴν φῦσαν.

## IV.

T.II. p.360.

Ἀκμῇ δωδεκέτευς ἐπιτέρπομαι· ἔστι δὲ τούτου
χὼ τρισκαιδεκέτης πουλὺ ποθεινότερος.
χὼ τὰ δὶς ἑπτὰ νέμων, γλυκερώτερον ἄνθος Ἐρώτων·
τερπνότερος δ' ὁ τρίτης πεντάδος ἀρχόμενος.
ἑξεπικαιδέκατον δὲ θεῶν ἔτος· ἑβδόματον δὲ
καὶ δέκατον ζητεῖν οὐκ ἐμόν, ἀλλὰ Διός.
εἰ δ' ἐπὶ πρεσβυτέρους τις ἔχει πόθον, οὐκ ἔτι παίζει,
ἀλλ' ἤδη ζητεῖ ΤΟΝ Δ' ΑΠΑΜΕΙΒΟΜΕΝΟΣ.

## V.

Τοὺς λευκοὺς ἀγαπῶ, φιλέω δ' ἅμα τοὺς μελιχρώδεις
καὶ ξανθούς, στέργω δ' ἔμπαλι τοὺς μέλανας.
οὐδὲ κόρας ξανθὰς παραπέμπομαι· ἀλλὰ περισσῶς
τοὺς μελανοφθάλμους αἰγλοφανεῖς τε φιλῶ.

## VI.

Πρωκτὸς καὶ χρυσὸς τὴν αὐτὴν ψῆφον ἔχουσι.
ψηφίζων δ' ἀφελῶς τοῦτό ποθ' εὗρον ἐγώ.
σφιγκτὴρ οὐκ ἔστιν παρὰ παρθένῳ, οὐδὲ φίλημα
ἁπλοῦν, οὐ φυσικὴ χρωτὸς εὐπνοΐη,
οὐ λόγος ἡδὺς ἐκεῖνος ὁ παιδικός, οὐδ' ἀκέραιον
βλέμμα, διδασκομένη δ' ἐστὶ χερειοτέρα.
ψυχρεῦνται δ' οὔπιθεν πᾶσαι· τὸ δὲ μεῖζον ἐκεῖνο,
οὐκ ἔστιν ποῦ θῇς τὴν χέρα πλαζομένην.

IV. 4. Quaedam apogr. ἁπτόμενος.

VI. 3. Scr. σπινθήρ.

T. II.

VII.

Εἶδον ἐγώ τινα παῖδα ἐπανθοπλοκοῦντα κόρυμβον,
ἀντιπαρερχόμενός τὰ στεφανηπλόκια.
p. 361. οὐδ' ἄτρωτα παρῆλθον· ἐπιστὰς δ' ἥσυχος αὐτῷ
φημὶ, Πόσου πωλεῖς τὸν σὸν ἐμοὶ στέφανον;
μᾶλλον τῶν καλύκων ἐρυθαίνετο, καὶ κατακύψας
φησί· Μακρὰν χώρει, μή σε πατὴρ ἐσίδῃ.
ὠνοῦμαι προφάσει στεφάνους, καὶ οἴκαδ' ἀπελθὼν
ἐστεφάνωσα θεοὺς, κεῖνον ἐπευξάμενος.

VIII.

Ἄρτι καλὸς, Διόδωρε, σὺ καὶ φιλέουσι πέπειρος·
ἀλλὰ καὶ ἢν γήμῃς, οὐκ ἀπολειψόμεθα.

IX.

Εἰ καί σοι τριχόφοιτος ἐπεσκίρτησεν ἴουλος,
καὶ τρυφεραὶ κροτάφων ξανθοφυεῖς ἕλικες,
οὐδ' οὕτω φεύγω τὸν ἐρώμενον· ἀλλὰ τὸ κάλλος
τούτου, κἂν πώγων, κἂν τρίχες, ἡμέτερον.

X.

Ἐχθὲς ἔχων ἀνὰ νύκτα Φιλόστρατον, οὐκ ἐδυνήθην,
κείνου, πῶς εἴπω; πάντα παρασχομένου.
ἀλλ' ἐμὲ μηκέτ' ἔχοιτε φίλοι φίλον, ἀλλ' ἀπὸ πύργου
βάλλετ', ἐπεὶ λίην Ἀστυάναξ γέγονα.

XI.

Ἰητροὺς εὗρόν ποτ' ἐγὼ λείους δυσέρωτας,
τρίβοντας φυσικῆς φάρμακον ἀντιδότου.

IX. 1. Fort. οὐδ' εἰ καὶ τρ.

οἱ δέ γε φωραθέντες, Ἐχ᾽ ἡσυχίαν, ἐδέοντο·  T. II.
κἀγὼ ἔφην, Σιγῶ, καὶ θεραπεύσατέ με.

XII.  p. 362.

Εἴ μοι σωζόμενος Πολέμων ὃν ἔπεμπον ἀνέλθοι
* * * * * *
νῦν δ᾽ αὐτῷ Πολέμων ἀνασώζεται· οὐκέτ᾽ ἀφῖκται,
Φοῖβε, δασὺς δ᾽ ἥκων οὐκέτι σῶος ἐμοί.
αὐτὸς ἴσως σκιάσαι γένυν εὔξατο· θυέτω αὐτὸς,
ἀντία παῖσιν ἐμαῖς ἐλπίσιν εὐξάμενος.

XIII.

Σαῖς ἴκελον πρὔπεμπον ἐγὼ Πολέμωνα παρειαῖς,
ἢν ἔλθῃ, θύσειν ὄρνιν ὑποσχόμενος·
ὃν δέχομαι φθονεροῖς, Παιὰν, φρίσσοντα γενείοις,
οὐ τούτου τλήμων εἵνεκεν εὐξάμενος.
οὐδὲ μάτην τίλλεσθαι ἀναίτιον ὄρνιν ἔοικεν,
ἢ συντιλλέσθω, Δήλιε, καὶ Πολέμων.

XIV.

Εἰ Γραφικοῦ πυγὴν σανὶς ἐκδέδακ᾽ ἐν βαλανείῳ,
ἄνθρωπος τί πάθω; καὶ ξύλον αἰσθάνεται.

XV.

Μὴ κρύψῃς τὸν ἔρωτα, Φιλόκρατες· αὐτὸς ὁ δαίμων
λακτίζειν κραδίην ἡμετέρην ἱκανός.
ἀλλ᾽ ἱλαροῦ μετάδος τι φιλήματος. ἔσθ᾽ ὅτε καὶ σὺ
αἰτήσεις τοιάνδ᾽ ἐξ ἑτέρων χάριτα.

XVI.

Κλέψομεν ἄχρι τίνος τὰ φιλήματα, καὶ τὰ λαθραῖα
νεύσομεν ἀλλήλοις ὄμμασι φειδομένοις;

T.II.p.363. μέχρι τίνος δ' ἀτέλεστα λαλήσομεν, ἀμβολίαισι
ζευγνύντες κενεὰς ἔμπαλιν ἀμβολίας;
μέλλοντες τὸ καλὸν δαπανήσομεν· ἀλλὰ πρὶν ἐλθεῖν
τὰς φθονερὰς) Φείδων, θῶμεν ἐπ' ἔργα λόγους.

## XVII.

Η μὴ ζηλοτύπει, δούλοις ἐπὶ παισὶν, ἑταίροις,
ἢ μὴ θηλυπρεπεῖς οἰνοχόους πάρεχε.
τίς γὰρ ἀνὴρ ἐς ἔρωτ' ἀδαμάντινος, ἢ τίς ἀτειρὴς
οἴνῳ, τίς δὲ καλοὺς οὐ περίεργα βλέπει;
ζώντων ἔργα τάδ' ἐστίν· ὅπου δ' οὐκ εἰσὶν ἔρωτες,
οὐδὲ μέθαι, Διοφῶν, ἣν ἐθέλῃς, ἄπιθι,
κἀκεῖ Τειρεσίην, ἢ Τάνταλον ἐς πότον ἕλκε,
τὸν μὲν ἐπ' οὐδὲν ἰδεῖν, τὸν δ' ἐπὶ μοῦνον ἰδεῖν.

## XVIII.

Στυγνὸς δή τί, Μένιππε, κατεσκέπασαι μέχρι πέζης,
ὁ πρὶν ἀπ' ἰγνύης λῶπος ἀνελκόμενος;
ἤ τί κάτω κύψας με παρέδραμες, οὐδὲ προσειπών;
οἶδα τί με κρύπτεις· ἤλυθον ἃς ἔλεγον.

## XIX.

Εσπερίην Μοῖρίς με, καθ' ἣν ὑγιαίνομεν, ὥρην,
οὐκ οἶδ' εἴτε σαφῶς, εἴτ' ὄναρ, ἠσπάσατο.
ἤδη γὰρ τὰ μὲν ἄλλα μάλ' ἀτρεκέως ἐνόησα,
χὠκόσα μοὶ προσέφη, χὠκόσ' ἐπυνθάνετο.
εἰ δ' ἐμὲ καὶ πεφίληκε τεκμαίρομαι· εἰ γὰρ ἀληθὲς,
πῶς ἀποθειωθεὶς πλάζομ' ἐπιχθόνιος;

XVI. 6. Scr. λέγεις.

## XX.

T. II. p. 364.

Ἐξεφλέγην, ὅτε Θεῦδις ἐλάμπετο παισὶν ἐν ἄλλοις,
  οἷος ἐπαντέλλων ἀςράσιν ἠέλιος.
τοὔνεκ' ἔτι φλέγομαι καὶ νῦν, ὅτε νυκτὶ λαχνοῦται·
  δυόμενος γάρ, ὅμως ἥλιός ἐςιν ἔτι.

## XXI.

Ὤμοσά σοι, Κρονίδη, μηπώποτε, μηδ' ἐμοὶ αὐτῷ
  ἐξειπεῖν ὅ τι μοι Θεῦδις ἔειπε λαβεῖν.
ψυχὴ δ' ἡ δύσπιςος ἀγαλλομένη πεπότηται
  ἠέρι, καὶ ςέξαι τἀγαθὸν οὐ δύναται.
ἀλλ' ἐρέω, σύγγνωθι σύ μοι· κεῖνός γε πέπειςαι
  Ζεῦ πάτερ, ἀγνώςου τίς χάρις εὐτυχίης;

## XXII.

Κῦμά μ' ἔχει μέγα δή τι· σὺ δ', ὦ παῖ, παύεο λεπτὸν
  ἠέρι δινεύων ἐγγὺς ἐμεῖο λίνον.
ἄλλο τι πῦρ ἐμοῦ ἔνδον ἔχω κυάθοισιν ἀναφθὲν,
  καὶ περὶ σῇ ῥιπῇ μᾶλλον ἐγειρόμενον.

## XXIII.

Ψευδέα μυθίζουσι, Θεόκλεες, ὡς ἀγαθαὶ μὲν
  αἱ Χάριτες, τρισσαὶ δ' εἰσὶ κατ' Ὀρχομενόν.
πεντάκι γὰρ δέκα σεῖο περισκιρτῶσι πρόσωπα,
  τοξοβόλοι, ψυχέων ἅρπαγες ἀλλοτρίων.

## XXIV.

Ταῦτά με νῦν τὰ περισσὰ φιλεῖς, ὅτ' ἔρωτος ἀπέσβη
  πυρσὸς, ὅτ' οὐδ' ἄλλως ἡδὺν ἔχω σε φίλον.

XX. 3. Fort. ὅτε μῆλα λαχνοῦται.
XXI. 3. Cod. δυσάπιςος.

T.II.p.365. μέμνημαι γὰρ ἐκεῖνα τὰ δύσμαχα. πλὴν ἔτι, Δάφνι,
ὀψὲ μέν, ἀλλ' ἐχέτω καὶ μετάνοια τόπον.

XXV.

Τίς χάρις, Ἡλιόδωρε, φιλήμασιν; οὔ με λάβροισι
χείλεσιν, οὐ φιλέεις ἀντιβιαζόμενος,
ἀλλ' ἐπ' ἄκροις ἀσάλευτα μεμυκόσιν, οἷα κατ' οἴκους,
καὶ δίχα σοῦ, με φιλεῖ πλάσμα τι κηρόχυτον.

XXVI.

Μὴ στεύσῃς Μενέδημον ἑλεῖν δόλῳ, ἀλλ' ἐπίνευσον
ὀφρύσι, καὶ φανερῶς αὐτὸς ἐρεῖ, ΠΡΟΑΓΕ.
οὐ γὰρ ἀνάβλησις· φθάνει δέ τε καὶ τὸν ἄγοντα.
οὐ δ' ἀμάρης, ποταμοῦ δ' ἐστὶν ἑτοιμότερος.

XXVII.

Τοὺς σοβαροὺς τούτους, καὶ τοὺς περιπορφυροσήμους
παῖδας, ὅσους ἡμεῖς οὐ προσαφικόμεθα,
ὥσπερ σῦκα πέτραισιν ἐπ' ἀκρολόφοισι πέπειρα
ἔσθουσιν γῦπες, Δίφιλε, καὶ κόρακες.

XXVIII.

Ἄχρι τίνος ταύτην τὴν ὀφρύα τὴν ὑπέροπτον,
Μέντορ, τηρήσεις, μηδὲ τὸ ΧΑΙΡΕ λέγων,
ὡς μέλλων αἰῶνα μένειν νέος, ἢ διὰ παντὸς
ὀρχεῖσθαι πυρίχην; καὶ τὸ τέλος πρόβλεπε.
ἥξει σοι πώγων, κακὸν ἔσχατον· ἀλλὰ μέγιστον,
καὶ τότ' ἐπιγνώσῃ τί σπάνις ἐστὶ φίλων.

XXV. 1. Cod. φιλήμασιν εἴ με λάβροισιν χ. ἢ φιλέεις. 4. Cod. πλ. τό.

XXVII. 2. Cod. προσαφείμεθα.

XXVIII. 6. τίς σπ. Cod.

## XXIX. T. II. p. 366.

Πῶς ἀναγινώσκειν, Διονύσιε, παῖδα διδάξεις,
  μηδὲ μετεκβῆναι φθόγγον ἐπιστάμενος;
ἐκ νήτης μετέβης οὕτως ταχὺς εἰς βαρύχορδον
  φθόγγον, ἀπ' ἰσχνοτάτης εἰς τάσιν ὀγκοτάτην.
πλὴν οὐ βασκαίνω. μελέτα μόνον. ἀμφοτέρους δὲ
  κρούων, τοῖς φθονεροῖς ΛΑΜΒΔΑ καὶ ΑΛΦΑ λέγε.

## XXX.

Εἴ σε φιλῶν ἀδικῶ, καὶ τοῦτο δοκεῖς ὕβριν εἶναι,
  τὴν αὐτὴν κόλασιν καὶ σὺ φίλει με λαβών.

## XXXI.

Τίς σε κατεστεφάνωσε ῥόδοις ὅλον; εἰ μὲν ἐραστής,
  ὦ μάκαρ· εἰ δ' ὁ πατήρ, ὄμματα κ'αὐτὸς ἔχει.

## XXXII.

Ὄλβιος ὁ γράψας, καὶ ὄλβιος οὗτος ὁ κάλλει
  τῷ σῷ νικᾶσθαι κηρὸς ἐπιστάμενος.
θριπὸς ἐγὼ καὶ σύρμα τερηδόνος εἴθε γενοίμην,
  ὡς ἀναπηδήσας τὰ ξύλα ταῦτα φάγω.

## XXXIII.

Οὐκ ἐχθὲς παῖς ἦσθα, καὶ οὐκ ὄναρ οὗτος ὁ πώγων
  ἤλυθε; πῶς ἀνέβη τοῦτο τὸ δαιμόνιον,
καὶ τριχὶ πάντ' ἐκάλυψε τὰ πρὶν καλά; φεῦ, τί τὸ θαῦμα;
  ἐχθὲς Τρωΐλος ὤν, πῶς ἐγένου Πρίαμος;

## XXXIV. p. 367.

Οὐ τέρπουσι κόμαι με, περισσότεροί τε κίκιννοι,
  τέχνης, οὐ φύσεως ἔργα διδασκόμενοι·

T. II. ἀλλὰ παλαιστρίτου παιδὸς ῥύπος ὁ ψαφαρίτης,
καὶ χροιὴ μελέων σαρκὶ λιπαινομένη.
ἡδὺς ἀκαλλώπιστος ἐμὸς πόθος. ἡ δὲ γοητὶς
μορφὴ θηλυτέρης ἔργον ἔχει Παφίης.

XXXV.

Οὐδὲ Σμυρναίαις Νεμέσεις, ὅτι σοί τι λέγουσιν,
Αρτεμίδωρε, νοεῖς; ΜΗΔΕΝ ΥΠΕΡ ΤΟ ΜΕΤΡΟΝ;
ἀλλ' οὕτως ὑπέροπτα, καὶ ἄγρια, κοὐδὲ πρέποντα
κωμῳδῷ, φθέγγῃ πάνθ' ὑποκρινόμενος.
μνησθήσῃ τούτων, ὑπερήφανε, καὶ σὺ φιλήσεις,
καὶ κωμῳδήσεις ΤΗΝ ΑΠΟΚΛΕΙΟΜΕΝΗΝ.

XXXVI.

Εἰ Ζεὺς ἐκ γαίης θνητοὺς ἔτι παῖδας ἐς αἴθρην
ἥρπαζε, γλυκεροῦ νέκταρος οἰνοχόους,
αἰετὸς ἂν πτερύγεσσιν Αγρίππαν τὸν καλὸν ἡμῶν
ἤδη πρὸς μακάρων ἦγε διακονίας.
ναὶ μά σε γὰρ, Κρονίδη, κόσμου πάτερ, ἢν ἐσαθρήσῃς,
τὸν Φρύγιον ψέξεις αὐτίκα Δαρδανίδην.

XXXVII.

Ἄνθεσιν οὐ τόσσοισι φιλοζέφυροι χλοάουσι
λειμῶνες, πυκιναῖς εἴαρος ἀγλαΐαις,
ὅσσους εὐγενέας, Διονύσιε, παῖδας ἀθρήσεις,
χειρῶν Κυπρογενοῦς πλάσματα, καὶ Χαρίτων.
p. 368. ἔξοχα δ' ἐν τούτοις Μιλήσιος ἤνιδε θάλλει,
ὡς ῥόδον εὐόδμοις λαμπόμενον πετάλοις.
ἀλλ' οὐκ οἶδεν ἴσως, ἐκ καύματος ὡς καλὸν ἄνθος,
οὕτω τὴν ὥρην ἐκ τριχὸς ὀλλυμένην.

## XXXVIII. T. II.

Ὀφθαλμοὺς σπινθῆρας ἔχεις, θεόμορφε Λυκῖνε,
μᾶλλον δ' ἀκτῖνας, δέσποτα, πυρσοβόλους.
ἀντωπὸς βλέψαι βαιὸν χρόνον οὐ δύναμαί σοι,
οὕτως ἀστράπτεις ὄμμασιν ἀμφοτέροις.

## XXXIX.

ΚΑΙΡΟΝ ΓΝΩΘΙ σοφῶν τῶν ἑπτά τις εἶπε, Φίλιππε·
πάντα γὰρ ἀκμάζοντ' ἐστὶν ἐραστότερα.
καὶ σίκυος πρῶτός που ἐπ' ἀνδήροισιν ὁραθεὶς
τίμιος, εἶτα συῶν βρῶμα πεπαινόμενος.

## XL.

Ἡλικίης φίλος εἰμί, καὶ οὐδένα παῖδα προτάσσω,
πρὸς τὸ καλὸν κρίνων· ἄλλο γὰρ ἄλλος ἔχει.

## XLI.

Ἄρκιον ἤδη μοι πόσιος μέτρον. εὐσταθίη γὰρ
λύεται, ἥ τε φρενῶν, ἥ τε διὰ στόματος.
χὠ λύχνος ἔσχισται διδύμην φλόγα, καὶ δὶς ἀριθμῶ,
πολλάκι πειράζων, τοὺς ἀνακεκλιμένους.
ἤδη δ' οὐκ ἔτι μοῦνον ἐπ' οἰνοχόον σεσόβημαι·
ἀλλὰ πάρωρα βλέπω κἠπὶ τὸν ὑδροχόον.

## XLII. p. 369.

Μισῶ δυσπερίληπτα φιλήματα, καὶ μαχιμώδεις
φωνάς, καὶ σθεναρὴν ἐκ χερὸς ἀντίθεσιν·
καὶ μὴν καὶ τόν, ὅτ' ἐστὶν ἐν ἀγκάσιν, εὐθὺ θέλοντα,
καὶ παρέχοντα χύδην οὐ πάνυ δή τι θέλω·
ἀλλὰ τὸν ἐκ τούτων ἀμφοῖν μέσον, οἷον ἐκεῖνον
τὸν καὶ μὴ παρέχειν εἰδότα, καὶ παρέχειν.

T. II.

XLIII.

Εἰ μὴ νῦν Κλεόνικος ἐλεύσεται, οὐκέτ' ἐκεῖνον
δέξομ' ἐγὼ μελάθροις, οὐ μὰ τὸν . . . οὐκ ὀμόσω.
εἰ γὰρ ὄνειρον ἰδὼν οὐκ ἤλυθεν, εἶτα παρείη
αὔριον, οὐ παρὰ τὴν σήμερον ὀλλύμεθα.

XLIV.

Πτηνὸς Ἔρως ἄγαγέν με δι' ἠέρος, ἡνίκα, Δᾶμι,
γράμμα σὸν εἶδον, ὅ μοι δεῦρο μολεῖν σ' ἔλεγεν.
ῥίμφα δ' ἀπὸ Σμύρνης ἐπὶ Σάρδιας ἔδραμον. ἦ μου
ὕστερος ἢ Ζήκης ἔτρεχεν, ἢ Κάλαϊς.

XLV.

Οὐκ ἐθέλων φιλέεις με, φιλῶ σ' ἐγὼ οὐκ ἐθέλοντα·
εὔκολος ἢν φεύγω, δύσκολος ἢν ἐπάγω.

XLVI.

ΧΡΥΣΕΑ ΧΑΛΚΕΙΩΝ νῦν εἴπατε· ΔΟΣ ΛΑΒΕ παίζει
Σωσιάδας ὁ καλὸς, καὶ Διοκλῆς ὁ δασύς.
τίς κάλυκας συνέκρινε βάτῳ, τίς σῦκα μύκησιν;
ἄρνα γαλακτοπαγῆ τίς συνέκρινε βοΐ;
p. 370. οἷα δίδως, ἀλόγιστε, καὶ ἔμπαλιν οἷα κομίζῃ·
οὕτω Τυδείδης Γλαῦκον ἐδωροδόκει.

XLVII.

Παῖς τις ὅλως ἁπαλὸς τοῦ γείτονος οὐκ ὀλίγως με
κνίζει· πρὸς τὸ θέλειν δ' οὐκ ἀμύητα γελᾷ.

XLIV. 3. Cod. ἄν μου.
XLV. 1. Cod. o. ἐθέλοντα φιλεῖς μ. φ. δ' ἐγώ. 2. Cod. ἢν ἀπάγω.
XLVI. 4. Cod. γαλακτοπαγεῖ.

οὐ πλεῦν δ' ἐστὶν ἐτῶν δύο καὶ δέκα. νῦν ἀφύλακτοι T. II.
ὄμφακες· ἢν δ' ἀκμάσῃ, φρούρια καὶ σκόλοπες.

## XLVIII.

* * * * * * * *

ἢν τούτῳ φωνῇς, τὸ μέσον λάβε, καὶ κατακλίνας
ζεύγνυε, καὶ πρώσας πρόσπεσε καὶ κάτεχε.
οὐ φρονέεις, Διόφαντε, μόλις δύναμαι γὰρ ἔγωγε
ταῦτα ποιεῖν· παίδων δ' ἡ πάλη ἔσθ' ἑτέρα.
ὄχλου καὶ μένε, Κῦρι, καὶ ἐμβάλλοντος ἀνάσχου·
πρῶτον συμμελετᾶν, ἢ μελετᾶν μάθετω.

## XLIX.

Ἐχθὲς λουόμενος Διοκλῆς ἀνενήνοχε σαῦραν
ἐκ τῆς ἐμβάσεως τὴν ἀναδυομένην.
ταύτην εἴ τις ἔδειξεν Ἀλεξάνδρῳ ποτ' ἐν Ἴδῃ,
τὰς τρεῖς ἂν ταύτης οὐ προέκρινε θεάς.

## L.

Εὐτυχὲς, οὐ φθονέω, βιβλίδιον, ἦ ῥά σ' ἀναγνοὺς
παῖς τις ἀγαθλίψει, πρὸς τὰ γένεια τιθείς,
ἢ τρυφεροῖς σφίγξει περὶ χείλεσιν, ἢ κατὰ μηρῶν
εἰλήσει δροσερῶν, ὦ μακαριστότατον·
πολλάκι φοιτήσεις ὑποκόλπιον, ἢ παρὰ δίφρους
βληθὲν, τολμήσεις κεῖνα θιγεῖν ἀφόβως.
πολλὰ δ' ἐν ἠρεμίῃ προλαλήσεις· ἀλλ' ὑπὲρ ἡμῶν, p. 371.
χαρτάριον, δέομαι, πυκνότερόν τι λάλει.

XLVIII. 5. Cod. ὄχλει.
XLIX. 4. Cod. ταύτῃ προκατέκρινε.
L. 2. Cod. ἀναθλίβει.

T. II.

## LI.

Μήτε λίην στυγνὸς παρακέκλισο, μήτε κατηφὴς,
  Δίφιλε, μηδ' εἴης παιδίον ἐξ ἀγέλης.
ἔστω που προύνεικα λαλήματα, καὶ τὰ πρὸ ἔργων
  παίγνια, πληκτισμοὶ, κνίσμα, φίλημα, λόγος.

## LII.

Τρεῖς ἀριθμει τοὺς πάντας ὑπὲρ λέχος, ὧν δύο δρῶσιν,
  καὶ δύο πάσχουσιν. θαῦμα δοκῶ τι λέγειν.
καὶ μὴν οὐ ψεῦδος. δυσὶν εἷς μέσος, ὃς μὲν ὑπουργεῖ,
  τέρπων ἐξόπιθεν, πρόσθε δὲ τερπόμενος.

## LIII.

Εἰ μὲν ἔφυς ἀμύητος ἀκμὴν ὑπὲρ οὗ σ' ἔτι πείθω,
  ὀρθῶς ἂν δείσαις, δεινὸν ἴσως δοκέων.
εἰ δέ σε δεσποτικὴ κοίτη πεποίηκε τεχνίτην,
  τί φθονέεις δοῦναι, ταὐτὸ λαβὼν, ἑτέρῳ;
ὃς μὲν γὰρ καλέσας ἐπὶ τὸ χρέος, εἶτ' ἀπολύσας,
  εὕδει κύριος ὢν, μηδὲ λόγου μεταδούς.
ἄλλη δ' ἔνθα τρυφὴ, παίξεις ἴσα, κοινὰ λαλήσεις,
  τἄλλα δ' ἐρωτηθεὶς, οὐκ ἐπιτασσόμενος.

## LIV.

Αἲ αἴ μοι τί πάλιν δεδακρυμένον, ἢ τί κατηφὲς
  παιδίον; εἶπον ἁπλῶς· μή σ' ὀδυνῶ τί θέλεις;
τὴν χέρα μοι κοίλην προσενήνοχας. ὡς ἀπόλωλα.
  μισθὸν ἴσως αἰτεῖς. τοῦτ' ἔμαθες δὲ πόθεν;

LI. 2. Cod. μὴ δείσης. 3. Cod. πρ. φιλήματα.
LIII. 2. diverſa apogr. habent ὀρθῶς αἴδεισαι, αἰδεῖσαι, αἰδείσας.
LIV. 2. Scr. εἰπέν. et μηδ' ὀδυνῶ. —

οὐκέτι σοι κοπτῆς φιλίαι πλάκες, οὐδὲ μελιχρὰ T.II p.372.
σήσαμα, καὶ καρύων παίγνιος εὐστοχίη.
ἀλλ' ἤδη πρὸς κέρδος ἔχεις φρένας. ὡς ὁ διδάξας
τεθνάτω. οἷόν μου παιδίον ἠφάνικεν.

## LV.

Τῷ τοίχῳ κέκλικας τὴν ὀσφύα τὴν περίβλεπτον,
Κῦρι· τί πειράζεις τὸν λίθον; οὐ δύναται.

## LVI.

Δός μοι, καὶ λάβε χαλκόν. ἐρεῖς ὅτι πλούσιός εἰμι.
δώρησαι τοίνυν τὴν χάριν, ὡς βασιλεύς.

## LVII.

Νῦν ἔαρ εἶ, μετέπειτα θέρος· κἄπειτα τί μέλλεις,
Κύρις; βούλευσαι, καὶ καλάμη γὰρ ἔσῃ.

## LVIII.

Νῦν ὀρθή, κατάρατε, καὶ εὔτονος, ἡνίκα μηδέν·
ἡνίκα δ' ἦν ἐχθὲς, οὐδὲν ὅλως ἀνέπνεις.

## LIX.

Ηδη ἐπὶ στρατιὴν ὁρμᾷς, ἔτι παῖς ἀδαὴς ὤν,
καὶ τρυφερός. τί ποιεῖς οὗτος; ὅρα, μετάθου.
οἴμοι τίς σ' ἀνέπεισε λαβεῖν δόρυ; τίς χερὶ πέλτην,
τίς κρύψαι ταύτην τὴν κεφαλὴν κόρυθι;
ὢ μακαριστὸς ἐκεῖνος, ὅτις ποτὲ καινὸς Ἀχιλλεὺς
τοίῳ ἐνὶ κλισίῃ τέρπόμενος Πατρόκλῳ.

LIV. 5. Cod. φιλίης.

T.II.p.373.

## LX.

Μέχρι τίνος σε γελῶντα μόνον, μηδὲν δὲ λαλῦντα
οἴσομεν; εἰπὲ ἁπλῶς τῦτο σὺ, Πασίφιλε.
αἰτῶ, καὶ σὺ γελᾷς. πάλιν αἰτῶ, κὐκ ἀποκρίνῃ·
δακρύω, σὺ γελᾷς. βάρβαρε, τῦτο γέλως;

## LXI.

Καὶ μισθὺς αἰτεῖτε, διδάσκαλοι. ὡς ἀχάριςοι
ἐςε. τί γὰρ τὸ βλέπειν παιδία; μικρὸν ἴσως;
καὶ τύτοισι λαλεῖν, ἀσπαζομένυς τε φιλῆσαι;
τῦτο μόνον χρυσῶν ἄξιον ὐχ ἑκατόν;
πεμπέτω, εἴ τις ἔχει καλὰ παιδία· κἀμὲ φιλείτω,
μισθὸν καὶ παρ' ἐμῦ λαμβανέτω τί θέλει.

## LXII.

Οὐχὶ τὸ πῦρ κλέψας δέδεσαι, κακόβυλε Προμηθεῦ·
ἀλλ' ὅτι τὸν πηλὸν τῦ Διὸς ἠφάνισας.
πλάττων ἀνθρώπυς, ἔβαλες τρίχας, ἔνθεν ὁ δεινὸς
πώγων, καὶ κνήμη παισὶ δασυνομένη.
εἶτά σε δαρδάπτει Διὸς αἰετὸς, ὃς Γανυμήδην
ἥρπασ'· ὁ γὰρ πώγων καὶ Διός ἐς' ὀδύνη.

## LXIII.

Στεῖχε πρὸς αἰθέρα δῖον, ἀπέρχεο παῖδα κομίζων,
αἰετὲ, τὰς διφυεῖς ἐκπετάσας πτέρυγας.
ςεῖχε τὸν ἁβρὸν ἔχων Γανυμήδεα, μηδὲ μεθείης
τὸν Διὸς ἡδίςων οἰνοχόον κυλίκων.
φείδεο δ' αἱμάξαι κῦρον γαμψώνυχι ταρσῷ,
μὴ Ζεὺς ἀλγήσῃ, τῦτο βαρυνόμενος.

## LXIV.

T.II. p.374.

Εὐκαίρως ποτὲ παιδοτρίβης, λεῖον προδιδάσκων,
εἰς τὸ γόνυ κάμψας, μέσσον ἐπαιδοτρίβει,
τῇ χειρὶ τοὺς κόκκους ἐπαφώμενος· ἀλλὰ τυχαίως
τοῦ παιδὸς χρήζων, ἦλθεν ὁ δεσπόσυνος.
ὡς δὲ τάχος τοῖς ποσσὶν ὑποζώσας ἀνέκλινεν
ὕπτιον, ἀμπλέξας τῇ χειρὶ τὴν φάρυγα.
ἀλλ' οὐκ ὢν ἀπάλαιστρος ὁ δεσπόσυνος προσέειπεν·
Παῦσαι, πνιγίζεις, φημὶ, τὸ παιδάριον.

## LXV.

Τερπνὸν ὅλως τὸ πρόσωπον ἐμοὶ προσιόντος ἀπαρκεῖ·
οὐκέτι δ' ἐξόπιθεν καὶ παριόντα βλέπω.
οὕτω γὰρ καὶ ἄγαλμα θεοῦ, καὶ νηὸν ὁρῶμεν
ἀντίον, οὐ πάντως καὶ τὸν ὀπισθόδομον.

## LXVI.

Εἰς ἀγαθὴν συνέβημεν ἀταρπιτὸν, ἥν, ἀπὸ πρώτης,
φράζεο πῶς ἔσαι, Δίφιλε, καὶ μονίμη.
ἄμφω γὰρ πτηνόν τι λελόγχαμεν. ἔστι μὲν ἔν σοι
κάλλος, ἔρως δ' ἐν ἐμοί· καίρια δ' ἀμφότερα.
ἔστι μὲν ἁρμοσθέντα μένει χρόνον· εἰ δ' ἀφύλακτα
μίμνετον, ἀλλήλων ᾤχετ' ἀποπτάμενα.

## LXVII.

Οὐδέποτ' ἠελίου φάος ὄρθριον ἀντέλλοντος
μίσγεσθαι ταύρῳ χρὴ φλογόεντα κύνα,

LXIV. 5. Cod. ὡς δέ. 6. Cod. ἐμπλέξας. 8. Cod. φησί.
LXVI. 4. Cod. κύρια.

T. II. μή ποτε καρποτόκυ Δημήτερος ὑγρανθείσης,
βρέξῃς τὴν λασίην Ηρακλέυς ἄλοχον.

p. 375.

## LXVIII.

Πάννυχα μυδαλέοντα πεφυρμένος ὄμματα κλαυθμῷ
ἄγρυπνον ἀμπαύω θυμὸν ἀδημονίῃ.
ἤ με πόθος ἐδάμασσεν ἀποζευχθέντος ἑταίρυ,
μῦνον ἐπεί με λιπὼν εἰς ἰδίην ἔφυγεν.
χθιζὸς ἔβη Διόδωρος, ὃς εἰ πάλι μὴ ταχὺς ἔλθοι,
ὐκ ἔτι μυνολεχεῖς κοῖτας ἀνεξόμεθα.

## LXIX.

Ηλ τινα καὶ παριδεῖν ἐθέλω καλὸν ἀντισυναντῦν,
βαιὸν ὅσον παραβὰς εὐθὺ μεταςρέφομαι.

## LXX.

Παῖδα μὲν ἠλιτόμηνον ἐς ἄφρονα καιρὸν ἁμαρτεῖν,
τῷ πείθοντι φέρει πλεῖον ὕβρισμα φίλῳ.
ἤδη δ' ἐν νεότητι παρήλικα παιδικὰ πάσχειν,
τῷ παρέχοντι πάλιν τῦτο δὶς αἰσχρότερον.
ἔςι δ' ὅτ' ἀμφοτέροις τὸ μὲν ὐκέτι, Μοῖρι, τὸ δ' ὔπω
ἀπρεπὲς, οἷον ἐγὼ καὶ σὺ τὸ νῦν ἔχομεν.

## LXXI.

Ὤ ως ἀγαθὴ θεός ἐςι, δι' ἣν ὑπὸ κόλπον, Αλεξι,
πτύομεν, ὑςερόπυν ἁζόμενοι Νέμεσιν.
ἥν συ μετερχομένην ὐκ ἔβλεπες, ἀλλ' ἐνόμιζες
ἕξειν τὸ φθονερὸν κάλλος ἀειχρόνιον.

LXVIII. 3. Cod. ἤ με κατυν ἐδάμ. 4. Cod. ἰδίην ἔφερεν, alter. apogr. ἔφυεν.

νῦν δὲ τὸ μὲν διόλωλεν· ἐπήλυθε δ' ἡ τριχάλεπτος T. II.
δαίμων· χοἰ θέραπες νῦν σε παρερχόμεθα.

LXXII. p. 376.

Εὐκλείδῃ φιλέοντι πατὴρ θάνεν. ἆ μάκαρ αἰεί·
καὶ πρὶν ἐς ὅττι θέλοι χρηστὸν ἔχων πατέρα,
καὶ νῦν ἄφρονα νεκρόν. ἐγὼ δ' ἔτι λάθρια παίζω.
φεῦ μοίρης τε κακῆς, καὶ πατρὸς ἀθανάτου.

LXXIII.

Εἰ κάλλει καυχᾷ, γίγνωσχ' ὅτι καὶ ῥόδον ἀνθεῖ.
ἀλλὰ μαρανθὲν ἄφνω σὺν κοπρίοις ἐρίφη.
ἄνθος γὰρ καὶ κάλλος ἴσον χρόνον ἐστὶ λαχόντα,
ταῦτα δ' ὁμοῦ φθονέων ἐξεμάρανε χρόνος.

LXXIV.

Εἰ μὲν γηράσκει τὸ καλὸν, μετάδος, πρὶν ἀπέλθῃ·
εἰ δὲ μένει, τί φοβῇ τοῦθ' ὃ μένει διδόναι;

LXXV.

Εὐνοῦχός τις ἔχει καλὰ παιδία. πρὸς τίνα χρῆσιν;
καὶ τούτοισι βλάβην οὐχ ὁσίην παρέχει.
ὄντως ὡς ὁ κύων φάτνῃ ῥόδα, μωρὰ δ' ὑλακτῶν,
οὔθ' αὑτῷ παρέχει τἀγαθὸν, οὔθ' ἑτέρῳ.

LXXVI.

Χαῖρε σὺ μισοπόνηρε πεπλασμένε, χαῖρε βάναυσε,
ὁ πρώην ὀμόσας μηκέτι μὴ διδόναι.
μηκέτι νῦν ὀμόσῃς. ἔγνωκα γὰρ, οὐδ' ἐμὲ λήθεις.
οἶδα τὸ ποῦ, καὶ πῶς, καὶ τίνι, καὶ τὸ πόσου.

LXXV. 3. Fort. φάτνῃ ἔπι.

T.II.p.377.

LXXVII.

Ἀλλήλοις παρέχουσιν ἀμοιβαδίην ἀπόλαυσιν
οἱ κύνεοι πῶλοι μειρακιευόμενοι·
ἀμφαλλὰξ δὲ οἱ αὐτοὶ ἀπόστροφα νωτοβατοῦνται,
τὸ δρᾷν καὶ τὸ παθεῖν ἀντιπεραινόμενοι.
οὐ πλεονεκτεῖται δ' οὐδ' ἅτερος· ἄλλοτε μὲν γὰρ
ἀντίον ὁ προδιδοὺς, ἄλλοτ' ὄπισθε πάλιν.
τοῦτ' ἐστὶ πάντως τὸ προοίμιον· εἰς γὰρ ἀμοιβὴν,
ὡς λέγεται, κνήθειν οἶδεν ὄνος τὸν ὄνον.

LXXVIII.

Πέντ' αἰτεῖς, δέκα δέξο καὶ εἴκοσιν· ἀντία δ' ἕξεις.
ἀρκεῖ σοι χρυσός· ἤρκεσε καὶ Δανάῃ.

LXXIX.

Ἤδη μοι πολιαὶ ἐπὶ τοῖς κροτάφοισιν ἔθειραι,
καὶ πέος ἐν μηροῖς ἀργὸν ἀποκρέμαται·
ὄρχεις δ' ἄπρηκτοι, χαλεπὸν δ' ἐμὲ γῆρας ἱκάνει.
οἴμοι πυγίζειν οἶδα, καὶ οὐ δύναμαι.

LXXX.

Ἄγκιστρον πεποίηκας, ἔχεις ἰχθὺν ἐμὲ, τέκνον·
ἕλκε μ' ὅπου βούλει· μὴ τρέχε, μή σε φύγω.

LXXXI.

Πρώην τὴν σαῦραν ῥοδοδάκτυλον, Ἄλκιμ', ἔδειξας·
νῦν αὐτὴν ἤδη καὶ ῥοδόπηχυν ἔχεις.

p. 378.

LXXXII.

Εἴ με τὸ πυγίζειν ἀπολώλεκε, καὶ διὰ τοῦτο
ἐκτρέφομαι ποδαγρῶν, Ζεῦ κρεάγραν με ποίει.

LXXVIII. 1. δ. δώσω. Cod.

LXXXIII. T. II.

Ἢν ἐσίδω τινὰ λευκὸν, ἀπόλλυμαι· ἢν δὲ μελίχρουν,
καίομαι· ἢν ξανθὸν, εὐθὺς ὅλως λέλυμαι.

LXXXIV.

Πᾶν ἄλογον ζῶον βινεῖ μόνον· οἱ λογικοὶ δὲ
τῶν ἄλλων ζώων τοῦτ' ἔχομεν τὸ πλέον,
πυγίζειν εὑρόντες. ὅσοι δὲ γυναιξὶ κρατοῦνται,
τῶν ἀλόγων ζώων οὐδὲν ἔχουσι πλέον.

LXXXV.

Ζεῦγος ἀδελφειῶν με φιλεῖ· οὐκ οἶδα τίν' αὐτῶν
δεσπόσυνον κρίνω· τοὺς δύο γὰρ φιλέω.
χὠ μὲν ἀποστείχει, ὁ δ' ἐπέρχεται. ἔστι δὲ τοῦ μὲν
κάλλιστον τὸ παρὸν· τοῦ δὲ, τὸ λειπόμενον.

LXXXVI.

Οἷον ἐπὶ Τροίην ποτ' ἀπὸ Κρήτης, Θεόδωρε,
Ἰδομενεὺς θεράποντ' ἤγαγε Μηριόνην,
τοῖον ἔχω σε φίλον περιδέξιον. ἢ γὰρ ἐκεῖνος
ἄλλα μὲν ἦν θεράπων, ἄλλα δ' ἑταιρόσυνος.
καὶ σὺ τὰ μὲν βιότοιο πανήμερος ἔργα τελεῖς μοι,
νῦν δ' ἄγ' ἐπαινῶμεν καὶ διαμηριόνην.

LXXXVII.

Τίς δύναται γνῶναι τὸν ἐρώμενον, εἰ παρακμάζει,
πάντα συνὼν αὐτῷ, μηδ' ἀπολειπόμενος;
τίς δύνατ' οὐκ ἀρέσαι τὴν σήμερον, ἐχθὲς ἀρέσκων; p. 379.
εἰ δ' ἀρέσει, τί παθὼν αὔριον οὐκ ἀρέσει;

LXXXVI. 6. Cod. νῦν δ' ἄγε (alterum apogr. νῦν δέ γε) πεινῶμεν καὶ διὰ μηριόνην.

T. II.

## LXXXVIII.

Βουπείνητε μέλισσα, πόθεν μέλι τοὐμὸν ἰδοῦσα
  παιδὸς ἐφ' ὑαλέην ὄψιν ὑπερπέτασαι;
οὐ παύσῃ βομβεῦσα, καὶ ἀνθολόγοισι θέλουσα
  ποσσὶν ἐφάψασθαι χρωτὸς ἀκηροτάτου;
ἔῤῥ' ἐπὶ σοὺς μελίπαιδας ὅποι ποτὲ, δράπετι, σίμβλους,
  μή σε δάκω· κἠγὼ κέντρον ἔρωτος ἔχω.

## LXXXIX.

Νυκτερινὴν, ἐπὶ κῶμον ἰὼν μεταδόρπιον, ὥρην,
  ἄρνα λύκος θυρέτροις εὗρον ἐφεσταότα,
υἱὸν Αριστοδίκου τοῦ γείτονος· ὃν, περιπλεχθεὶς,
  ἐξεφίλουν, ὅρκοις πολλὰ χαριζόμενος.
νῦν δ' αὐτῷ τί φέρων δωρήσομαι; οὔτ' ἀπάτης γὰρ
  ἄξιος, Εσπερίης οὔτ' ἐπιορκοσύνης.

## XC.

Πρόσθε μὲν ἀντιπρόσωπα φιλήματα, καὶ τὰ πρὸ πείρας
  εἴχομεν· ἦς γὰρ ἀκμὴν, Δίφιλε, παιδάριον.
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων
  ὕστερον. ἔστω γὰρ πάντα καθ' ἡλικίην.

## XCI.

Εμπρήσω σε θύρη τᾷ λαμπάδι, καὶ τὸν ἔνοικον
  συμφλέξας μεθύων, εὐθὺς ἄπειμι φυγὰς,
καὶ πλώσας Αδριανὸν ἐπ' οἴνοπα πόντον, ἀλήτης
  πωλήσω γε θύραις νυκτὸς ἀνοιγομέναις.

LXXXIX. 1. Cod. ἐπίκωμος μετὰ δόρπιον. Scr. μεταδόρπιος.

## XCII.

T.II. p.380.

* * * * * * * *

δεξιτερὴν ὀλίγον δὸς ἐπὶ χρόνον, οὐχ ἵνα παύσῃ
  (καί μ' ὁ καλὸς χλεύην ἔσχε) χοροιτυπίης.
ἀλλ' εἰ μὴ πλευρῇ παρεκέκλιτο πατρὸς ἀκαίρως,
  οὐκ ἂν δή με μάτην εἶδε μεθυσκόμενον.

## XCIII.

Ἐκ ποίου ναοῦ, πόθεν ὁ στόλος οὗτος Ἐρώτων,
  πάντα καταστίλβων; ἄνδρες, ἀμαυρὰ βλέπω.
τίς τούτων δοῦλος, τίς ἐλεύθερος; οὐ δύναμ' εἰπεῖν.
  ἄνθρωπος τούτων κύριος οὐ πέλεται.
εἰ δ' ἐστὶν, μείζων πολλῷ Διὸς, ὃς Γανυμήδην
  ἔσχε μόνον, θεὸς ὤν· πηλίκος, ὃς δὲ τόσους;

## XCIV.

Οὐδ' αὐτή σ' ἡ λέξις, ἀκοινώνητε, διδάσκει,
  ἐξ ἐτύμου φωνῆς ῥήματος ἑλκομένη;
πᾶς φιλόπαις λέγεται, Διονύσιε, κοὐ φιλοβούπαις.
  πρὸς τοῦτ' ἀντειπεῖν μή τι πάλιν δύνασαι.
Πύθι' ἀγωνοθετῶ, σὺ δ' Ὀλύμπια· χοὓς ἀποβάλλων
  ἐκκρίνω, τούτους εἰς τὸν ἀγῶνα δέχῃ.

## XCV.

Ἡ κλίνη πάσχοντας ἔχει δύο, καὶ δύο δρῶντας,
  οὓς σὺ δοκεῖς πάντας τέσσαρας. εἰσὶ δὲ τρεῖς.
ἢν δὲ πύθῃ πῶς τοῦτο, τὸν ἐν μέσσῳ δὶς ἀρίθμει,
  κοινὰ πρὸς ἀμφοτέρους ἔργα σαλευόμενον.

## XCVI.

T.II. p.381. Καὶ πίνε νῦν, καὶ ἔρα, Δαμόκρατες, οὐ γὰρ ἐς αἰεὶ
  πιόμεθ', οὐδ' αἰεὶ παισὶ συνεσσόμεθα.
καὶ στεφάνοις κεφαλὰς πυκασώμεθα, καὶ μυρίσωμεν
  αὐτοὺς, πρὶν τύμβοις ταῦτα φέρειν ἑτέρους.
νῦν ἐν ἐμοὶ πιέτω μέθυ τὸ πλέον ὀστέα τἀμά·
  νεκρὰ δὲ Δευκαλίων αὐτὰ κατακλυσάτω.

## XCVII.

Ἐστι Δράκων τις ἔφηβος, ἄγαν καλός· ἀλλὰ δράκων ὤν,
  πῶς εἰς τὴν τρώγλην ἄλλον ὄφιν δέχεται;

## XCVIII.

Η τάχα τις μετόπισθε κλύων ἐμὰ παίγνια ταῦτα
  πάντας ἐμοὺς δόξει τοὺς ἐν ἔρωτι πόνους.
ἄλλα δ' ἐγὼν ἄλλοισιν ἀεὶ φιλόπαισι χαράσσω
  γράμματ', ἐπεί τις ἐμοὶ τοῦτ' ἐνέδωκε θεός.

## XCIX.

Ιητρὸς Καπίτων Χρύσην ἔχρισεν, ὁρῶντα
  ὀκτὼ μὲν μακρῶν πύργον ἀπὸ σταδίων,
ἄνδρα δ' ἀπὸ σταδίου, διὰ δώδεκα δ' ὄρτυγα πηχῶν,
  φθεῖρα δ' ἀπὸ σπιθαμῶν καὶ δύο δερκόμενον.
νῦν δ' ἀπὸ μὲν σταδίου πόλιν οὐ βλέπει, ἐκ δὲ διπλέθρου
  καιόμενον κατιδεῖν τὸν φάρον οὐ δύναται.
ἵππον ἀπὸ σπιθαμῆς δὲ μόλις βλέπει, ἀντὶ δὲ τοῦ πρὶν
  ὄρτυγος, οὐδὲ μέγαν στρουθὸν ἰδεῖν δύναται.
ἂν δὲ προσεγχρίσας αὐτὸν φθάσῃ, οὐδ' ἐλέφαντα
  οὐκέτι μήποτ' ἴδῃ πλησίον ἑσταότα.

XCVI. 1. Scr. πῖε νῦν.
XCIX. 10. Scr. οὐκέτ' ἂν οὔποτ' ἴδοι.

# ΝΙΚΟΜΗΔΟΥΣ ΣΜΥΡΝΑΙΟΥ ΙΑΤΡΟΥ.

T.II. p.382.

## ΑΝΑΣΤΡΕΦΟΝΤΑ ἢ ΑΝΑΚΥΚΛΙΚΑ.

I.

Πηνελόπη, τόδε σοι φᾶρος καὶ χλαῖναν Ὀδυσσεὺς
ἤνεγκεν, δολιχὴν ἐξανύσας ἀτραπόν.

Ἀτραπὸν ἐξανύσας δολιχὴν, ἤνεγκεν Ὀδυσσεὺς
χλαῖναν καὶ φᾶρός σοι τόδε, Πηνελόπη.

II.

Τὸν τραγόπουν ἐμὲ Πᾶνα φίλον Βρομίοιο, καὶ υἱὸν
Ἀρκάδος, ἀντ' ἀλκᾶς Ὠφελίων ἔγραφεν.

Ἔγραφεν Ὠφελίων ἀλκᾶς ἀντ' Ἀρκάδος υἱὸν,
καὶ Βρομίοιο φίλον, Πᾶν' ἐμὲ τὸν τραγόπουν.

III.

Ἀερόπης δάκρυον διερῆς, καὶ λείψανα δείπνων
δύσνομα, καὶ ποινὴν Ὠφελίων ἔγραφεν.

Ἔγραφεν Ὠφελίων ποινὴν, καὶ δύσνομα δείπνων
λείψανα, καὶ διερῆς δάκρυον Ἀερόπης.

IV.

p. 383.

Πραξιτέλης ἔπλασε Δανάην, καὶ φάρεα Νυμφῶν
Λύγδινα, καὶ πέτρης Πᾶν' ἐμὲ Πεντελικῆς.

Πεντελικῆς ἐμὲ Πᾶνα πέτρης καὶ Λύγδινα Νυμφῶν
φάρεα, καὶ Δανάην ἔπλασε Πραξιτέλης.

T.II.p.373.

## LX.

Μέχρι τίνος σε γελῶντα μόνον, μηδὲν δὲ λαλοῦντα
οἴσομεν; εἰπὸν ἁπλῶς τοῦτο σύ, Πασίφιλε.
αἰτῶ, καὶ σὺ γελᾷς. πάλιν αἰτῶ, κοὐκ ἀποκρίνῃ·
δακρύω, σὺ γελᾷς. βάρβαρε, τοῦτο γέλως;

## LXI.

Καὶ μισθοὺς αἰτεῖτε, διδάσκαλοι. ὡς ἀχάριστοι
ἔστε. τί γὰρ τὸ βλέπειν παιδία; μικρὸν ἴσως;
καὶ τούτοισι λαλεῖν, ἀσπαζομένους τε φιλῆσαι;
τοῦτο μόνον χρυσῶν ἄξιον οὐχ ἑκατόν;
πεμπέτω, εἴ τις ἔχει καλὰ παιδία· κἀμὲ φιλείτω,
μισθὸν καὶ παρ' ἐμοῦ λαμβανέτω τί θέλει.

## LXII.

Οὐχὶ τὸ πῦρ κλέψας δέδεσαι, κακόβουλε Προμηθεῦ·
ἀλλ' ὅτι τὸν πηλὸν τοῦ Διὸς ἠφάνισας.
πλάττων ἀνθρώπους, ἔβαλες τρίχας, ἔνθεν ὁ δεινὸς
πώγων, καὶ κνήμη παισὶ δασυνομένη.
εἶτά σε δαρδάπτει Διὸς αἰετός, ὃς Γανυμήδην
ἥρπασ'· ὁ γὰρ πώγων καὶ Διός ἐστ' ὀδύνη.

## LXIII.

Στεῖχε πρὸς αἰθέρα δῖον, ἀπέρχεο παῖδα κομίζων,
αἰετέ, τὰς διφυεῖς ἐκπετάσας πτέρυγας.
στεῖχε τὸν ἁβρὸν ἔχων Γανυμήδεα, μηδὲ μεθείης
τὸν Διὸς ἡδίστων οἰνοχόον κυλίκων.
φείδεο δ' αἱμάξαι κοῦρον γαμψώνυχι ταρσῷ,
μὴ Ζεὺς ἀλγήσῃ, τοῦτο βαρυνόμενος.

## LXIV.

T.II. p.374.

Εὐκαίρως ποτὲ παιδοτρίβης, λεῖον προδιδάσκων,
εἰς τὸ γόνυ κάμψας, μέσσον ἐπαιδοτρίβει,
τῇ χερὶ τοὺς κόκκους ἐπαφώμενος· ἀλλὰ τυχαίως
τοῦ παιδὸς χρῄζων, ἦλθεν ὁ δεσπόσυνος.
ὃς δὲ τάχος τοῖς ποσσὶν ὑποζώσας ἀνέκλινεν
ὕπτιον, ἀμπλέξας τῇ χερὶ τὴν φάρυγα.
ἀλλ' οὐκ ὢν ἀπάλαιστρος ὁ δεσπόσυνος προσέειπεν·
Παῦσαι, πνιγίζεις, φημὶ, τὸ παιδάριον.

## LXV.

Τερπνὸν ὅλως τὸ πρόσωπον ἐμοὶ προσιόντος ἀπαρκεῖ·
οὐκέτι δ' ἐξόπιθεν καὶ παριόντα βλέπω.
οὕτω γὰρ καὶ ἄγαλμα θεοῦ, καὶ νηὸν ὁρῶμεν
ἀντίον, οὐ πάντως καὶ τὸν ὀπισθόδομον.

## LXVI.

Εἰς ἀγαθὴν συνέβημεν ἀταρπιτὸν, ἥν, ἀπὸ πρώτης,
φράζεο πῶς ἔσται, Δίφιλε, καὶ μονίμη.
ἄμφω γὰρ πτηνόν τι λελόγχαμεν. ἔστι μὲν ἔν σοι
κάλλος, ἔρως δ' ἐν ἐμοί· καίρια δ' ἀμφότερα.
ἔστι μὲν ἁρμοσθέντα μένει χρόνον· εἰ δ' ἀφύλακτα
μίμνετον, ἀλλήλων οἴχετ' ἀποπτάμενα.

## LXVII.

Οὐδέποτ' ἠελίῳ φάος ὄρθριον ἀντέλλοντος
μίσγεσθαι ταύρῳ χρὴ φλογόεντα κύνα,

LXIV. 5. Cod. ὡς δέ. 6. Cod. ἐμπλέξας. 8. Cod. φησί.
LXVI. 4. Cod. κύρια.

T. II. μή ποτε καρποτόκου Δημήτερος ὑγρανθείσης,
βρέξῃς τὴν λασίην Ηρακλέους ἄλοχον.

p. 375.

## LXVIII.

Πάννυχα μυδαλέοντα πεφυρμένος ὄμματα κλαυθμῷ
ἄγρυπνον ἀμπαύω θυμὸν ἀδημονίῃ.
ἤ με πόθος ἐδάμασσεν ἀποζευχθέντος ἑταίρου,
μοῦνον ἐπεί με λιπὼν εἰς ἰδίην ἔφυγεν.
χθιζὸς ἔβη Διόδωρος, ὃς εἰ πάλι μὴ ταχὺς ἔλθοι,
οὐκ ἔτι μουνολεχεῖς κοίτας ἀνεξόμεθα.

## LXIX.

Ηλ τινα καὶ παριδεῖν ἐθέλω καλὸν ἀντιασυναντῶν,
βαιὸν ὅσον παραβὰς εὐθὺ μεταστρέφομαι.

## LXX.

Παῖδα μὲν ἠλιτόμηνον ἐς ἄφρονα καιρὸν ἁμαρτεῖν,
τῷ πείθοντι φέρει πλεῖον ὕβρισμα φίλῳ.
ἤδη δ' ἐν νεότητι παρήλικα παιδικὰ πάσχειν,
τῷ παρέχοντι πάλιν τοῦτο δὶς αἰσχρότερον.
ἔστι δ' ὅτ' ἀμφοτέροις τὸ μὲν οὐκέτι, Μοῖρι, τὸ δ' οὔπω
ἀπρεπὲς, οἷον ἐγὼ καὶ σὺ τὸ νῦν ἔχομεν.

## LXXI.

Ως ἀγαθὴ θεός ἐστι, δι' ἣν ὑπὸ κόλπον, Αλεξι,
πτύομεν, ὑστερόπουν ἁζόμενοι Νέμεσιν.
ἣν σὺ μετερχομένην οὐκ ἔβλεπες, ἀλλ' ἐνόμιζες
ἕξειν τὸ φθονερὸν κάλλος ἀειχρόνιον.

LXVIII. 3. Cod. ἢ με κατουν ἐδάμ. 4. Cod. ἰδίην ἔφεργον, alter. apogr. ἔφιεεν.

νῦν δὲ τὸ μὲν διόλωλεν· ἐπήλυθε δ' ἡ τριχάλεπτος δαίμων· χοἱ θέραπες νῦν σε παρερχόμεθα. T. II.

## LXXII.

p. 376.

Εὐκλείδῃ φιλέοντι πατὴρ θάνεν. ἆ μάκαρ αἰεὶ·
καὶ πρὶν ἐς ὅττι θέλοι χρηστὸν ἔχων πατέρα,
καὶ νῦν ἄφρονα νεκρόν. ἐγὼ δ' ἔτι λάθρια παίζω.
φεῦ μοίρης τε κακῆς, καὶ πατρὸς ἀθανάτου.

## LXXIII.

Εἰ κάλλει καυχᾷ, γίγνωσχ' ὅτι καὶ ῥόδον ἀνθεῖ.
ἀλλὰ μαρανθὲν ἄφνω σὺν κοπρίοις ἐρίφη.
ἄνθος γὰρ καὶ κάλλος ἴσον χρόνον ἐστὶ λαχόντα.
ταῦτα δ' ὁμοῦ φθονέων ἐξεμάρανε χρόνος.

## LXXIV.

Εἰ μὲν γηράσκει τὸ καλὸν, μετάδος, πρὶν ἀπέλθῃ·
εἰ δὲ μένει, τί φοβῇ τοῦθ' ὃ μένει διδόναι;

## LXXV.

Εὐνοῦχός τις ἔχει καλὰ παιδία. πρὸς τίνα χρῆσιν;
καὶ τούτοισι βλάβην οὐχ ὁσίην παρέχει.
ὄντως ὡς ὁ κύων φάτνῃ ῥόδα, μωρὰ δ' ὑλακτῶν,
οὔθ' αὑτῷ παρέχει τἀγαθὸν, οὔθ' ἑτέρῳ.

## LXXVI.

Χαῖρε σὺ μισοπόνηρε πεπλασμένε, χαῖρε βάναυσε,
ὁ πρώην ὀμόσας μηκέτι μὴ διδόναι.
μηκέτι νῦν ὀμόσῃς. ἔγνωκα γὰρ, οὐδ' ἐμὲ λήθεις.
οἶδα τὸ ποῦ, καὶ πῶς, καὶ τίνι, καὶ τὸ πόσου.

LXXV. 3. Fort. φάτνῃ ἔπι.

T.II. p.377.

## LXXVII.

Ἀλλήλοις παρέχουσιν ἀμοιβαδίην ἀπόλαυσιν
 οἱ κύνεοι πῶλοι μειρακιευόμενοι·
ἀμφαλλὰξ δὲ οἱ αὐτοὶ ἀπόστροφα νωτοβατοῦνται,
 τὸ δρᾶν καὶ τὸ παθεῖν ἀντιπεραινόμενοι.
οὐ πλεονεκτεῖται δ᾽ οὐδ᾽ ἅτερος· ἄλλοτε μὲν γὰρ
 ἀντίον ὁ προδιδοὺς, ἄλλοτ᾽ ὄπισθε πάλιν.
τοῦτ᾽ ἐστὶ πάντως τὸ προοίμιον· εἰς γὰρ ἀμοιβὴν,
 ὡς λέγεται, κνήθειν οἶδεν ὄνος τὸν ὄνον.

## LXXVIII.

Πέντ᾽ αἰτεῖς, δέκα δέξο καὶ εἴκοσιν· ἀντία δ᾽ ἕξεις;
 ἀρκεῖ σοι χρυσός· ἤρκεσε καὶ Δανάῃ.

## LXXIX.

Ἤδη μοι πολιαὶ ἐπὶ τοῖς κροτάφοισιν ἔθειραι,
 καὶ πέος ἐν μηροῖς ἀργὸν ἀποκρέμαται·
ὄρχεις δ᾽ ἄπρηκτοι, χαλεπὸν δ᾽ ἐμὲ γῆρας ἱκάνει.
 οἴμοι πυγίζειν οἶδα, καὶ οὐ δύναμαι.

## LXXX.

Ἄγκιστρον πεποίηκας, ἔχεις ἰχθὺν ἐμὲ, τέκνον·
 ἕλκε μ᾽ ὅπου βούλει· μὴ τρέχε, μή σε φύγω.

## LXXXI.

Πρώην τὴν σαῦραν ῥοδοδάκτυλον, Ἄλκιμ᾽, ἔδειξας·
 νῦν αὐτὴν ἤδη καὶ ῥοδόπηχυν ἔχεις.

p. 378.

## LXXXII.

Εἴ με τὸ πυγίζειν ἀπολώλεκε, καὶ διὰ τοῦτο
 ἐκτρέφομαι ποδαγρῶν, Ζεῦ κρεάγραν με ποίει.

LXXVIII. 1. δ. δώσω. Cod.

### LXXXIII. T. II.

Ἢν ἐσίδω τινὰ λευκὸν, ἀπόλλυμαι· ἢν δὲ μελίχρουν,
καίομαι· ἢν ξανθὸν, εὐθὺς ὅλως λέλυμαι.

### LXXXIV.

Πᾶν ἄλογον ζῶον βινεῖ μόνον· οἱ λογικοὶ δὲ
τῶν ἄλλων ζώων τοῦτ' ἔχομεν τὸ πλέον,
πυγίζειν εὑρόντες. ὅσοι δὲ γυναιξὶ κρατοῦνται,
τῶν ἀλόγων ζώων οὐδὲν ἔχουσι πλέον.

### LXXXV.

Ζεῦγος ἀδελφειῶν με φιλεῖ· οὐκ οἶδα τίν' αὐτῶν
δεσπόσυνον κρίνω· τοὺς δύο γὰρ φιλέω.
χὠ μὲν ἀποστείχει, ὁ δ' ἐπέρχεται. ἔστι δὲ τοῦ μὲν
κάλλιστον τὸ παρόν· τοῦ δὲ, τὸ λειπόμενον.

### LXXXVI.

Οἷον ἐπὶ Τροίην ποτ' ἀπὸ Κρήτης, Θεόδωρε,
Ἰδομενεὺς θεράποντ' ἤγαγε Μηριόνην,
τοῖον ἔχω σε φίλον περιδέξιον. ἦ γὰρ ἐκεῖνος
ἄλλα μὲν ἦν θεράπων, ἄλλα δ' ἑταιρόσυνος.
καὶ σὺ τὰ μὲν βιότοιο πανήμερος ἔργα τελεῖς μοι·
νῦν δ' ἄγ' ἐπαινῶμεν καὶ διαμηριόνην.

### LXXXVII.

Τίς δύναται γνῶναι τὸν ἐρώμενον, εἰ παρακμάζει,
πάντα συνὼν αὐτῷ, μηδ' ἀπολειπόμενος;
τίς δύνατ' οὐκ ἀρέσαι τὴν σήμερον, ἐχθὲς ἀρέσκων; p. 379.
εἰ δ' ἀρέσει, τί παθὼν αὔριον οὐκ ἀρέσει;

LXXXVI. 6. Cod. νῦν δ' ἄγε (alterum apogr. νῦν δέ γε) πεινῶμεν καὶ διὰ μηριόνην.

T. II. LXXXVIII.

Βουπείητε μέλισσα, πόθεν μέλι τοὐμὸν ἰδοῦσα
παιδὸς ἐφ' ὑαλέην ὄψιν ὑπερπέτασαι;
οὐ παύσῃ βομβεῦσα, καὶ ἀνθολόγοισι θέλουσα
ποσσὶν ἐφάψασθαι χρωτὸς ἀκηροτάτου;
ἔῤῥ' ἐπὶ σοὺς μελιπαῖδας ὅποι ποτὲ, δράπετι, σίμβλους,
μή σε δάκω· κἠγὼ κέντρον ἔρωτος ἔχω.

LXXXIX.

Νυκτερινὴν, ἐπὶ κῶμον ἰὼν μεταδόρπιον, ὥρην,
ἄρνα λύκος θυρέτροις εὗρον ἐφεσταότα,
υἱὸν Ἀριστοδίκου τοῦ γείτονος· ὃν, περιπλεχθεὶς,
ἐξεφίλουν, ὅρκοις πολλὰ χαριζόμενος.
νῦν δ' αὐτῷ τί φέρων δωρήσομαι; οὔτ' ἀπάτης γὰρ
ἄξιος, Ἑσπερίης οὔτ' ἐπιορκοσύνης.

XC.

Πρόσθε μὲν ἀντιπρόσωπα φιλήματα, καὶ τὰ πρὸ πείρας
εἴχομεν· ἦς γὰρ ἀκμὴν, Δίφιλε, παιδάριον.
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων
ὕστερον. ἔστω γὰρ πάντα καθ' ἡλικίην.

XCI.

Ἐμπρήσω σε θύρη τᾷ λαμπάδι, καὶ τὸν ἔνοικον
συμφλέξας μεθύων, εὐθὺς ἄπειμι φυγὰς,
καὶ πλώσας Ἀδριανὸν ἐπ' οἴνοπα πόντον, ἀλήτης
πωλήσω γε θύραις νυκτὸς ἀνοιγομέναις.

LXXXIX. 1. Cod. ἐπίκωμος μετὰ δόρπιον. Scr. μεταδόρπιος.

T.II. p. 380.

## XCII.

* * * * * * * *

δεξιτερὴν ὀλίγον δὸς ἐπὶ χρόνον, οὐχ ἵνα παύσῃ
(καί μ' ὁ καλὸς χλεύην ἔσχε) χοροιτυπίης.
ἀλλ' εἰ μὴ πλευρῇ παρεκέκλιτο πατρὸς ἀκαίρως,
οὐκ ἂν δή με μάτην εἶδε μεθυσκόμενον.

## XCIII.

Ἐκ ποίου ναοῦ, πόθεν ὁ στόλος οὗτος Ἐρώτων,
πάντα καταστίλβων; ἄνδρες, ἀμαυρὰ βλέπω.
τίς τούτων δοῦλος, τίς ἐλεύθερος; οὐ δύναμ' εἰπεῖν.
ἄνθρωπος τούτων κύριος οὐ πέλεται.
εἰ δ' ἐστὶν, μείζων πολλῷ Διὸς, ὃς Γανυμήδην
ἔσχε μόνον, θεὸς ὤν· πηλίκος, ὃς δὲ τόσους;

## XCIV.

Οὐδ' αὐτή σ' ἡ λέξις, ἀκοινώνητε, διδάσκει,
ἐξ ἐτύμου φωνῆς ῥήματος ἑλκομένη;
πᾶς φιλόπαις λέγεται, Διονύσιε, κοὐ φιλοβούπαις.
πρὸς τοῦτ' ἀντειπεῖν μή τι πάλιν δύνασαι.
Πύθι' ἀγωνοθετῶ, σὺ δ' Ὀλύμπια· χοὓς ἀποβάλλων
ἐκκρίνω, τούτους εἰς τὸν ἀγῶνα δέχῃ.

## XCV.

Ἡ κλινὴ πάσχοντας ἔχει δύο, καὶ δύο δρῶντας,
οὓς σὺ δοκεῖς πάντας τέσσαρας. εἰσὶ δὲ τρεῖς.
ἢν δὲ πύθῃ πῶς τοῦτο, τὸν ἐν μέσσῳ δὶς ἀρίθμει,
κοινὰ πρὸς ἀμφοτέρους ἔργα σαλευόμενον.

## XCVI.

T.II. p.381.

Καὶ πίνε νῦν, καὶ ἔρα, Δαμόκρατες, οὐ γὰρ ἐς αἰεὶ
πιόμεθ', οὐδ' αἰεὶ παισὶ συνεσσόμεθα.
καὶ στεφάνοις κεφαλὰς πυκασώμεθα, καὶ μυρίσωμεν
αὐτοὺς, πρὶν τύμβοις ταῦτα φέρειν ἑτέρους.
νῦν ἐν ἐμοὶ πιέτω μέθυ τὸ πλέον ὀστέα τἀμά·
νεκρὰ δὲ Δευκαλίων αὐτὰ κατακλυσάτω.

## XCVII.

Ἐστι Δράκων τις ἔφηβος, ἄγαν καλός· ἀλλὰ δράκων ὤν,
πῶς εἰς τὴν τρώγλην ἄλλον ὄφιν δέχεται;

## XCVIII.

Η τάχα τις μετόπισθε κλύων ἐμὰ παίγνια ταῦτα
πάντας ἐμοὺς δόξει τοὺς ἐν ἔρωτι πόνους.
ἄλλα δ' ἐγὼν ἄλλοισιν ἀεὶ φιλόπαισι χαράσσω
γράμματ', ἐπεί τις ἐμοὶ τοῦτ' ἐνέδωκε θεός.

## XCIX.

Ιητρὸς Καπίτων Χρύσην ἔχρισεν, ὁρῶντα
ὀκτὼ μὲν μακρῶν πύργον ἀπὸ σταδίων,
ἄνδρα δ' ἀπὸ σταδίου, διὰ δώδεκα δ' ὄρτυγα πηχῶν,
φθεῖρα δ' ἀπὸ σπιθαμῶν καὶ δύο δερκόμενον.
νῦν δ' ἀπὸ μὲν σταδίου πόλιν οὐ βλέπει, ἐκ δὲ διπλέθρου
καιόμενον κατιδεῖν τὸν φάρον οὐ δύναται.
ἵππον ἀπὸ σπιθαμῆς δὲ μόλις βλέπει, ἀντὶ δὲ τοῦ πρὶν
ὄρτυγος, οὐδὲ μέγαν στρουθὸν ἰδεῖν δύναται.
ἂν δὲ προσεγχρίσας αὐτὸν φθάσῃ, οὐδ' ἐλέφαντα
οὐκέτι μήποτ' ἴδῃ πλησίον ἑσαότα.

XCVI. 1. Scr. πῖε νῦν.
XCIX. 10. Scr. οὐκέτ' ἂν ὄντ' ἴδοι.

## ΝΙΚΟΜΗΔΟΥΣ ΣΜΥΡΝΑΙΟΥ ΙΑΤΡΟΥ. T.II. p.382.

### ΑΝΑΣΤΡΕΦΟΝΤΑ ἢ ΑΝΑΚΥΚΛΙΚΑ.

I.

Πηνελόπη, τόδε σοι φᾶρος καὶ χλαῖναν Ὀδυσσεὺς
ἤνεγκεν, δολιχὴν ἐξανύσας ἀτραπόν.

Ἀτραπὸν ἐξανύσας δολιχὴν, ἤνεγκεν Ὀδυσσεὺς
χλαῖναν καὶ φᾶρός σοι τόδε, Πηνελόπη.

II.

Τὸν τραγόπουν ἐμὲ Πᾶνα φίλον Βρομίοιο, καὶ υἱὸν
Ἀρκάδος, ἀντ' ἀλκᾶς Ὠφελίων ἔγραφεν.

Ἔγραφεν Ὠφελίων ἀλκᾶς ἀντ' Ἀρκάδος υἱὸν,
καὶ Βρομίοιο φίλον, Πᾶν' ἐμὲ τὸν τραγόπουν.

III.

Ἀερόπης δάκρυον διερῆς, καὶ λείψανα δείπνων
δύσνομα, καὶ ποινὴν Ὠφελίων ἔγραφεν.

Ἔγραφεν Ὠφελίων ποινὴν, καὶ δύσνομα δείπνων
λείψανα, καὶ διερῆς δάκρυον Ἀερόπης.

IV.

Πραξιτέλης ἔπλασε Δανάην, καὶ φάρεα Νυμφῶν p. 383.
Λύγδινα, καὶ πέτρης Πᾶν' ἐμὲ Πεντελικῆς.

Πεντελικῆς ἐμὲ Πᾶνα πέτρης καὶ Λύγδινα Νυμφῶν
φάρεα, καὶ Δανάην ἔπλασε Πραξιτέλης.

T. II.

## V.

Κύπριδι κουροτρόφῳ δάμαλιν ῥέξαντες ἔφηβοι,
χαίροντες νύμφας ἐκ θαλάμων ἄγομεν.

---

Ἄγομεν ἐκ θαλάμων νύμφας χαίροντες ἔφηβοι,
ῥέξαντες δάμαλιν κουροτρόφῳ Κύπριδι.

## VI.

Αἰθομέναις ὑπὸ δᾳσὶν ἐν εὐρυχόρῳ πατρὸς οἴκῳ
παρθένον ἐκ χειρῶν ἠγαγόμην Κύπριδος.

---

Κύπριδος ἠγαγόμην χειρῶν ἐκ παρθένον οἴκῳ
πατρὸς ἐν εὐρυχόρῳ δᾳσὶν ὑπ' αἰθομέναις.

## VII.

Ἀσκανίῃ μέγα χαῖρε καλὴ, καὶ χρύσεα Βάκχου
ὄργια, καὶ μύσται πρόκριτοι Εὐΐεω.

---

Εὐΐεω πρόκριτοι μύσται, καὶ ὄργια Βάκχου
χρύσεα, καὶ καλὴ χαῖρε μέγ' Ἀσκανίῃ.

## VIII.

Ἱπποκράτης φάος ἦν μερόπων, καὶ σώετο λαῶν
ἔθνεα, καὶ νεκύων ἦν σπάνις εἰν Ἀΐδῃ.

---

Εἰν Ἀΐδῃ σπάνις ἦν νεκύων, καὶ ἔθνεα λαῶν
σώετο, καὶ μερόπων ἦν φάος Ἱπποκράτης.

p. 384.

## IX.

Τὰν παιδὸς καλλίσταν εἰκὼ τάνδε θεοῖο,
Παιᾶνος κούρου ματρὸς ἀπ' ἀρτιτόκου,
δαιδάλλων μερόπεσσιν ἐμήσαο, σεῖο, Βοηθὲ,
εὐπαλάμου σοφίης μνᾶμα καὶ ἐσσομέναις.

θῆκε δ' ὁμῶ νούσων τε κακῶν ζωάγρια Νικο- Γ. II.
μήδης, καὶ χειρῶν δεῖγμα παλαιγενέων.

X.

Οἷον ἐμαιώσαντο νέον τόκον Εἰλήθυιαι
ἐκ Φλεγύου κούρης Φοίβῳ ἀκερσεκόμῃ,
τοῖόν τοι Παιὰν Ἀσκληπιὲ σεῖο βοηθὸς
χειρὸς ἄγαλμ' ἀγαθῆς τεῦξεν ἑαῖς πραπίσιν.
νηῷ δ' ἐν τῷδε ζωάγρια θῆκεν ὁρᾶσθαι,
πολλάκι σαῖς βουλαῖς νοῦσον ἀλευάμενος,
σὸς θεράπων, εὐχῆς ὀλίγην δόσιν, οἷα θεοῖσιν
ἄνδρες ἐφημέριοι τῶνδε φέρουσι χάριν.

---

Εἰς Νικομήδην ἐπιτάφιον.

Στήλην ἔθηκαν Νικομήδει συγγενεῖς,
ὃς ἦν ἄριστος ἰητρὸς, ἐν ζωοῖς ὅτ' ἦν.
πολλοὺς δὲ σώσας φαρμάκοις ἀνωδύνοις,
ἀνώδυνον τὸ σῶμα νῦν ἔχει θανών.

---

## ΑΜΜΙΑΝΟΥ. p. 385.

I.

Ἀρκαδικὸν πῖλον κατ' ἐνύπνιον Ἀρκάδι δῶρον
Ἑρμείῃ ῥήτωρ θῆκεν Ἀθηναγόρας.
εἰ μὲν καὶ ῥήτωρ κατ' ἐνύπνιον, οἴσομεν Ἑρμῇ,
εἰ δ' ὕπαρ, ἀρκείτω θῆκεν Ἀθηναγόρας.

T. II. II.

Ἑπτὰ σολοικισμοὺς Φλάκκῳ τῷ ῥήτορι δῶρον
πέμψας, ἀντέλαβον πεντάκι διακοσίους·
καί, Νῦν μέν, φησιν, τούτους ἀριθμῷ σοι ἔπεμψα,
τοῦ λοιποῦ δὲ μέτρῳ, πρὸς Κύπρον ἐρχόμενος.

III.

Ῥήτωρ ἐξαπίνης Ἀσιατικός. οὐδὲν ἄπιστον·
καὶ τοῦτ' ἐν Θήβαις νῦν γέγονεν τὸ τέρας.

IV.

Εἰ βούλει τὸν παῖδα διδάξαι ῥήτορα, Παῦλε,
ὡς οὗτοι πάντες, γράμματα μὴ μαθέτω.

V.

Ῥήτορα Μαῦρον ἰδὼν ἀπεθαύμασα, τὸν βαρύχειλον,
τέχνης ῥητορικῆς δαίμονα λευκοφόρον.

p. 386. VI.

Οὐχ ὅτι τὸν κάλαμον λείχεις, διὰ τοῦτό σε μισῶ,
ἀλλ' ὅτι τοῦτο ποιεῖς, καὶ δίχα τοῦ καλάμου.

VII.

Ἔστω μητρόπολις πρῶτον πόλις, εἶτα λεγέσθω
μητρόπολις· μὴ νῦν, ἡνίκα μηδὲ πόλις.

VIII.

Λασταύρων ἀφελὼν δύο γράμματα, Μάρκε, τὰ πρῶτα,
ἄξιος εἶ πολλῶν τῶν ὑπολειπομένων.

IX.

Εἰς τὸν αὐτὸν Μάρκον.

Θηρίον εἶ παρὰ γράμμα, καὶ ἄνθρωπος διὰ γράμμα,
ἄξιος εἶ πολλῶν, ὧν παρὰ γράμμα γράφῃ.

T. II.

## X.

Θᾶττον ποιήσει μέλι κάνθαρος, ἢ γάλα κώνωψ,
ἢ σύ τι ποιήσεις, σκορπίος ὤν, ἀγαθόν.
οὔτε γὰρ αὐτὸς ἑκοντὶ ποιεῖς, οὔτ᾽ ἄλλον ἀφίης,
ὡς ἀστὴρ Κρονικὸς πᾶσιν ἀπεχθόμενος.

## XI.

Μητέρα τὶς, πατέρ᾽ ἄλλος ἀπέκτανεν, ἄλλος ἀδελφόν.
Πωλιανὸς τοὺς τρεῖς, πρῶτος ἀπ᾽ Οἰδίποδος.

## XII.

Ὀψέ ποθ᾽ ἡ ποδάγρα τὸν ἑαυτῆς ἄξιον εὗρεν,
ὃν ποδαγρᾷν πρὸ ἐτῶν ἄξιον ἦν ἑκατόν.

## XIII.

p. 387.

Εἴη σοὶ κατὰ γῆς κούφη κόνις, οἰκτρὲ Νέαρχε,
ὄφρα σε ῥηϊδίως ἐξερύσωσι κύνες.

## XIV.

Εἰς παροριστήν.

Κἂν μέχρις Ἡρακλέους στηλῶν ἔλθῃς παορίζων,
γῆς μέρος ἀνθρώποις πᾶσιν ἴσον σε μένει,
κείσῃ δ᾽ Ἴρῳ ὅμοιος, ἔχων ὀβολοῦ πλέον οὐδὲν,
εἰς τὴν οὐκέτι σὴν γῆν ἀναλυόμενος.

## XV.

Οὐ δύναται τῇ χειρὶ Πρόκλος τὴν ῥῖν᾽ ἀπομύσσειν,
τῆς ῥινὸς γὰρ ἔχει τὴν χέρα μικροτέρην.
οὐδὲ λέγει ΖΕΥ ΣΩΣΟΝ, ἐὰν πταρῇ· οὐ γὰρ ἀκούει
τῆς ῥινὸς, πολὺ γὰρ τῆς ἀκοῆς ἀπέχει.

T. II. XVI.

Τὸν μικρὸν Μάκρωνα θέρους κοιμώμενον εὑρὼν,
εἰς τρώγλην μικροῦ τοῦ ποδὸς εἷλκυσε μῦς.
ὃς δ' ἐν τῇ τρώγλῃ ψιλὸς τὸν μῦν ἀποπνίξας,
Ζεῦ πάτερ, εἶπεν, ἔχεις δεύτερον Ἡρακλέα.

XVII.

Ἐξαίρων ποτ' ἄκανθαν ὁ λεπτακινὸς Διόδωρος,
αὐτὸς ἐτρύπησε τῷ ποδὶ τὴν βελόνην.

XVIII.

Τῷ Στρατονικείῳ πόλιν ἄλλην οἰκοδομεῖτε,
ἢ τούτοις ἄλλην οἰκοδομεῖτε πόλιν.

p. 318. XIX.

Ἐχθὲς ἐπὶ ξενίαν κληθεὶς, ὅτε καιρὸς ὕπνου μοι,
τύλῃ ἐπεκλίνθην Γοργόνος ἢ Νιόβης,
ἣν οὐδεὶς μὲν ὕφηνεν, ἀπέπρισε δ', ἢ πελεκήσας
ἐκ τῶν λατομιῶν ἤγαγεν εἰς τὰ Πλόκλου.
ἐξ ἧς εἰ μὴ θᾶττον ἐπηγέρθην, Πρόκλος ἄν μοι
τὴν τύλην στήλην, ἢ σορὸν εἰργάσατο.

XX.

Ὡς κῆπον τεθυκὼς, δεῖπνον παρέθηκεν Ἀπελλῆς,
οἰόμενος βόσκειν ἀντὶ φίλων πρόβατα.
ἦν ῥαφανὶς, σέρις ἦν, τῆλις, θρίδακες, πράσα, βολβοὶ,
ὤκιμον, ἡδύοσμον, πήγανον, ἀσπάραγος.
δείσας δ' ἐκ τούτων μὴ καὶ χόρτον παραθῇ μοι,
δειπνήσας θέρμους ἡμιβρεχεῖς ἔφυγον.

XXI.

## XXI. T. II.

Οἴει τὸν πώγωνα φρενῶν ποιητικὸν εἶναι,
  καὶ διὰ τοῦτο τρέφεις, φίλτατε, μυιοσόβην.
κεῖρον. ἐμοὶ πεισθεὶς, ταχέως· οὗτος γὰρ ὁ πώγων
  φθειρῶν ποιητὴς, οὐχὶ φρενῶν γέγονε.

## XXII.

Ὦ ΤΑΘΕ, καὶ ΜΩΝ ΟΥΝ, καὶ ΠΟΙ ΔΗ, καὶ ΠΟΘΕΝ Ω 'ΤΑΝ,
  καὶ ΘΑΜΑ, καὶ ΦΕΡΕ ΔΗ, καὶ ΚΟΜΙΔΗ, καὶ ΙΘΙ,
καὶ ςέλιον, μάλιον, πωγώνιον, ὤμιον ἔξω,
  ἐκ τούτων ἡ νῦν εὐδοκιμεῖ σοφία.

## XXIII. p. 389.

Κύλλος καὶ Λεῦρος, δύο Θεσσαλοὶ ἐγχεσίμωροι.
  Κύλλος δ' ἐκ τούτων ἐγχεσιμωρότερος.

## XXIV.

Εἰ μὲν τῆς ἀπὸ Ἄλφα μόνης κέκρικας κατορθώσειν,
  Λούκιε, βουλευτὰς, καὶ τὸν ἀδελφὸν ἔχεις.
εἰ δ', ὅπερ εὔλογόν ἐςι, κατὰ ςοιχεῖον ὁδεύσεις,
  ἤδη καὶ προλέγω, Ὠριγένης λέγομαι.

## XXV.

Μὴ σύ γ' ἐπ' ἀλλοτρίης, ὤνθρωφ', ἵζοιο τραπέζης,
  ψωμὸν ὀνείδειον γαςρὶ χαριζόμενος,
ἄλλοτε μὲν κλαίοντι καὶ ἐςυγνωμένῳ ὄμμα
  συγκλαίων, καὖθις σὺν γελόωντι γελῶν,
οὔτε σύ γε κλαυθμοῦ κεχρημένος οὔτε γέλωτος,
  καὶ κλαιομιλίῃ, καὶ γελοωμιλίῃ.

T. II. XXVI.

Ηὼς ἐξ ἠοῦς παραπέμπεται, εἶτ', ἀμελούντων
ἡμῶν, ἐξαίφνης ἥξει ὁ πορφύρεος,
καὶ τοὺς μὲν τήξας, τοὺς δ' ὀπτήσας, ἐνίους δὲ
φυσήσας, ἄξει πάντας ἐς ἓν βάραθρον.

XXVII.

Νικήτης ᾄδων τῶν ὠτῶν ἐστὶν Ἀπόλλων·
ἂν δὲ ἰατρεύῃ, τῶν θεραπευομένων.

p. 390. ΡΟΥΦΙΝΟΥ.

I.

Μᾶλλον τῶν σοβαρῶν τὰς δουλίδας ἐκλεγόμεσθα,
οἱ μὴ τοῖς σπατάλοις κλέμμασι τερπόμενοι.
ταῖς μὲν χρὼς ἀπόδωδε μύρου, σοβαρόν τε φρύαγμα,
καὶ μέχρι κινδύνου ἑσπομένη σύνοδος.
ταῖς δὲ χάρις καὶ χρὼς ἴδιος, καὶ λέκτρον ἑτοῖμον,
δώρων ἐκ σπατάλης οὐκ ἀλεγιζόμενον.
μιμοῦμαι Πύῤῥον τὸν Ἀχιλλέος, ὃς προέκρινεν
Ἑρμιόνης ἀλόχου τὴν λάτριν Ἀνδρομάχην.

II.

Πυγὰς αὐτὸς ἔκρινα τριῶν, εἵλοντο γάρ αὐταί,
δείξασαι γυμνὴν ἀστεροπὴν μελέων.
καί ῥ' ἡ μὲν τροχαλοῖς σφραγιζομένη γελασίνοις
λευκῇ ἀπὸ γλουτῶν ἤνθεεν εὐαφίῃ.

τῆς δὲ διαιρομένης φοινίσσετο χιονέη σάρξ,
  πορφυρέοιο ῥόδυ. μᾶλλον ἐρυθροτέρη.
ἡ δὲ γαληνιόωσα χαράσσετο κύματι κωφῷ,
  αὐτομάτη τρυφερῷ χρωτὶ σαλευομένη.
εἰ ταύτας δὲ θεῶν ὁ κριτὴς ἐθεάσατο πυγὰς,
  ὐκέτ' ἂν, ὐδ' ἐσιδεῖν ἤθελε τὰς προτέρας.

## III.

Ηρισαν ἀλλήλαις Ροδόπη, Μελίτη, Ροδόκλεια,
  τῶν τρισσῶν τίς ἔχει κρείσσονα μηριόνην·
καί με κριτὴν εἵλοντο, καὶ ὡς θεαὶ αἱ περίβλεπτοι
  ἔστησαν, μόνῳ νέκταρι λειβόμεναι. p. 391.
ἀλλὰ σαφῶς ἃ πέπονθε Πάρις διὰ τὴν κρίσιν εἰδὼς,
  τὰς τρεῖς ἀθανάτας εὐθὺς ἀνεστεφάνυν.

## IV.

Μήτ' ἰσχνὴν λίην περιλάμβανε, μήτε παχεῖαν·
  τύτων δ' ἀμφοτέρων τὴν μεσότητα θέλε.
τῇ μὲν γὰρ λείπει σαρκῶν χύσις· ἡ δὲ περισσὴν
  κέκτηται. λεῖπον μὴ θέλε, μηδὲ πλέον.

## V.

Πολλάκις ἠρασάμην σε λαβὼν ἐν νυκτὶ, Θάλεια,
  πληρῶσαι θαλερῇ θυμὸν ἐρωμανίῃ.
νῦν δ', ὅτε μοι γυμνὴ γλυκεροῖς μελέεσσι πέπλησαι,
  ἔκλυτος ὑπναλέῳ γυῖα κέκμηκα κόπῳ.
θυμὲ τάλαν, τί πέπονθας; ἀνέγρεο, μηδ' ἀπόκαμνε·
  ζητήσεις ταύτην τὴν ὑπερευτυχίην.

## VI.

T. II. Παρθένος ἀργυρόπεζος ἐλύετο χρύσεα μαζῶν
χρωτὶ γαλακτοπαγεῖ μῆλα διαινομένη·
πυγαὶ δ' ἀλλήλαις περιηγέες εἱλίσσοντο,
ὕδατος ὑγροτέρῳ χρωτὶ σαλευόμεναι.
τὸν δ' ὑπεροιδαίνοντα κατέσκεπε πεπταμένη χεὶρ
οὐχ ὅλον Εὐρώταν, ἀλλ' ὅσον ἠδύνατο.

## VII.

Τῇ κυανοβλεφάρῳ παίζων κόνδακα Φιλίππῃ,
ἐξ αὐτῆς κραδίης ἡδὺ γελᾶν ἐπόουν·
p. 392. Δώδεκά σοι βέβληκα, καὶ αὔριον ἄλλα βαλῶ σοι,
ἢ πλέον, ἠὲ πάλιν δώδεκ' ἐπιστάμενος.
εἶτα κελευομένη ἦλθεν· γελάσας δὲ πρὸς αὐτὴν,
Εἴθε σε καὶ νύκτωρ ἐρχομένην ἐκάλουν.

## VIII.

Οὔπω σοῦ τὸ καλὸν χρόνος ἔσβεσεν, ἀλλ' ἔτι πολλὰ
λείψανα τῆς προτέρης σώζεται ἡλικίης,
καὶ χάριτες μίμνουσιν ἀγήραοι, οὐδὲ τὸ καλὸν
τῶν ἱλαρῶν μήλων, ἢ ῥόδον ἐξέφυγεν.
ἆ πόσσους κατέφλεξε τὸ πρὶν θεοείκελον ἄνθος,
ὁππότε πρωτόπλουν ἔτρεχεν ἡλικίην.

## IX.

Πρωτομάχου πατρὸς καὶ Νικομάχης γεγαμηκὼς
θυγατέρα, Ζήνων, ἔνδον ἔχεις πόλεμον.

VIII. 6. Duplex eſt in cod. huius verſ. ſcriptura: prior quam exhibui; et haec altera: ἡνίκα πρωτοβόλων λάμπεν ἀπὸ βλεφάρων.

ζήτει Λυσίμαχον μοιχὸν φίλον, ὅς σ' ἐλεήσας, T. II.
ἐκ τῆς Πρωτομάχου λύσεται Ἀνδρομάχης.

## X.

Ἔπαινος τοῦ ἀνέτου βίου.

Τοῦτο βίος, τοῦτ' αὐτό· τρυφὴ βίος· ἔῤῥετ' ἀνῖαι.
ζωῆς ἀνθρώποις ὀλίγος χρόνος. ἄρτι Λύαιος,
ἄρτι χοροί, στέφανοί τε φιλανθέες, ἄρτι γυναῖκες.
σήμερον ἐσθλὰ πάθω, τὸ γὰρ αὔριον οὐδενὶ δῆλον.

## XI.

Δαίμονες, οὐκ ᾔδειν ὅτι λούεται ἡ Κυθέρεια,
χερσὶ καταυχενίους λυσαμένη πλοκάμους.
ἱλήκοις, δέσποινα, καὶ ὄμμασιν ἡμετέροισιν p. 393.
μήποτε μηνίσῃς, θεῖον ἰδοῦσι τύπον.
νῦν ἔγνων· Ῥοδόκλεια, καὶ οὐ Κύπρις. εἶτα τὸ κάλλος
τοῦτο πόθεν; σύ, δοκῶ, τὴν θεὸν ἐκδέδυκας.

## XII.

Εἰ τοίην χάριν εἶχε γυνὴ μετὰ Κύπριδος εὐνήν,
οὐκ ἄν τοι χρονέεσκεν ἀνὴρ ἀλόχοισιν ὁμιλῶν.
πᾶσαι γὰρ μετὰ Κύπριν ἀτερπέες εἰσὶ γυναῖκες.

## XIII.

Ποῦ νῦν Πραξιτέλης; ποῦ δ' αἱ χέρες αἱ Πολυκλείτου,
αὐταῖς πρόσθε τέχναις πνεῦμα χαριζόμεναι;
τίς πλοκάμους Μελίτης εὐώδεας, ἢ πυρόεντα
ὄμματα, καὶ δειρῆς φέγγος ἀποπλάσεται;
ποῦ πλάσται; ποῦ δ' εἰσὶ λιθοξόοι; ἔπρεπε τοίῃ
μορφῇ νηὸν ἔχειν, ὡς μακάρων ξοάνῳ.

T. II. V.

Κύπριδι κουροτρόφῳ δάμαλιν ῥέξαντες ἔφηβοι,
χαίροντες νύμφας ἐκ θαλάμων ἄγομεν.

Ἄγομεν ἐκ θαλάμων νύμφας χαίροντες ἔφηβοι,
ῥέξαντες δάμαλιν κουροτρόφῳ Κύπριδι.

VI.

Αἰθομέναις ὑπὸ δᾳσὶν ἐν εὐρυχόρῳ πατρὸς οἴκῳ
παρθένον ἐκ χειρῶν ἠγαγόμην Κύπριδος.

Κύπριδος ἠγαγόμην χειρῶν ἐκ παρθένον οἴκῳ
πατρὸς ἐν εὐρυχόρῳ δᾳσὶν ὑπ' αἰθομέναις.

VII.

Ἀσκανίη μέγα χαῖρε καλή, καὶ χρύσεα Βάκχου
ὄργια, καὶ μύσται πρόκριτοι Εὐΐεω.

Εὐΐεω πρόκριτοι μύσται, καὶ ὄργια Βάκχου
χρύσεα, καὶ καλὴ χαῖρε μέγ' Ἀσκανίη.

VIII.

Ἱπποκράτης φάος ἦν μερόπων, καὶ σώετο λαῶν
ἔθνεα, καὶ νεκύων ἦν σπάνις εἰν Ἀΐδῃ.

Εἰν Ἀΐδῃ σπάνις ἦν νεκύων, καὶ ἔθνεα λαῶν
σώετο, καὶ μερόπων ἦν φάος Ἱπποκράτης.

p. 384. IX.

Τὰν παιδὸς καλλίσταν εἰκὼ τάνδε θεοῖο,
Παιᾶνος κούρου ματρὸς ἀπ' ἀρτιτόκου,
δαιδάλλων μερόπεσσιν ἐμήσαο, σεῖο, Βοηθέ,
εὐπαλάμου σοφίης μνᾶμα καὶ ἐσσομέναις.

θῆκε δ' ὁμȣ̃ νȣ́σων τε κακῶν ζωάγρια Νικο- Γ. ΙΙ.
μήδης, καὶ χειρῶν δεῖγμα παλαιγενέων.

X.

Οἷον ἐμαιώσαντο νέον τόκον Ειλήθυιαι
ἐκ Φλεγύȣ κȣ́ρης Φοίβῳ ἀκερσεκόμῃ,
τοῖόν τοι Παιὰν Ασκληπιὲ σεῖο Βοηθὸς
χειρὸς ἄγαλμ' ἀγαθῆς τεῦξεν ἑαῖς πραπίσιν.
νηῷ δ' ἐν τῷδε ζωάγρια θῆκεν ὁρᾶσθαι,
πολλάκι σαῖς βȣλαῖς νȣ̃σον ἀλευάμενος,
σὸς θεράπων, εὐχῆς ὀλίγην δόσιν, οἷα θεοῖσιν
ἄνδρες ἐφημέριοι τῶνδε φέρȣσι χάριν.

---

Εἰς Νικομήδην ἐπιτάφιον.

Στήλην ἔθηκαν Νικομήδει συγγενεῖς,
ὃς ἦν ἄριςος ἰητρὸς, ἐν ζωοῖς ὅτ' ἦν.
πολλȣ̀ς δὲ σώσας φαρμάκοις ἀνωδύνοις,
ἀνώδυνον τὸ σῶμα νῦν ἔχει θανών.

---

## ΑΜΜΙΑΝΟΥ. p. 385.

I.

Αρκαδικὸν πῖλον κατ' ἐνύπνιον Αρκάδι δῶρον
Ερμείῃ ῥήτωρ θῆκεν Αθηναγόρας.
εἰ μὲν καὶ ῥήτωρ κατ' ἐνύπνιον, οἴσομεν Ερμῇ,
εἰ δ' ὕπαρ, ἀρκείτω θῆκεν Αθηναγόρας.

T. II. II.

Επτὰ σολοικισμοὺς Φλάκκῳ τῷ ῥήτορι δῶρον
πέμψας, ἀντέλαβον πεντάκι διακοσίους·
καὶ, Νῦν μέν, φησιν, τούτους ἀριθμῷ σοι ἔπεμψα,
τῷ λοιπῷ δὲ μέτρῳ, πρὸς Κύπρον ἐρχόμενος.

III.

Ρήτωρ ἐξαπίνης Ασιατικός. οὐδὲν ἄπιστον.
καὶ τοῦτ' ἐν Θήβαις νῦν γέγονεν τὸ τέρας.

IV.

Εἰ βούλει τὸν παῖδα διδάξαι ῥήτορα, Παῦλε,
ὡς οὗτοι πάντες, γράμματα μὴ μαθέτω.

V.

Ρήτορα Μαῦρον ἰδὼν ἀπεθαύμασα, τὸν βαρύχειλον,
τέχνης ῥητορικῆς δαίμονα λευκοφόρον.

p. 386. VI.

Ουχ ὅτι τὸν κάλαμον λείχεις, διὰ τοῦτό σε μισῶ,
ἀλλ' ὅτι τοῦτο ποιεῖς, καὶ δίχα τοῦ καλάμου.

VII.

Εστω μητρόπολις πρῶτον πόλις, εἶτα λεγέσθω
μητρόπολις· μὴ νῦν, ἡνίκα μηδὲ πόλις.

VIII.

Λασαύρων ἀφελὼν δύο γράμματα, Μάρκε, τὰ πρῶτα,
ἄξιος εἶ πολλῶν τῶν ὑπολειπομένων.

IX.

Εἰς τὸν αὐτὸν Μάρκον.

Θηρίον εἶ παρὰ γράμμα, καὶ ἄνθρωπος διὰ γράμμα,
ἄξιος εἶ πολλῶν, ὧν παρὰ γράμμα γράφῃ.

T. II.

X.

Θᾶττον ποιήσει μέλι κάνθαρος, ἢ γάλα κώνωψ,
ἢ σύ τι ποιήσεις, σκορπίος ὤν, ἀγαθόν.
οὔτε γὰρ αὐτὸς ἑκοντὶ ποιεῖς, οὔτ᾽ ἄλλον ἀφίης,
ὡς ἀστὴρ Κρονικὸς πᾶσιν ἀπεχθόμενος.

XI.

Μητέρα τὶς, πατέρ᾽ ἄλλος ἀπέκτανεν, ἄλλος ἀδελφόν.
Πωλιανὸς τοὺς τρεῖς, πρῶτος ἀπ᾽ Οἰδίποδος.

XII.

Ὀψέ ποθ᾽ ἡ ποδάγρα τὸν ἑαυτῆς ἄξιον εὗρεν,
ὃν ποδαγρᾷν πρὸ ἐτῶν ἄξιον ἦν ἑκατόν.

XIII.

p. 387.

Εἴη σοὶ κατὰ γῆς κούφη κόνις, οἰκτρὲ Νέαρχε,
ὄφρα σε ῥηϊδίως ἐξερύσωσι κύνες.

XIV.

Εἰς παροριστήν.

Κἂν μέχρις Ἡρακλέους στηλῶν ἔλθῃς παρορίζων,
γῆς μέρος ἀνθρώποις πᾶσιν ἴσον σε μένει,
κείσῃ δ᾽ Ἴρῳ ὅμοιος, ἔχων ὀβολοῦ πλέον οὐδὲν,
εἰς τὴν οὐκέτι σὴν γῆν ἀναλυόμενος.

XV.

Οὐ δύναται τῇ χειρὶ Πρόκλος τὴν ῥῖν᾽ ἀπομύσσειν,
τῆς ῥινὸς γὰρ ἔχει τὴν χέρα μικροτέρην.
οὐδὲ λέγει ΖΕΥ ΣΩΣΟΝ, ἐὰν πταρῇ· οὐ γὰρ ἀκούει
τῆς ῥινὸς, πολὺ γὰρ τῆς ἀκοῆς ἀπέχει.

T. II. XVI.

Τὸν μικρὸν Μάκρωνα θέρους κοιμώμενον εὑρὼν,
εἰς τρώγλην μικροῦ τοῦ ποδὸς εἵλκυσε μῦς.
ὃς δ' ἐν τῇ τρώγλῃ ψιλὸς τὸν μῦν ἀποπνίξας,
Ζεῦ πάτερ, εἶπεν, ἔχεις δεύτερον Ἡρακλέα.

XVII.

Ἐξαίρων ποτ' ἄκανθαν ὁ λεπτακινὸς Διόδωρος,
αὐτὸς ἐτρύπησε τῷ ποδὶ τὴν βελόνην.

XVIII.

Τῷ Στρατονικείῳ πόλιν ἄλλην οἰκοδομεῖτε,
ἢ τούτοις ἄλλην οἰκοδομεῖτε πόλιν.

p. 388. XIX.

Ἐχθὲς ἐπὶ ξενίαν κληθεὶς, ὅτε καιρὸς ὕπνου μοι,
τύλῃ ἐπεκλίνθην Γοργόνος ἢ Νιόβης,
ἣν οὐδεὶς μὲν ὕφηνεν, ἀπέπρισε δ', ἢ πελεκήσας
ἐκ τῶν λατομιῶν ἤγαγεν εἰς τὰ Πλόκλου.
ἐξ ἧς εἰ μὴ θᾶττον ἐπηγέρθην, Πρόκλος ἄν μοι
στὴν τύλην στήλην, ἢ σορὸν εἰργάσατο.

XX.

Ὡς κῆπον τεθυκὼς, δεῖπνον παρέθηκεν Απελλῆς,
οἰόμενος βόσκειν ἀντὶ φίλων πρόβατα.
ἦν ῥαφανὶς, σέρις ἦν, τῆλις, θρίδακες, πράσα, βολβοὶ,
ὤκιμον, ἡδύοσμον, πήγανον, ἀσπάραγος.
δείσας δ' ἐκ τούτων μὴ καὶ χόρτον παραθῇ μοι,
δειπνήσας θέρμους ἡμιβρεχεῖς ἔφυγον.

## XXI.

T. II.

Οἴει τὸν πώγωνα φρενῶν ποιητικὸν εἶναι,
   καὶ διὰ τοῦτο τρέφεις, φίλτατε, μυιοσόβην.
κεῖρον ἐμοὶ πεισθεὶς, ταχέως· οὗτος γὰρ ὁ πώγων
   φθειρῶν ποιητὴς, οὐχὶ φρενῶν γέγονε.

## XXII.

Ὦ ΓΑΘΕ, καὶ ΜΩΝ ΟΥΝ, καὶ ΠΟΙ ΔΗ, καὶ ΠΟΘΕΝ Ω ΤΑΝ,
   καὶ ΘΑΜΑ, καὶ ΦΕΡΕ ΔΗ, καὶ ΚΟΜΙΔΗ, καὶ ΙΘΙ,
καὶ στόλιον, μάλιον, πωγώνιον, ὤμιον ἔξω,
   ἐκ τούτων ἡ νῦν εὐδοκιμεῖ σοφία.

## XXIII.

p. 389.

Κύλλος καὶ Λεῦρος, δύο Θεσσαλοὶ ἐγχεσίμωροι.
   Κύλλος δ' ἐκ τούτων ἐγχεσιμωρότερος.

## XXIV.

Εἰ μὲν τοὺς ἀπὸ Ἄλφα μόνους κέκρικας κατορθώσειν,
   Λύκιε, βουλευτὰς, καὶ τὸν ἀδελφὸν ἔχεις.
εἰ δ', ὅπερ εὔλογόν ἐστι, κατὰ στοιχεῖον ὁδεύσεις,
   ἤδη καὶ προλέγω, Ὠριγένης λέγομαι.

## XXV.

Μή σύ γ' ἐπ' ἀλλοτρίης, ὤνθρωφ', ἵζοιο τραπέζης,
   ψωμὸν ὀνείδειον γαστρὶ χαριζόμενος,
ἄλλοτε μὲν κλαίοντι καὶ ἐστυγνωμένῳ ὄμμα
   συγκλαίων, καὖθις σὺν γελόωντι γελῶν,
οὔτε σύ γε κλαυθμοῦ κεχρημένος οὔτε γέλωτος,
   καὶ κλαιωμιλίῃ, καὶ γελωμιλίῃ.

T. II.

## VI.

Παρθένος ἀργυρόπεζος ἐλύετο χρύσεα μαζῶν
χρωτὶ γαλακτοπαγεῖ μῆλα διαινομένη·
πυγαὶ δ' ἀλλήλαις περιηγέες εἱλίσσοντο,
ὕδατος ὑγροτέρῳ χρωτὶ σαλευόμεναι.
τὸν δ' ὑπεροιδαίνοντα κατέσκεπε πεπταμένη χεὶρ
οὐχ ὅλον Εὐρώταν, ἀλλ' ὅσον ἠδύνατο.

## VII.

Τῇ κυανοβλεφάρῳ παίζων κόνδακα Φιλίππῃ,
ἐξ αὐτῆς κραδίης ἡδὺ γελᾶν ἐπόουν·
p. 392. Δώδεκά σοι βέβληκα, καὶ αὔριον ἄλλα βαλῶ σοι,
ἢ πλέον, ἠὲ πάλιν δώδεκ' ἐπιστάμενος.
εἶτα κελευομένη ἦλθεν· γελάσας δὲ πρὸς αὐτήν,
Εἴθε σε καὶ νύκτωρ ἐρχομένην ἐκάλουν.

## VIII.

Οὔπω σοῦ τὸ καλὸν χρόνος ἔσβεσεν, ἀλλ' ἔτι πολλὰ
λείψανα τῆς προτέρης σώζεται ἡλικίης,
καὶ χάριτες μίμνουσιν ἀγήραοι, οὐδὲ τὸ καλὸν
τῶν ἱλαρῶν μήλων, ἢ ῥόδον ἐξέφυγεν.
ἆ πόσσους κατέφλεξε τὸ πρὶν θεοείκελον ἄνθος,
ὁππότε πρωτόπλουν ἔτρεχεν ἡλικίην.

## IX.

Πρωτομάχου πατρὸς καὶ Νικομάχης γεγαμηκὼς
θυγατέρα, Ζήνων, ἔνδον ἔχεις πόλεμον.

VIII. 6. Duplex eſt in cod. huius verſ. ſcriptura: prior quam exhibui; et haec altera: ἡνίκα πρωτοβόλων λάμπεν ἀπὸ βλεφάρων.

ζήτει Λυσίμαχον μοιχὸν φίλον, ὅς σ' ἐλεήσας, T. II.
ἐκ τῆς Πρωτομάχου λύσεται Ἀνδρομάχης.

## X.

Ἔπαινος τοῦ ἀνέτου βίου.

Τοῦτο βίος, τοῦτ' αὐτό· τρυφὴ βίος· ἔῤῥετ' ἀνίαι.
ζωῆς ἀνθρώποις ὀλίγος χρόνος. ἄρτι Λυαῖος,
ἄρτι χοροί, στέφανοί τε φιλανθέες, ἄρτι γυναῖκες.
σήμερον ἐσθλὰ πάθω, τὸ γὰρ αὔριον οὐδενὶ δῆλον.

## XI.

Δαίμονες, οὐκ ᾔδειν ὅτι λούεται ἡ Κυθέρεια,
χερσὶ καταυχενίους λυσαμένη πλοκάμους.
ἱλήκοις, δέσποινα, καὶ ὄμμασιν ἡμετέροισιν p. 393.
μήποτε μηνίσῃς, θεῖον ἰδοῦσι τύπον.
νῦν ἔγνων· Ῥοδόκλεια, καὶ οὐ Κύπρις. εἶτα τὸ κάλλος
τοῦτο πόθεν; σύ, δοκῶ, τὴν θεὸν ἐκδέδυκας.

## XII.

Εἰ τοίην χάριν εἶχε γυνὴ μετὰ Κύπριδος εὐνήν,
οὐκ ἄν τοι χρονέεσκεν ἀνὴρ ἀλόχοισιν ὁμιλῶν.
πᾶσαι γὰρ μετὰ Κύπριν ἀτερπέες εἰσὶ γυναῖκες.

## XIII.

Ποῦ νῦν Πραξιτέλης; ποῦ δ' αἱ χέρες αἱ Πολυκλείτου,
αὐταῖς πρόσθε τέχναις πνεῦμα χαριζόμεναι;
τίς πλοκάμους Μελίτης εὐώδεας, ἢ πυρόεντα
ὄμματα, καὶ δειρῆς φέγγος ἀποπλάσεται;
ποῦ πλάσται; ποῦ δ' εἰσὶ λιθοξόοι; ἔπρεπε τοίῃ
μορφῇ νηὸν ἔχειν, ὡς μακάρων ξοάνῳ.

T. II.

## XIV.

Οὐκέτι παιδομανὴς, ὡς πρίν ποτε· νῦν δὲ καλῦμαι
θηλυμανὴς, καὶ νῦν δίσκος ἐμοὶ κρόταλον.
ἀντὶ δ' ἐμοὶ παίδων ἀδόλυ χροὸς, ἤρεσε γύψυ
χρίσματα, καὶ φύκυς ἄνθος ἐπεισόδιον.
βοσκήσει δελφῖνας ὁ δενδροκόμης Ερύμανθος,
καὶ πολιὸν πόντυ κῦμα θοὰς ἐλάφυς.

## XV.

Πέμπω σοι, Ροδόκλεια, τόδε στέφος, ἄνθεσι καλοῖς
αὐτὸς ἐν ἡμετέραις πλεξάμενος παλάμαις.
p. 394. ἔστι κρίνον, ῥοδέη τε κάλυξ, νοτερή τ' ἀνεμώνη,
καὶ νάρκισσος ὑγρὸς, καὶ κυαναυγὲς ἴον.
ταῦτα δὲ στεψαμένη, λῆξον μεγάλαυχος ἐῦσα.
ἀνθεῖς καὶ λήγεις καὶ σὺ καὶ ὁ στέφανος.

## XVI.

Λυσάμενοι, Προδίκη, πυκασώμεθα, καὶ τὸν ἄκρατον
ἕλκωμεν, κύλικας μείζονας αἰρόμενοι.
βαιὸς ὁ χαιρόντων ἐστὶ βίος· εἶτα τὰ λοιπὰ
γῆρας κωλύσει· καὶ τὸ τέλος, θάνατος.

## XVII.

Κάλλος ἔχεις Κύπριδος, Πειθῦς στόμα, σῶμα καὶ ἀκμὴν
εἰαρινῶν Ωρῶν, φθέγμα δὲ Καλλιόπης,
νῦν καὶ σωφροσύνην Θέμιδος, καὶ χεῖρας Αθήνης·
σὺν σοὶ δ' αἱ Χάριτες τέσσαρές εἰσι, Φίλη.

## XVIII.

Γείτονα παρθένον εἶχον Αμυμώνην, Αφροδίτη,
ἥ μυ τὴν ψυχὴν ἔφλεγεν ὐκ ὀλίγον.

αὕτη μοι προσέπαιζε, καί, εἴ ποτε καίρι' ἐτόλμων, T. II.
ἠρυθρία. τί πλέον; τὸν πόνον ᾐσθάνετο·
ἤνυσα, πολλὰ καμών. παρακήκοα νῦν ὅτι τίκτει.
ὥστε τί ποιοῦμεν; φεύγομεν, ἢ μένομεν;

## XIX.

Αὕτη πρόσθεν ἔην ἐρατόχροος, εἰαρόμασθος,
εὔσφυρος, εὐμήκης, εὔοφρυς, εὐπλόκαμος.
ἠλλάχθη δὲ χρόνῳ, καὶ γήραϊ, καὶ πολιαῖσι,
καὶ νῦν τῶν προτέρων οὐδ' ὄναρ οὐδὲν ἔχει,
ἀλλοτρίας δὲ τρίχας, ῥυτίδας, αἰσχρόν τε πρόσωπον, p. 395.
οἷον γηράσας οὐδὲ πίθηκος ἔχει.

## XX.

Ἀρνεῖται τὸν ἔρωτα Μελισσιάς, ἀλλὰ τὸ σῶμα
κέκραγεν, ὡς βελέων δεξάμενον φαρέτρην,
καὶ βάσις ἀστατέουσα, καὶ ἄστατος ἄσθματος ὁρμή,
καὶ κοῖλαι βλεφάρων ἰοτυπεῖς βάσιες.
ἀλλὰ Πόθοι, πρὸς μητρὸς ἐϋστεφάνου Κυθερείης,
φλέξατε τὴν ἀπιθῆ, μέχρις ἐρεῖ, Φλέγομαι.

## XXI.

Εἰ δυσὶν οὐκ ἴσχυσας ἴσην φλόγα, πυρφόρε, καῦσαι,
τὴν ἑνὶ καιομένην ἢ σβέσον, ἢ μετάθες.

## XXII.

Ὑψοῦται Ῥοδόπη τῷ κάλλεϊ· κἤν ποτε ΧΑΙΡΕ
εἴπω, ταῖς σοβαραῖς ὀφρύσιν ἠσπάσατο.
ἤν ποτε καὶ στεφάνους προθύρων ὑπερεκκρεμάσωμαι,
ὀργισθεῖσα πατεῖ τοῖς σοβαροῖς ἴχνεσιν.

XX. 3. Fort. καὶ ἄπνοος.. 6. In cod. prius fuerat τὴν ἀπαθῆ.

T. II. ὦ ῥυτίδες, καὶ γῆρας ἀκηλεὲς, ἔλθετε θᾶσσον,
σπεύσατε, κἂν ὑμεῖς πείσατε τὴν Ῥοδόπην.

XXIII.

Ὥπλισμαι πρὸς Ερωτα περὶ στέρνοισι λογισμὸν,
οὐδ' ἐμὲ νικήσει, μοῦνος ἐὼν πρὸς ἕνα.
θνατὸς δ' ἀθανάτῳ συστήσομαι. ἢν δὲ βοηθὸν
Βάκχον ἔχῃ, τί μόνος πρὸς δύ' ἐγὼ δύναμαι;

p. 396. XXIV.

Ομματ' ἔχεις Ηρης, Μελίτη, τὰς χεῖρας Αθήνης,
τοὺς μαζοὺς Παφίης, τὰ σφυρὰ τῆς Θέτιδος.
εὐδαίμων ὁ βλέπων σε· τρισόλβιος ὅστις ἀκούει·
ἡμίθεος δ' ὁ φιλῶν· ἀθάνατος δ' ὁ γαμῶν.

XXV.

Ρουφῖνος τῇ 'μῇ γλυκερωτάτῃ Ελπίδι πολλὰ
χαίρειν, εἰ χαίρειν, χωρὶς ἐμοῦ δύναται.
οὐκ ἔτι βαστάζω, μὰ τὰ σ' ὄμματα, τὴν φιλέρημον
καὶ τὴν μουνολεχῆ σεῖο 'διαζυγίην·
ἀλλ' αἰεὶ δακρύοισι πεφυρμένος . . . .
. . . . . . . . . . . . .
ἢ ἐπιορκήσων . . . . . . . . .
ἔρχομαι, ἢ μεγάλης νηὸν ἐς Αρτέμιδος.
αὔριον ἀλλὰ πάτρη με δεδέξεται. ἐς δὲ σὸν ὄμμα
πτήσομαι, ἐῤῥῶσθαι μυρία σ' εὐχόμενος.

XXVI.

Παλλὰς ἐσαθρήσασα καὶ Ηρη χρυσοπέδιλος
Μαιονίδ', ἐκ κραδίης ἴαχον ἀμφότεραι·

Οὐκ ἔτι γυμνώμεσθα· κρίσις μία κείμενος ἀρκεῖ· T. II.

ὁ καλὸν ἡττᾶσθαι δὶς περὶ καλλοσύνης.

XXVII.

Τίς γυμνὴν ὅτω σε καὶ ἐξέβαλεν καὶ ἔδειρεν;

τίς ψυχὴν λιθίνην εἶχε, καὶ ὐκ ἔβλεπε;

μοιχὸν ἴσως ηὕρηκεν, ἀκαίρως κεῖνος ἐσελθών.

γιγνόμενον· πᾶσαι τῦτο ποῦσι, τέκνον.

πλὴν ἀπὸ νῦν, ὅταν ἐςὶν ἔσω, κεῖνος δ' ὅταν ἔξω, p. 297.

τὸ πρόθυρον σφήνε, μὴ πάλι ταὐτὸ πάθῃς.

XXVIII.

Ἐκβάλλει γυμνήν τις, ἐπὴν εὕρῃ ποτὲ μοιχὸν,

ὡς μὴ μοιχεύσας, ὡς ἀπὸ Πυθαγόρε;

εἶτα, τέκνον, κλαίεσα καταδρύψεις τὸ πρόσωπον,

καὶ παραργώσεις μαινομένε προθύροις;

ἔκμαξαι, μὴ κλαῖε, τέκνον· εὑρήσομεν ἄλλον,

μηκέτι τὸν τὸ βλέπειν εἰδότα, καὶ τὸ δέρειν.

XXIX.

Εἰ μὲν ἐπ' ἀμφοτέροισιν, Ἔρως, ἴσα τόξα τιταίνεις,

εἶ θεός· εἰ δὲ ῥέπεις πρὸς μέρος, ὐ θεὸς εἶ.

XXX.

Εὐρώπης τὸ φίλημα καὶ ἢν ἄχρι χείλεος ἔλθῃ,

ἡδύ γε, κἂν ψαύσῃ μῦνον ἄχρι τόματος.

ψαύει δ' ὐκ ἄκροις τοῖς χείλεσιν· ἀλλ' ἐρίσασα

τὸ τόμα, τὴν ψυχὴν ἐξ ὀνύχων ἀνάγει.

XXXI.

Μέχρι τίνος, Προδίκη, παρακλαύσομαι; ἄχρι τίνος σε

γυνάσομαι, τερεή, μηδὲν ἀκεόμενος;

T. II. ἤδη καὶ λευκαί σοι ἐπισκιρτῶσιν ἔθειραι,
καὶ τάχα μοι δώσεις, ὡς Ἑκάβη Πριάμῳ.

## XXXII.

Οὐκ ἔλεγον, Προδίκη, ΓΗΡΑΣΚΟΜΕΝ; οὐ προεφώνουν
ΗΞΟΥΣΙ ΤΑΧΕΩΣ ΑΙ ΔΙΑΛΥΣΙΦΙΛΟΙ;
p. 398. νῦν ῥυτίδες, καὶ θρὶξ πολιὴ, καὶ σῶμα ῥακῶδες,
καὶ στόμα τὰς προτέρας οὐκέτ' ἔχον χάριτας.
μή τις σοι, μετέωρε, προσέρχεται, ἢ κολακεύων
λίσσεται· ὡς δὲ τάφον νῦν σε παρερχόμεθα.

## XXXIII.

Εὐκαίρως μονάσασαν ἰδὼν Προδίκην, ἱκέτευον,
καὶ τῶν ἀμβροσίων ἁψάμενος γονάτων,
Σῶσον, ἔφην, ἄνθρωπον ἀπολλύμενον παρὰ μικρὸν,
καὶ φεῦγον ζωῆς πνεῦμα σύ μοι χάρισαι.
ταῦτα λέγοντος, ἔκλαυσεν· ἀποψήσασα δὲ δάκρυ,
ταῖς τρυφεραῖς ἡμᾶς χερσὶν ὑπεξέβαλεν.

## XXXIV.

Σοί με λάτριν γλυκύδωρος Ἔρως παρέδωκε, Βοῶπι,
ταῦρον ὑποζεύξας εἰς πόθον αὐτόμολον,
αὐτοθελῆ, πάνδουλον, ἑκούσιον, αὐτοκέλευστον,
αἰτήσοντα πικρὴν μήποτ' ἐλευθερίην,
ἄχρι φίλης πολιῆς καὶ γήραος· ὄμμα βάλοι δὲ
μήποτ' ἐφ' ἡμετέραις ἐλπίσι βασκανίη.

## XXXV.

Μισῶ τὴν ἀφελῆ, μισῶ τὴν σώφρονα λίαν.
ἡ μὲν γὰρ βραδέως, ἡ δὲ θέλει ταχέως.

## XXXVI.

T. II.

Ομματα μὲν χρύσεια, καὶ ὑαλόεσσα παρειὴ,
καὶ ϛόμα πορφύρέης τερπνότερον κάλυκος,
δειρὴ λυγδινέη, καὶ ϛήθεα μαρμαίροντα,
καὶ πόδες ἀργυρέης λευκότεροι Θέτιδος.
εἰ δέ τι καὶ πλοκαμῖσι διαϛίλβουσιν ἄκανθαι, p. 399.
τῆς λευκῆς καλάμης οὐδὲν ἐπιϛρέφομαι.

## XXXVII.

Πού σοι κεῖνα, Μέλισσα, τὰ χρύσεα, καὶ περίοπτα
τῆς πολυθρυλλήτου κάλλεα φαντασίης;
πού δ' ὀφρύες, καὶ γαῦρα φρονήματα, καὶ μέγας αὐχὴν,
καὶ σοβαρῶν ταρσῶν χρυσοφόρος σπατάλη;
νῦν πενιχρὴ, ψαφαρή τε, κόμη τ' ἐπὶ ποσσὶ βραχεῖα.
ταῦτα τὰ τῶν σπαταλῶν τέρματα παλλακίδων.

## XXXVIII.

Νῦν μοι ΧΑΙΡΕ λέγεις, ὅτε σου τὸ πρόσωπον ἀπῆλθεν
κεῖνο, τὸ τῆς λύγδου, βάσκανε, λειότερον.
νῦν μοι προσπαίζεις, ὅτε τὰς τρίχας ἠφάνικάς σου,
τὰς ἐπὶ τοῖς σοβαροῖς αὐχέσι πλαζομένας.
μηκέτι μοι, μετέωρε, προσέρχεο, μηδὲ συνάντα.
ἀντὶ ῥόδου γὰρ ἐγὼ τὴν βάτον οὐ δέχομαι.

T. II.

## ΑΝΔΡΟΝΙΚΟΥ.

Οἰκτρὰ δὴ δνοφερὸν δόμον ἤλυθες εἰς Ἀχέροντος,
Δαμοκράτεια, φίλᾳ ματρὶ λιποῦσα γόους.
ἁ δὲ, σέθεν φθιμένας, πολιὰς νεοθᾶγι σιδάρῳ
κείρατο γηραλέας ἐκ κεφαλᾶς πλοκάμους.

p. 400.

## ΦΙΛΟΣΤΡΑΤΟΥ.

Εἰς εἰκόνα Τηλέφου τετρωμένου.

Οὗτος ὁ Τευθρανίας πρόμος ἄσχετος, οὗτος ὁ πικρὸν
Τήλεφος αἱμάξας φρικτὸν Ἄρη Δαναῶν,
Μυσῶν ὅτε πλήθοντα φόνῳ ἐκέρασσε Κάϊκον·
οὗτος ὁ Πηλιακοῦ δούρατος ἀντίπαλος.
νῦν ὀλοὸν μηρῷ κεύθων βάρος, οἷα λιπόπνους
τήκεται, ἐμψύχῳ σαρκὶ συνελκόμενος.
οὗ καὶ τειρομένοιο περιπτώσσοντες Ἀχαιοὶ
φύρδην Τευθρανίας κεῖνται ἐπ' ἠϊόνος.

## ΖΗΛΩΤΟΥ.

I.

Ἐκλάσθην ἐπὶ γῆς ἀνέμῳ πίτυς. ἐς τί με πόντῳ
στέλλετε, ναυηγὸν κλῶνα πρὸ ναυτιλίης;

II. T. II.

Ἐς τί πίτυν πελάγει πιστεύετε, γομφωτῆρες,
ἧς πολὺς ἐξ ὀρέων ῥίζαν ἔλυσε Νότος;
αἴσιον οὐκ ἔσσαμαι πόντου σκάφος, ἐχθρὸν ἀήταις
δένδρεον. ἐν χέρσῳ τὰς ἁλὸς αἶθε τύχας.

---

# ΚΑΡΦΥΛΛΙΔΟΥ. p. 401.

I.

Ἰχθύας ἀγκίστρῳ τις ἀπ' ᾐόνος εὔτριχι βάλλων
εἵλκυσε ναυαγοῦ κρᾶτα λιποτριχέα.
οἰκτείρας δὲ νέκυν τὸν ἀσώματον, ἐξ ἀσιδήρου
χειρὸς ἐπισκάπτων, λιτὸν ἔχωσε τάφον·
εὗρε δὲ κευθόμενον χρυσοῦ κτέαρ. ἦ ῥα δικαίοις
ἀνδράσιν εὐσεβίης οὐκ ἀπόλωλε χάρις.

II.

Μὴ μέμψῃ παριὼν τὰ μνήματά μου, παροδῖτα·
οὐδὲν ἔχω θρήνων ἄξιον οὐδὲ θανών.
τέκνων τέκνα λέλοιπα· μιῆς ἀπέλαυσα γυναικὸς
συγγήρου· τρισσοῖς παισὶν ἔδωκα γάμους,
ἐξ ὧν πολλάκι παῖδας ἐμοῖς ἐνεκοίμισα κόλποις,
οὐδενὸς οἰμώξας οὐ νόσον, οὐ θάνατον,
οἵ με κατασπείσαντες ἀπήμονα, τὸν γλυκὺν ὕπνον
κοιμᾶσθαι, χώρην πέμψαν ἐπ' εὐσεβέων.

T. II.

## ΦΙΛΩΝΟΣ.

Αἱ πολιαὶ σὺν νῷ, γεραρώτεραι. αἱ γὰρ ἄτερ νῦ, μᾶλλον τῶν πολλῶν εἰσὶν ὄνειδος ἐτῶν.

p. 402.

## ΖΗΝΟΒΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Αὐτὴν Γραμματικὴν ὁ ζωγράφος ἤθελε γράψαι·
Βίκτορα δὲ γράψας, Τὸν σκοπὸν, εἶπεν, ἔχω.

## ΕΥΠΙΘΙΟΥ ΑΘΗΝΑΙΟΥ

### ΤΟΥ ΣΤΙΞΑΝΤΟΣ ΤΗΝ ΚΑΘΟΛΟΥ.

Ταυτολόγων κανόνων φεῦ πλήθεος, ἠδ' ἀϊδήλων
ξυσμάων, λεπτὸς τὰς ἐχάραξε δόναξ.
ὄμματά μευ κέκμηκε, τένων, ῥάχις, ἰνίον, ὦμοι·
τῆς ΚΑΘΟΛΟΥ δὲ φέρω τὴν ὀδύνην καθόλυ.

## ΟΙΝΟΜΑΟΥ.

Εἰς Ἔρωτα γεγλυμμένον ἐν ποτηρίῳ.

Ἐν κυάθῳ τὸν Ἔρωτα. τίνος χάριν; ἀρκετὸν οἶνῳ
αἴθεσθαι κραδίην. μὴ πυρὶ πῦρ ἔπαγε.

# ΙΟΥΛΙΑΝΟΥ

## ΒΑΣΙΛΕΩΣ.

T.II. p.403.

### I.

Εἰς οἶνον ἀπὸ κριθῆς.

Τίς; πόθεν εἶς Διόνυσε; μὰ γὰρ τὸν ἀληθέα Βάκχον,
οὔ σ' ἐπιγιγνώσκω. τὸν Διὸς οἶδα μόνον.
κεῖνος νέκταρ ὄδωδε· σὺ δὲ τράγυ. ἦ ῥά σε Κελτοὶ
τῇ πενίῃ βοτρύων τεῦξαν ἀπ' ἀσταχύων.
τῷ σε χρὴ καλέειν Δημήτριον, οὐ Διόνυσον,
πυρογενῆ μᾶλλον, καὶ βρόμυ, οὐ Βρόμιον.

### II.

Εἰς ὄργανον μουσικόν.

Ἀλλοίην ὁρόω δονάκων φύσιν. ἦπου ἀπ' ἄλλης
χαλκείης τάχα μᾶλλον ἀνεβλάστησαν ἀρούρης,
ἄγριοι, οὐδ' ἀνέμοισιν ὑφ' ἡμετέροις δονέονται·
ἀλλ' ἀπὸ ταυρείης προθορὼν σπήλυγγος ἀήτης
νέρθεν ἐϋτρήτων καλάμων ὑπὸ ῥίζαν ὁδεύει.
καί τις ἀνὴρ ἀγέρωχος ἔχων θοὰ δάκτυλα χειρὸς,
ἵσταται ἀμφαφόων κανόνας συμφράδμονας αὐλῶν·
οἱ δ' ἁπαλὸν σκιρτῶντες ἀποθλίβουσιν ἀοιδήν.

### III.

T.III. p.332.

Αἴνιγμα εἰς κοντοπαίκτην.

Ἐστιν τι δένδρον. τῶν ἀνακτόρων μέσον,
οὗ ῥίζα καὶ ζῇ, καὶ λαλεῖ καρποῖς ἅμα·

μιᾷ δ' ἐν ὥρᾳ καὶ φυτεύεται ξένως,
καὶ καρπὸν αὔξει, καὶ τρυγᾶται ῥιζόθεν.

---

T.II. p.404. ΛΙΒΑΝΙΟΥ.

## ΛΙΒΑΝΙΟΥ.

Εἰς Ἰουλιανὸν τὸν βασιλέα.

Ἰουλιανὸς μετὰ Τίγριν ἀγάῤῥοον ἐνθάδε κεῖται,
ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής.

---

## ΘΕΜΙΣΤΙΟΥ.

Εἰς ἑαυτὸν, ὅτε ὕπαρχον αὐτὸν ἐποίησεν ὁ βασιλεὺς Ἰουλιανός.

Ἄντυγος αἰθερίης ὑπερήμενος, εἰς πόθον ἦλθες
ἄντυγος ἀργυρέης· αἶσχος ἀπειρέσιον.
ἦσθα κάτω κρείσσων· ἀναβὰς δ' ἐγένου μέγα χείρων.
δεῦρ' ἀνάβηθι κάτω· νῦν γὰρ ἄνω κατέβης.

---

## ΠΑΝΤΕΛΕΟΥ.

Εἰς Καλλίμαχον καὶ Κυναίγειρον.

Ὁ κενεοῦ καμάτοιο, καὶ ἀπρήκτου πολέμοιο.
ἡμετέρῳ βασιλῆϊ τί λέξομεν ἀντιάσαντες;
Ὦ βασιλεῦ, τί μ' ἔπεμπες ἐπ' ἀθανάτους πολεμιστάς;

βάλλομεν,

Pantel. 3. Scr. τί μ' ἔπεμψας.

βάλλομεν, οὐ πίπτουσι· τιτρώσκομεν, οὐ φοβέονται. T. II.
μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν· ἐν δ' ἄρα μέσσῳ
αἱματόεις ἕστηκεν ἀτειρέος Ἄρεος εἰκών.
δένδρεον δ' ὡς ἕστηκε σιδηρείαις ὑπὸ ῥίζαις,
οὐκ ἐθέλει πεσέειν. τάχα δ' ἔρχεται ἔνδοθι νηῶν·
λῦε κυβερνῆτα, νέκυος προφύγωμεν ἀπειλάς.

---

## ΘΕΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ. p. 405.

### I.

Ἡ πάρος ἀντιπάλων ἐπιήρανος ἀσπὶς ἀκόντων,
ἡ φονίου συγγνοῦ κῦμα φέρουσα μόθου,
ἄγριον οὐδ' ὅτε πόντος ἐπὶ κλόνον ἤλασε φωτὶ,
καὶ πικρὴ ναυτέων ἔπλεθ' ἁλιφθορίη,
συζυγίης ἀμέλησα· καλὸν δέ σε φόρτον ἄγουσα,
καὶ φίλος, εὐκταίων ἄχρις ἔβην λιμένων.

### II. (III.)

Ἀλκυόσιν, Ληναΐς, μέλεις τάχα· κωφὰ δὲ μήτηρ
μύρεθ', ὑπὲρ κενεοῦ κοπτομένη σε τάφου.

(III.) 2. Cod. ὑπὲρ κρυεροῦ μυρομένη.

T.II. p.406. # ΠΑΛΛΑΔΑ ΑΛΕΞΑΝΔΡΕΩΣ.

I.

Ἀντὶ βοὸς, χρυσοῦ τ' ἀναθήματος Ἴσιδι τούσδε
θήκατο τοὺς λιπαροὺς Παμφίλιον πλοκάμους.
ἡ δὲ θεὸς τούτοις γάνυται πλέον, ἤπερ Ἀπόλλων
χρυσῷ, ὃν ἐκ Λυδῶν Κροῖσος ἔπεμψε θεῷ.

II.

Ὦ ξυρὸν οὐράνιον, ξυρὸν ὄλβιον, ᾧ πλοκαμῖδας
κειραμένη πλεκτὰς, ἄνθετο Παμφίλιον,
οὔ σέ τις ἀνθρώπων χαλκεύσατο· πὰρ δὲ καμίνῳ
Ἡφαίστου, χρυσέην σφῦραν ἀειραμένη
ἡ λιπαροκρήδεμνος, ἵν' εἴπωμεν καθ' Ὅμηρον,
χερσί σε ταῖς ἰδίαις ἐξεπόνησε Χάρις.

III.

* * * * * * *

νῦν καταγιγνώσκω καὶ τοῦ Διὸς, ὡς ἀνεράστου,
μὴ μεταβαλλομένου τῆς σοβαρᾶς ἕνεκεν.
οὔτε γὰρ Εὐρώπης, οὔτε Δανάης περικαλλοῦς,
οὔθ' ἁπαλῆς Λήδης ἐσ' ἀπολειπομένη.
εἰ μὴ τὰς πόρνας παραπέμπεται· οἶδα γὰρ αὐτὸν
τῶν βασιλευουσῶν παρθενικῶν φθορέα.

p.407. IV.

Γηραλέον με γυναῖκες ἀποσκώπτουσι, λέγουσαι
εἰς τὸ κάτοπτρον ὁρᾶν λείψανον ἡλικίης.

ἀλλ' ἐγὼ· εἰ λευκὰς φορέω τρίχας, εἴτε μελαίνας, T. II.
οὐκ ἀλέγω, βιότου πρὸς τέλος ἐρχόμενος.
εὐόδμοις δὲ μύροισι καὶ εὐπετάλοις στεφάνοισι
καὶ Βρομίῳ παύω φροντίδας ἀργαλέας.

## V.

Οὐδὲν σωφροσύνης τεκμήριόν ἐστι πρόδηλον·
τοῖς ἐμπαιζομένοις ἀνδράσι ταῦτα λέγω.
οὔτε τὸ δύσμορφον πάντως ἀνύποπτον ὑπάρχει·
οὔτ' ἀκολασταίνειν πᾶσα πέφυκε καλή.
καὶ γάρ τις διὰ τὴν ὥραν τοῖς πολλὰ διδοῦσιν
οὐχ ἕπεται· πολλὰς δ' ἐστὶ γυναῖκας ἰδεῖν
οὐχὶ καλὰς τὴν ὄψιν, ὀπυιομένας ἀκορέστως,
καὶ τοῖς χρησαμένοις πολλὰ χαριζομένας.
οὐκ εἴ τις συνάγει τὰς ὀφρύας, οὐδὲ γελῶσα
φαίνεται, ὀφθῆναί τ' ἀνδράσιν ἐκτρέπεται,
σωφροσύνης τρόπος οὗτος ἐχέγγυος. ἀλλά τις εὗρε
μαχλάδα μὲν κρύβδην, τὴν πάνυ σεμνοτάτην,
τὰς δ' ἱλαρὰς καὶ πᾶσι φιλανθρώπως προσιούσας
σώφρονας, εἰ σώφρων ἐστὶ γυνή τις ὅλως.
ἡλικία τοίνυν οὐδὲ κρίνετ' ἀλλ' Ἀφροδίτης
οἶστρον εἰρήνης οὐδέ τι γῆρας ἀεί·
ὅρκοις λοιπὸν ἀεί τε πεποίθαμεν ἀλλὰ μεθόρκον
ζητεῖν ἐστὶ θεοὺς δώδεκα καινοτέρους.

## VI.

Πᾶσα γυνὴ χόλος ἐστίν· ἔχει δ' ἀγαθὰς δύο ὥρας,
τὴν μίαν ἐν θαλάμῳ, τὴν μίαν ἐν θανάτῳ.

IV. 3. Vat. Cod. φέρω τρίχας. Fort. εἴτε φέρω λευκὰς τρίχας.
V. 15—18. ex Cod. Vat.

T.II.p.408.

### VII.

Ἂν μετ' Ἀλεξάνδρειαν ἐς Ἀντιόχειαν ἀπέλθῃς,
καὶ μετὰ τὴν Συρίην Ἰταλίας ἐπιβῇς,
τῶν δυνατῶν οὐδείς σε γαμήσει. οὕτω γὰρ αἰεὶ
οἰομένη πηδᾷς εἰς πόλιν ἐκ πόλεως.

### VIII.

Ὁ τὴν γυναῖκα τὴν ἄμορφον δυστυχῶν,
λύχνους ἀνάψας ἑσπέρας, σκότος βλέπει.

### IX.

ΜΗΝΙΝ ΟΥΛΟΜΕΝΗΝ γαμετὴν ὁ τάλας γεγάμηκα,
καὶ παρὰ τῆς τέχνης μήνιδος ἀρξάμενος.
ὤμοι ἐγὼ πολύμηνις, ἔχων διχόλωτον ἀνάγκην,
τέχνης γραμματικῆς, καὶ γαμετῆς μαχίμης.

### X.

Ὁ θεὸς ἀντὶ πυρὸς πῦρ ὤπασεν ἄλλο, γυναῖκας.
εἴθε δὲ μήτε γυνή, μήτε τὸ πῦρ ἐφάνη.
πῦρ μὲν δὴ ταχέως καὶ σβέννυται· ἡ δὲ γυνὴ πῦρ
ἄσβεστον, φλογερόν, πάντοτ' ἀναπτόμενον.

### XI.

Ὀργὴ τοῦ Διός ἐστι γυνή, πυρὸς ἀντιδοθεῖσα,
δῶρον ἀνιηρόν, τοῦ πυρὸς ἀντίδοτον.
ἄνδρα γὰρ ἐκκαίει ταῖς φροντίσιν ἠδὲ μαραίνει,
καὶ γῆρας προπετὲς τῇ νεότητι φέρει.
οὐδ' ὁ Ζεὺς ἀμέριμνος ἔχει χρυσόθρονον Ἥρην·
πολλάκι γοῦν αὐτὴν ῥίψεν ἀπ' ἀθανάτων,

X. 4. Fort. πάντοθ'.

ἤρει καὶ νεφέλῃσι μετήορον. εἶδεν Ὅμηρος, T. II. p. 409.
καὶ Δία συγγράψας τῇ γαμετῇ χόλιον.
ὥτως οὐδέποτ᾽ ἐστὶ γυνὴ σύμφωνος ἀκοίτῃ,
οὐδὲ καὶ ἐν χρυσέῳ μιγνυμένη δαπέδῳ.

## XII.

Πᾶσαν Ὅμηρος ἔδειξε κακὴν σφαλερήν τε γυναῖκα,
σώφρονα, καὶ πόρνην, ἀμφοτέρας ὄλεθρον.
ἐκ γὰρ τῆς Ἑλένης μοιχευσαμένης φόνος ἀνδρῶν,
καὶ διὰ σωφροσύνην Πηνελόπης θάνατοι.
Ἰλιὰς οὖν τὸ πόνημα μιᾶς χάριν ἐστὶ γυναικός,
αὐτὰρ Ὀδυσσείῃ Πηνελόπη πρόφασις.

## XIII.

Ἂν πάνυ κομπάζῃς προτάγμασι μὴ ὑπακούειν
τῆς γαμετῆς, ληρεῖς· οὐ γὰρ ἀπὸ δρυὸς εἶ,
οὐδ᾽ ἀπὸ πέτρης, φασίν· ὃ δ᾽ οἱ πολλοὶ κατ᾽ ἀνάγκην
πάσχομεν, ἢ πάντες, καὶ σὺ γυναικοκρατῇ.
εἰ δ᾽, Οὐ σανδαλίῳ, φῄς, τύπτομαι, οὐδ᾽, ἀκολάστου
οὔσης μοι γαμετῆς, χρή με μύσαντα φέρειν,
δουλεύειν σε λέγω μετριώτερον, εἴ γε πέπρασαι
σώφρονι δεσποίνῃ, μηδὲ λίαν χαλεπῇ.

## XIV.

Οὐ δύναμαι γαμετῆς καὶ γραμματικῆς ἀνέχεσθαι,
γραμματικῆς ἀπόρου, καὶ γαμετῆς μαχίμου.
ἀμφοτέρων τὰ πάθη θάνατος καὶ μοῖρα τέτυκται.
τὴν οὖν γραμματικὴν καὶ μόλις ἐξέφυγεν.

XIV. 2. Cod. Vat. καὶ γαμετῆς ἀδίκου.

T. III. οὐ δύναμαι δ' ἀλόχου τῆς ἀνδρομάχης ἀναχωρεῖν.
εἴργει χάρτης γὰρ, καὶ νόμος Αὐσόνιος.

p. 410. XV.

Ὤμοσα μυριάκις ἐπιγράμματα μηκέτι ποιεῖν,
πολλῶν γὰρ μωρῶν ἔχθραν ἐπεσπασάμην.
ἀλλ' ὁπόταν κατίδω τοῦ Παφλαγόνος τὸ πρόσωπον
Πανταγάθου, στῆξαι τὴν νόσον οὐ δύναμαι.

XVI.

Ἔσθιε, πῖνε, μύσας ἐπὶ πένθεσιν. οὐ γὰρ ἔοικε
γαστέρι πενθῆσαι νεκρόν· Ὅμηρος ἔφη.
καὶ γὰρ ὁμοῦ θάψασαν ἀολλέα δώδεκα τέκνα
σίτου μνησαμένην τὴν Νιόβην παράγει.

XVII.

Προσδοκίη θανάτου πολυώδυνός ἐστιν ἀνίη·
τοῦτο δὲ κερδαίνει θνητὸς ἀπολλύμενος.
μὴ τοίνυν κλαύσῃς τὸν ἀποιχόμενον βιότοιο·
οὐδὲν γὰρ θανάτου δεύτερόν ἐστι πάθος.

XVIII.

Εἴς τινα πέμψαντα αὐτῷ σιτεύσιμον.

Τὴν λαπάραν, τὴν αὐτὸς ἀποσφάξας ἀπέπεμψας,
εὗρεν ὁ παῖς λύσας, φῦσαν ὑπηνέμιον.

XIX.

Εἰς τὸ αὐτό.

Ἀσκὸν τῶν ἀνέμων ἔλαβεν ποτὲ δῶρον Ὀδυσσεύς,
πόντον ἐπιπλώων· χρῆμα γὰρ ἦν τι μέγα.
ἀλλ' ἐμὸς Αἴολος οὗτος ἔχων ἀνεμώλιον ἦτρον,
ὄρνεον ἐκπέμπει τῶν ἀνέμων γεμίσας.

πνεύματά μοι πτερόεντα φίλος, καὶ πνεύματα πέμπεις, T. II. p. 418.
ὐ δύναμαι δὲ φαγεῖν θλιβομένυς ἀνέμυς.

## XX.

Ορνεον ἠσθίομεν κεκλημένοι ἄθλιοι ἄνδρες,
ἄλλων ὀρνίθων βρώματα γινόμενοι.
καὶ τὸν μὲν Τιτυὸν κατὰ γῆς δύο γῦπες ἔδυσιν,
ἡμᾶς δὲ ζῶντας τέσσαρες αἰγύπιοι.

## XXI.

Τάνταλος ὐδὲν ἔτρωγε· τινασσομένων γὰρ ὕπερθεν
καρπὸς ὑπὲρ κεφαλῆς αὐτὸν ἔφευγε φυτῶν,
καὶ διὰ τῦτο τροφῆς κεχρημένος, ἧττον ἐδίψα.
εἰ δὲ καὶ ἔτρωγεν σῦκα πεπαινόμενα,
καὶ βραβύλυς, καὶ μῆλα, τί τηλίκον ἀνδράσι νεκροῖς
δίψος ἀπὸ χλωρῶν γίγνεται ἀκροδρύων;
ἡμεῖς δ' ἐσθίομεν κεκλημένοι ἁλμυρὰ πάντα,
χέννια, καὶ τυρὺς, χηνὸς ἄλιστα λίπη,
ὄρνια καὶ μόσχεια· μίαν δ' ἐπιπίνομεν αὐτοῖς.
πάσχομεν ὐκῦν σεῦ, Τάνταλε, πικρότερα.

## XXII.

Πολλάκις οἶνον ἔπεμψας ἐμοὶ, καὶ πολλάκις ἔγνων
σοὶ χάριν, ἡδυπότῳ νέκταρι τερπόμενος.
νῦν δ' εἴπερ με φιλεῖς, μὴ πέμψῃς· ὐ δέομαι γὰρ
οἴνυ τοιύτυ, μηκέτ' ἔχων θρίδακας.

## XXIII.

Βρώματά μοι χοίρων συκιζομένων προέθηκας,
ξηρῶν, διψαλέων, Κυπρόθεν ἐρχομένων.

T. II. p. 412. ἀλλ' ἐμὲ συνκαθέντα, Μάθων, ἢ σφάξον ἑτοίμως,
ἢ σβέσον ἐκ δίψης νάματι τῷ Κυπρίῳ.

## XXIV.

Δός πιέειν, ἵνα Βάκχος ἀποσκεδάσειε μερίμνας,
ἂψ ἀναθερμαίνων ψυχομένην κραδίην.

## XXV.

Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος εἶπεν Ὀδυσσεύς,
ἐν γὰρ τῆς Κίρκης ἔγχυτον οὐκ ἔφαγεν,
οὗ μόνον εἰ καὶ καπνὸν ἀποθρώσκοντ' ἐνόησεν,
εἶπεν ἂν οἰμώζειν καὶ δέκα Πηνελόπαις.

## XXVI.

Κονδίτου μοι δεῖ. τὸ δὲ κονδῖτον πόθεν ἔσχε
τοὔνομα; τῆς φωνῆς ἐστὶ γὰρ ἀλλότριον
τῆς τῶν Ἑλλήνων· εἰ Ῥωμαϊκῶς δὲ καλεῖται,
αὐτὸς ἂν εἰδείης, Ῥωμαϊκώτερος ὤν.
σκεύασον οὖν μοι τοῦτο· τὸ γὰρ κατέχον με νόσημα
τοῦ στομάχου, χρήζειν τοῦδε λέγουσι ποτοῦ.

## XXVII.

Μή με κάλει δίσκων ἐπιίστορα λιμοφορήων
βρωτύν μοι φορέων τὴν κολοκυνθιάδα.
ἀργυρέην ὕλην οὐ τρώγομεν, ἣν παραβάλλεις,
λιμῷ κρητίζων τοὺς μελέους πίνακας.
ζήτει νηστεύοντας ἐς ἀργαλέην ἐπίδειξιν,
καὶ τότε θαυμάζου, κοῦφον ἄσημον ἔχων.

XXVII. 3. Codd. ὁ τρωγομένην. 5. Scr. ἐς ἀργυρέην.

## XXVIII.

T.II. p.413.

Πάντες ἅπαξ τρώγουσιν· ὅταν δὲ τρέφῃ Σαλαμῖνος,
οἴκαδ' ἀριστῶμεν δεύτερον ἐρχόμενοι.

## XXIX.

Πᾶσι θανεῖν μερόπεσσιν ὀφείλεται, οὐδέ τις ἐστὶν
αὔριον εἰ ζήσει θνητὸς ἐπιστάμενος.
τοῦτο σαφῶς, ἄνθρωπε, μαθὼν, εὔφραινε σεαυτὸν,
λήθην τοῦ θανάτου τὸν Βρόμιον κατέχων.
τέρπεο καὶ Παφίῃ, τὸν ἐφημέριον βίον ἕλκων·
τἄλλα δὲ πάντα Τύχῃ πράγματα δὸς διέπειν.

## XXX.

Ἦν ἄρα καὶ κάνθωνι Τύχη χαλεπή τε καὶ ἐσθλή,
καὶ Κρόνος ὠρονομεῖ τετραπόδων γένεσιν.
ἐξότε γὰρ καὶ τοῦτον ὄνον χαλεπὸς χρόνος ἔσχεν,
ἐξ ἀλαβαρχείης, γραμματικοῦ γέγονε.
τλῆθι φέρειν λοιπὸν, κανθήλιε· γραμματικοῖς γὰρ
οὐ τελέως κριθὴ, κρῖ δὲ μόνον λέγεται.

## XXXI.

Ἢν ὁ φίλος τι λάβῃ, ΔΟΜΙΝΕ ΦΡΑΤΕΡ εὐθὺς ἔγραψαν·
ἢν δ' αὖ μή τι λάβῃ, τὸ ΦΡΑΤΕΡ εἶπε μόνον.
ὤνια γὰρ καὶ ταῦτα τὰ ῥήματα. αὐτὰρ ἔγωγε
οὐκ ἐθέλω ΔΟΜΙΝΕ· οὐ γὰρ ἔχω δόμεναι.

## XXXII.

Ῥῶ καὶ Λάμβδα μόνον κόρακας κόλακας διορίζει·
λοιπὸν ταὐτὸ κόραξ βωμολόχος τε κόλαξ.
τοὔνεκά μοι, βέλτιστε, τόδε ζῷον πεφύλαξο, p.414.
εἰδὼς καὶ ζώντων τοὺς κόλακας κόρακας.

T. II.

## XXXIII.

Οὐχ οὕτω βλάπτει μισεῖν ὁ λέγων ἀναφανδὸν,
ὥσπερ ὁ τὴν καθαρὰν ψευδόμενος φιλίαν.
τὸν μὲν γὰρ μισοῦντα προειδότες, ἐκτρεπόμεσθα·
τὸν δὲ λέγοντα φιλεῖν οὐ προφυλασσόμεθα.
ἐχθρὸν ἐγὼ κεῖνον κρίνω βαρὺν, ὅς ποτε λάθρῃ,
τὴν ἀπὸ τῆς φιλίας πίστιν ἔχων, ἀδικεῖ.

## XXXIV.

Πλαστὸν ἔχεις τὸν ἔρωτα, φόβῳ δὲ φιλεῖς καὶ ἀνάγκῃ,
τοῦ δὲ φιλεῖν οὕτως οὐδὲν ἀπιστότερον.

## XXXV.

Εἰ τοὺς πατροφόνους εὐδαίμονας ὄντας ὁρῶμεν,
οὐ πάνυ θαυμάζω· τοῦ Διὸς ἐστι γέρας.
τὸν γὰρ γεννήσαντα μεμισηκὼς καὶ ἐκεῖνος
κτεῖνεν ἂν, εἰ ὁ Κρόνος θνητὸς ἐτύγχανεν ὤν.
ἀντὶ δὲ τοῦ κτεῖναι, σὺν τοῖς Τιτῆσι κολάζει,
δέσμιον, ὡς λῃστὴν, εἰς τὸ βάραθρον ἐνείς.

## XXXVI.

Φασὶ παροιμιακῶς, Κἂν ὗς δάκοι ἄνδρα πονηρόν.
ἀλλὰ τόδ' οὐχ οὕτω, φημὶ, προσῆκε λέγειν.
ἀλλὰ δάκοι κἂν μῦς ἀγαθοὺς καὶ ἀπράγμονας ἄνδρας·
τὸν δὲ κακὸν δεδιὼς δήξεται οὐδὲ δράκων.

p. 415.

## XXXVII.

Ἐπὶ δυσὶ βρέφεσιν ἅμα τεχθεῖσι, καὶ εὐθὺς ἀποθανοῦσι.

Γραμματικοῦ θυγάτηρ ἔτεκε, φιλότητι μιγεῖσα,
παιδίον ἀρσενικὸν, θηλυκὸν, οὐδέτερον.

XXXIII. Titulus in Vat. Cod. ψέγε,

## XXXVIII. T. II.

Στυγνὴν τὴν Νίκην τις ἰδὼν κατὰ τὴν πόλιν ἐχθὲς,
εἶπε· Θεὰ Νίκη, τίπτε πέπονθας ἄρα;
ἡ δ' ἀποδυρομένη καὶ μεμφομένη κρίσιν, εἶπεν·
Οὐκ ἔγνως σὺ μόνος; Πατρικίῳ δέδομαι.
ἦν ἄρα καὶ Νίκη πολυώδυνος, ἣν παρὰ θεσμὸν
Πατρίκιος ναύτης ἥρπασεν ὡς ἄνεμον.

## XXXIX.

Ῥήτορα Μαῦρον ἰδὼν ἐτεθήπεα, ῥυγχελέφαντα,
χείλεσι λιτραίοις φθόγγον ἱέντα φόνον.

## XL.

Ερμολύκου θυγάτηρ μεγάλῳ παρέλεκτο πιθήκῳ·
ἡ δ' ἔτεκεν πολλοὺς Ερμοπιθηκιάδας.
εἰ δ' Ελένην ὁ Ζεὺς καὶ Κάστορα καὶ Πολυδεύκην
ἐκ Λήδης ἔτεκεν, κύκνον ἀμειψάμενος,
Ερμιόνῃ γε κόραξ παρελέξατο· ἡ δὲ τάλαινα
φρικτῶν δαιμονίων ἑρμαγέλην ἔτεκε.

## XLI.

Μῆνις Ἀχιλλῆος καὶ ἐμοὶ πρόφασις γεγένηται
οὐλομένης πενίης γραμματικευσαμένῳ.
εἴθε δὲ σὺν Δαναοῖς με κατέκτανε μῆνις ἐκείνη,
πρὶν χαλεπὸς λιμὸς γραμματικῆς ὀλέσῃ.
ἀλλ' ἵν' ἀφαρπάξῃ Βρισηΐδα πρὶν Ἀγαμέμνων, p. 416.
τὴν δ' Ελένην ὁ Πάρις, πτωχὸς ἐγὼ γενόμην.

## XLII.

Ἀρχὴ γραμματικῆς πεντάστιχός ἐστι κατάρα.
πρῶτος Μῆνιν ἔχει· δεύτερος Οὐλομένην.

T. II. καὶ μετὰ δ' Οὐλομένην, Δαναῶν πάλιν ἄλγεα πολλά.
ὁ τρίτατος ψυχὰς εἰς Ἀΐδην κατάγει.
τοῦ δὲ τεταρταίου τὰ ἑλώρια καὶ κύνες ἀργοί.
πέμπτου δ' οἰωνοί, καὶ χόλος ἐστὶ Διός.
πῶς οὖν γραμματικὸς δύναται μετὰ πέντε κατάρας
καὶ πέντε πτώσεις, μὴ μέγα πένθος ἔχειν;

## XLIII.

Ὄργανα Μουσάων, τὰ πολύστονα βιβλία πωλῶ,
εἰς ἑτέρας τέχνης ἔργα μετερχόμενος.
Πιερίδες σώζοισθε· λόγοι, συντάσσομαι ὑμῖν·
σύνταξις γὰρ ἐμοὶ καὶ θάνατον παρέχει.

## XLIV.

Καλλίμαχον πωλῶ καὶ Πίνδαρον, ἠδὲ καὶ αὐτὰς
πτώσεις γραμματικῆς, πτῶσιν ἔχων πενίης.
Δωρόθεος γὰρ ἐμὴν τροφίμην σύνταξιν ἔλυσεν,
ὥστε με τοῦ τε πιεῖν τοῦ τε φαγεῖν ἀπορεῖν.
ἀλλὰ σύ μου πρόστηθι, Θεόφιλε, μηδέ μ' ἐάσῃς
συνδέσμῳ πενίης τὸν βίον ἐξανύσαι.

## XLV.

Λίτραν ἐτῶν ζήσας μετὰ γραμματικῆς βαρυμόχθου
βουλευτὴς νεκύων πέμπομαι εἰς Ἀΐδην.

## XLVI.

p. 417. Ἐνθάδε παιδεύουσιν ὅσοις κεχόλωτο Σάραπις,
τοῖσιν ἀπ' οὐλομένης μήνιδος ἀρχομένοις·
ἔνθα τροφὸς κατὰ μῆνα φέρει μισθὸν μετ' ἀνάγκης,
βύβλῳ καὶ χάρτῃ δησαμένη πενίην.

ἢν δὲ κάπνισμα φέρει παρὰ τὸν θρόνον, ὡς παρὰ τύμβον, T. II.
τὸν μικρὸν χάρτην, τὸν παραριπτόμενον.
κλέπτει δ' ἐξ ὀλίγου μισθὸν, καὶ χαλκὸν ἀμείβει,
καὶ μόλιβον μίσγει, καὶ τὸ ἔτος δέχεται.
ἢν δέ τις εἰς ἐνιαυτὸν ἄγῃ χρυσοῖο νόμισμα,
ἐνδεκάτῳ μηνὶ, πρὶν προφέρειν, μετέβη,
ἀγνώμων τε φανεὶς, καὶ τὸν πρότερον διασύρας
γραμματικὸν, τερέσας μισθὸν ὅλου ἔτεος.

## XLVII.

Ἀντίπατρον ἐμοί τις ὄνον μακρόθυμον ἔδωκε,
τὸν βασταζομένων ὅρμον ὁδοιπορίης,
οἷον τῆς βραδύτητος ὄνον, πόνον, ὄκνον, ὄνειρον,
τῶν ἀνακαμπτόντων ὑστάτιον πρότερον.

## XLVIII.

Εἰς Δημόνικον ὕπαρχον.

Πολλοὶ πολλὰ λέγουσιν, ὅμως δ' οὐ πάντα δύνανται
ῥήμασιν ἐξειπεῖν ῥεύματα τῶν παθέων.
ἓν δ' ἐπὶ σοὶ παράδοξον ἐθαυμάσαμεν καὶ ἄπιστον,
δάκρυα πῶς κλέπτων εἶχες ἑτοιμότατα.
Χαλκίδος ἐκ γαίης ἀπεχάλκισε τὴν πόλιν ἡμῶν,
κλέπτων, καὶ κλαίων δάκρυσι κερδαλέοις.

## XLIX.

p. 418.

Ἐκ γῆς Λωτοφάγων μέγας ὄρχαμος ἦλθε Λυκάων,
Χαλκίδος ἐκ γαίης ἀντιοχευόμενος.

## L.

Θηλυφανὲς παράδοξον ἐθαυμάσαμεν πάθος ἄλλο·
ἔκλαιε κλέπτων, κλεπτομένους ἐλεῶν,

T. II. ὃς κλέπτων ἥγνευε, καὶ ἁγνεύων ἀπεσύλα,
μηδὲν ἔχων καθαρὸν, μηδὲ τὸ σῶμα ῥύπου.

LI.

Βέλτερον ἡγεμόνος ληστοκτόνου ἐς κρίσιν ἐλθεῖν,
ἢ τοῦ χειρουργοῦ Γενναδίου παλάμας.
ὃς μὲν γὰρ φονέας ὁσίως στυγέων, κατατέμνει·
ὃς δὲ λαβὼν μισθοὺς, εἰς Ἀΐδην κατάγει.

LII.

Κουρεὺς καὶ ῥαφιδεὺς κατεναντίον ἦλθον ἀγῶνος,
καὶ τάχα νικῶσι τὸν ξυρὸν αἱ ῥαφίδες.

LIII.

Εἰς ποιητὴν κυβεύοντα.

Πάντων μουσοπόλων ἡ Καλλιόπη θεός ἐστιν.
ἡ σὴ Καλλιόπη Ταβλιόπη λέγεται.

LIV.

Παύλῳ κωμῳδῷ κατ' ὄναρ στὰς εἶπε Μένανδρος·
Οὐδὲν ἐγὼ κατὰ σοῦ, καὶ σὺ κακῶς με λέγεις.

p. 419. LV.

Υἱὸς καὶ γενετὴρ δῆριν φιλόνεικον ἔθεντο,
τίς πλέον ἐκδαπανῶν, κλῆρον ἅπαντα φάγοι.
καὶ μετὰ τὴν βρῶσιν τὴν χρηματικὴν μάλα πᾶσαν,
ὕστατον ἀλλήλους λοιπὸν ἔχουσι φαγεῖν.

LVI.

Σιλβανὸς δύο παῖδας ἔχων, οἶνόν τε καὶ ὕπνον,
οὐκέτι τὰς Μούσας, οὐδὲ φίλους φιλέει.
ἀλλ' ὁ μὲν ἐκ λεχέων νιν εὔρροος ἐς φρένα θέλγει,
ἄλλος δ' ἐν θαλάμοις ῥεγχόμενον κατέχει.

LVII. T. II.

Δάφνην καὶ Νιόβην ὠρχήσατο Μέμφις ὁ σιμὸς,
ὡς ξύλινος Δάφνην, ὡς λίθινος Νιόβην.

LVIII.

Τέκνον ἀναιδείης, ἀμαθέστατε, θρέμμα μορίης,
εἰπὲ, τί βρενθύῃ, μηδὲν ἐπιστάμενος;
ἐν μὲν γραμματικοῖς σὺ Πλατωνικός· ἂν δὲ Πλάτωνος
δόγματά τις ζητῇ, γραμματικὸς σὺ πάλιν.
ἐξ ἑτέρου φεύγεις ἐπὶ θάτερον· οὔτε δὲ τέχνην
οἶσθα γραμματικὴν, οὔτε Πλατωνικὸς εἶ.

LIX.

Πάντα μὲν οἶδα, λέγεις· ἀτελὴς δ' ἐν πᾶσιν ὑπάρχεις.
γευόμενος πάντων οὐδὲν ἔχεις ἴδιον.

LX. p. 420.

Τί ὠφέλησας τὴν πόλιν στίχους γράφων,
χρυσὸν τοσοῦτον λαμβάνων βλασφημίας,
πωλῶν ἰάμβους, ὡς ἔλαιον ἔμπορος;

LXI.

Κωφὸν ἄναυδον ὁρῶν τὸν Γέσσιον, εἰ λίθος ἐστὶ,
Δήλιε, μαντεύου τίς τίνος ἐστὶ λίθος.

LXII.

ΜΗΔΕΝ ΑΓΑΝ, τῶν ἑπτὰ σοφῶν ὁ σοφώτερος εἶπεν.
ἀλλὰ σὺ μὴ πεισθεὶς, Γέσσιε, τοῦτ' ἔπαθες.
καὶ λόγιός περ ἐὼν, ἀλογώτατον ἔσχες ὄνειδος,
ὡς ἐπιθυμήσας οὐρανίης ἀνόδου.
οὕτω Πήγασος ἵππος ἀπώλεσε Βελλεροφόντην,
βουληθέντα μαθεῖν ἀστροθέτους κανόνας.

T. II. ἀλλ᾽ ὁ μὲν ἵππον ἔχων, καὶ θαρσαλέον σθένος ἥβης·
Γέσσιος οὐδὲ χέσειν εὔτονον ἦτορ ἔχων.

LXIII.

Μηδεὶς ζητήσῃ μερόπων ποτὲ καὶ θεὸς εἶναι,
μηδ᾽ ἀρχῆς μεγάλης κόμπον ὑπερφίαλον.
Γέσσιος αὐτὸς ἔδειξε· κατηνέχθη γὰρ ἐπαρθεὶς,
θνητῆς εὐτυχίης μηκέτ᾽ ἀνασχόμενος.

LXIV.

Γέσσιον ὡς ἐνόησεν ὁ Βαύκαλος ἄρτι θανόντα
χωλεύοντα πλέον, τοῖον ἔλεξεν ἔπος·
Γέσσιε, πῶς, τί παθὼν κατέβης δόμον εἰς Ἀΐδαο,
γυμνὸς, ἀκήδεστος, σχήματι καινοτάφῳ;
p. 421. τὸν δὲ μέγ᾽ ὀχθήσας προσεφώνεε Γέσσιος εὐθύς·
Βαύκαλε, τὸ στῆνος καὶ θάνατον παρέχει.

LXV.

Οἱ δύο Κάλχαντες τὸν Γέσσιον ὤλεσαν ὅρκοις,
τῶν μεγάλων ὑπάτων θῶκον ὑποσχόμενοι.
ὢ γένος ἀνθρώπων ἀνεμώλιον, αὐτοχόλωτον.
μέχρι τέλους βιότου μηδὲν ἐπιστάμενον.

LXVI.

Τὴν Ἀμμωνιακὴν ἀπάτην ὅτε Γέσσιος ἔγνω,
τοῦ ξενικοῦ θανάτου ἐγγύθεν ἐρχόμενος,
τὴν ἰδίην γνώμην κατεμέμψατο, καὶ τὸ μάθημα,
καὶ τοὺς πειθομένους ἀστρολόγοις ἀλόγους.

LXVII.

Οὐκ ἀπεδήμησας τιμῆς χάριν, ἀλλὰ τελευτῆς·
καὶ χωλός περ ἐὼν, ἔδραμες εἰς Ἀΐδην,

Γέσσιε

Γέσσιε Μοιράων τροχαλώτερε· ἐκ προκοπῆς γὰρ, T. II.
ἣν εἶχες κατὰ νοῦν, ἐξεκόπης βιότου.

LXVIII.

Γέσσιος οὐ τέθνηκεν ἐπειγόμενος παρὰ Μοίρης·
αὐτὸς τὴν Μοῖραν πρoὔλαβεν εἰς Ἀΐδην.

LXIX.

Μήπω θανόντες, τῷ δοκεῖν ζῶμεν μόνον,
Ελληνες ἄνδρες, συμφορᾷ πεπτωκότες·
ὄνειρον, εἰκάζοντες εἶναι τὸν βίον,
ἐζῶμεν ἡμεῖς, τοῦ βίου τεθνηκότος.

LXX. p. 422.

Ω τῆς μεγίστης τοῦ φθόνου πονηρίας.
τὸν εὐτυχῆ μισεῖ τις, ὃν θεὸς φιλεῖ.
οὕτως ἀνόητοι τῷ φθόνῳ πλανώμεθα,
οὕτως ἑτοίμως μωρίᾳ δουλεύομεν.
Ελληνές ἐσμεν ἄνδρες ἐσποδωμένοι,
νεκρῶν ἔχοντες ἐλπίδας τεθαμμένων.
ἀνεστράφη γὰρ πάντα νῦν τὰ πράγματα.

LXXI.

Οταν στυγῇ τις ἄνδρα, τὸν θεὸς φιλεῖ,
οὗτος μεγίστην μωρίαν κατεισάγει.
φανερῶς γὰρ αὐτῷ τῷ θεῷ κορύσσεται,
χόλον μέγιστον ἐκ φθόνου δεδεγμένος.
δεῖ γὰρ φιλεῖν ἐκεῖνον, ὃν θεὸς φιλεῖ.

T. II.

LXXII.

Τύχη καπηλεύουσα πάντα τὸν βίον,
ἀσυγκέραστον τὴν φύσιν κεκτημένη,
καὶ συγκυκῶσα καὶ μεταντλοῦσα πάλιν,
καὐτὴ κάπηλός ἐστι νῦν τις, οὐ θεά,
τέχνην λαχοῦσα, τὴν τρόπων ἐπαξίαν.

LXXIII.

Ἀνεστράφησαν, ὡς ὁρῶ, τὰ πράγματα,
καὶ τὴν Τύχην νῦν δυστυχοῦσαν εἴδομεν.

LXXIV.

Καὶ σὺ Τύχη δέσποινα, τύχην ἀτυχῆ πόθεν ἔσχες;
ἡ παρέχουσα τύχας, πῶς ἀτυχὴς γέγονας;
p. 423. μάνθανε καὶ σὺ φέρειν τὰ σὰ ῥεύματα, καὶ σὺ διδάσκου
τὰς ἀτυχεῖς πτώσεις, ἃς παρέχεις ἑτέροις.

LXXV.

Καὶ σὺ Τύχη λοιπὸν μεταβαλλομένη καταπαίζου,
μηδὲ τύχης τῆς σῆς ὕστατα φεισαμένη·
ἣ πρὶν νηὸν ἔχουσα, καπηλεύεις μετὰ γῆρας,
θερμοδότις μερόπων νῦν ἀναφαινομένη.
νῦν ὁσίως σθένε καὶ σὺ τεὸν πάθος, ἄστατε δαῖμον,
τὴν σήν, ὡς μερόπων, νῦν μετάγουσα τύχην.

LXXVI.

Πᾶς τις ἀπαίδευτος φρονιμώτατός ἐστι σιωπῶν,
τὸν λόγον ἐγκρύπτων, ὡς πάθος αἰσχρότατον.

LXXVII.

Ἡ μεγάλη παίδευσις ἐν ἀνθρώποισι, σιωπή·
μάρτυρα Πυθαγόραν τὸν σοφὸν αὐτὸν ἔχω,

ὃς λαλέειν εἰδὼς, ἑτέρους ἐδίδασκε σιωπᾶν, T. II.

φάρμακον ἡσυχίης ἐγκρατὲς εὑράμενος.

## LXXVIII.

Ὑβρίζεις· τί τὸ θαῦμα; τί δυσχερές; ἀλλὰ φέρω σε.

τῶν γὰρ ὑβριζόντων ἡ θρασύτης κόλασις.

## LXXIX.

Πολλὰ λαλεῖς, ἄνθρωπε, χαμαὶ δὲ τίθῃ μετὰ μικρόν.

σίγα, καὶ μελέτα ζῶν ἔτι τὸν θάνατον.

## LXXX.

p. 424.

Ἥλιος ἀνθρώποις αὐγῆς θεός. εἰ δὲ καὶ αὐτὸς

ὕβριζεν φαίνων, οὐδὲ τὸ φῶς ἐπόθουν.

## LXXXI.

Οὐκ ἐμὲ, τὴν πενίην δὲ καθύβρισας. εἰ δὲ καὶ ὁ Ζεὺς

ἦν ἐπὶ γῆς πτωχὸς, καὐτὸς ἔπασχεν ὕβριν.

## LXXXII.

Εἰ πένομαι, τί πάθω; τί με μισεῖς οὐκ ἀδικοῦντα;

παῖσμα τόδ᾽ ἐστὶ Τύχης, οὐκ ἀδίκημα τρόπων.

## LXXXIII.

Αἰνίζειν μὲν ἄριστον· ὁ δὲ ψόγος ἔχθεος ἀρχή.

ἀλλὰ κακῶς εἰπεῖν, Αττικόν ἐστι μέλι.

## LXXXIV.

Εἰ μοναχοὶ, τί τοσοίδε; τοσοίδε γε, πῶς πάλι μοῦνοι;

ὦ πληθὺς μοναχῶν ψευσαμένη μονάδα.

LXXVII. 3. Fort. ἑτάρους.

T. II. XXXIII.

Οὐχ οὕτω βλάπτει μισεῖν ὁ λέγων ἀναφανδὸν,
ὥσπερ ὁ τὴν καθαρὰν ψευδόμενος φιλίαν.
τὸν μὲν γὰρ μισοῦντα προειδότες, ἐκτρεπόμεσθα·
τὸν δὲ λέγοντα φιλεῖν οὐ προφυλασσόμεθα.
ἐχθρὸν ἐγὼ κεῖνον κρίνω βαρὺν, ὅς ποτε λάθρῃ,
τὴν ἀπὸ τῆς φιλίας πίστιν ἔχων, ἀδικεῖ.

XXXIV.

Πλαστὸν ἔχεις τὸν ἔρωτα, φόβῳ δὲ φιλεῖς καὶ ἀνάγκῃ,
τοῦ δὲ φιλεῖν οὕτως οὐδὲν ἀπιστότερον.

XXXV.

Εἰ τοὺς πατροφόνους εὐδαίμονας ὄντας ὁρῶμεν,
οὐ πάνυ θαυμάζω· τοῦ Διός ἐστι γέρας.
τὸν γὰρ γεννήσαντα μεμισηκὼς καὶ ἐκεῖνος
κτεῖνεν ἄν, εἰ ὁ Κρόνος θνητὸς ἐτύγχανεν ὤν.
ἀντὶ δὲ τοῦ κτεῖναι, σὺν τοῖς Τιτῆσι κολάζει,
δέσμιον, ὡς λῃστὴν, εἰς τὸ βάραθρον ἐνείς.

XXXVI.

Φασὶ παροιμιακῶς, Κἂν ὗς δάκοι ἄνδρα πονηρόν.
ἀλλὰ τόδ' οὐχ οὕτω, φημὶ, προσῆκε λέγειν.
ἀλλὰ δάκοι κἂν μῦς ἀγαθοὺς καὶ ἀπράγμονας ἄνδρας·
τὸν δὲ κακὸν δεδιὼς δήξεται οὐδὲ δράκων.

p. 415. XXXVII.

Ἐπὶ δυσὶ βρέφεσιν ἅμα τεχθεῖσι, καὶ εὐθὺς ἀποθανοῦσι.

Γραμματικοῦ θυγάτηρ ἔτεκε, φιλότητι μιγεῖσα,
παιδίον ἀρσενικὸν, θηλυκὸν, οὐδέτερον.

XXXIII. Titulus in Vat. Cod. πάρα.

XXXVIII. T. II.

Στυγνὴν τὴν Νίκην τις ἰδὼν κατὰ τὴν πόλιν ἐχθὲς,
εἶπε· Θεὰ Νίκη, τίπτε πέπονθας ἄρα;
ἡ δ᾽ ἀποδυρομένη καὶ μεμφομένη κρίσιν, εἶπεν·
Οὐκ ἔγνως σὺ μόνος; Πατρικίῳ δέδομαι.
ἦν ἄρα καὶ Νίκη πολυώδυνος, ἣν παρὰ θεσμὸν
Πατρίκιος ναύτης ἥρπασεν ὡς ἄνεμον.

XXXIX.

Ρήτορα Μαῦρον ἰδὼν ἐτεθήπεα, ῥυγχελέφαντα,
χείλεσι λιτραίοις φθόγγον ἱέντα φόνον.

XL.

Ερμολύκου θυγάτηρ μεγάλῳ παρέλεκτο πιθήκῳ·
ἡ δ᾽ ἔτεκεν πολλοὺς Ερμοπιθηκιάδας.
εἰ δ᾽ Ελένην ὁ Ζεὺς καὶ Κάϛορα καὶ Πολυδεύκην
ἐκ Λήδης ἔτεκεν, κύκνον ἀμειψάμενος,
Ερμιόνῃ γε κόραξ παρελέξατο· ἡ δὲ τάλαινα
φρικτῶν δαιμονίων ἑρμαγέλην ἔτεκε.

XLI.

Μῆνις Αχιλλῆος καὶ ἐμοὶ πρόφασις γεγένηται
οὐλομένης πενίης γραμματικευσαμένῳ.
εἴθε δὲ σὺν Δαναοῖς με κατέκτανε μῆνις ἐκείνη,
πρὶν χαλεπὸς λιμὸς γραμματικῆς ὀλέσῃ.
ἀλλ᾽ ἵν᾽ ἀφαρπάξῃ Βρισηΐδα πρὶν Αγαμέμνων,
τὴν δ᾽ Ελένην ὁ Πάρις, πτωχὸς ἐγὼ γενόμην. p. 416.

XLII.

Αρχὴ γραμματικῆς πεντάϛιχός ἐϛι κατάρα.
πρῶτος Μῆνιν ἔχει· δεύτερος Οὐλομένην.

Υ. II. καὶ μετὰ δ' Οὐλομένην, Δαναοῖς πάλιν ἄλγεα πολλά.
ὁ τρίτατος ψυχὰς εἰς Ἀΐδην κατάγει.
τοῦ δὲ τεταρταίου τὰ ἑλώρια καὶ κύνες ἀργοί.
πέμπτου δ' οἰωνοὶ, καὶ χόλος ἐστὶ Διός.
πῶς οὖν γραμματικὸς δύναται μετὰ πέντε κατάρας,
καὶ πέντε πτώσεις, μὴ μέγα πένθος ἔχειν;

XLIII.

Ὄργανα Μουσάων, τὰ πολύστονα βιβλία πωλῶ,
εἰς ἑτέρας τέχνης ἔργα μετερχόμενος.
Πιερίδες σώζοισθε· λόγοι, συντάσσομαι ὑμῖν·
σύνταξις γὰρ ἐμοὶ καὶ θάνατον παρέχει.

XLIV.

Καλλίμαχον πωλῶ καὶ Πίνδαρον, ἠδὲ καὶ αὐτὰς
πτώσεις γραμματικῆς, πτῶσιν ἔχων πενίης.
Δωρόθεος γὰρ ἐμὴν τροφίμην σύνταξιν ἔλυσεν,
ὥστε με τοῦ τε πιεῖν τοῦ τε φαγεῖν ἀπορεῖν.
ἀλλὰ σύ μοι πρόστηθι, Θεόφιλε, μηδέ μ' ἐάσῃς
συνδέσμῳ πενίης τὸν βίον ἐξανύσαι.

XLV.

Λίτραν ἐτῶν ζήσας μετὰ γραμματικῆς βαρυμόχθου,
βουλευτὴς νεκύων πέμπομαι εἰς Ἀΐδην.

XLVI.

p. 417. Ἐνθάδε παιδεύουσιν ὅσοις κεχόλωτο Σάραπις,
τοῖσιν ἀπ' οὐλομένης μήνιδος ἀρχομένοις·
ἔνθα τροφὸς κατὰ μῆνα φέρει μισθὸν μετ' ἀνάγκης,
βύβλῳ καὶ χάρτῃ ὀγκωμένη πενίη.

ὡς δὲ κάπνισμα φέρει παρὰ τὸν θρόνον, ὡς παρὰ τύμβον, T. II.
τὸν μικρὸν χάρτην, τὸν παραριπτόμενον.
κλέπτει δ' ἐξ ὀλίγου μισθὸν, καὶ χαλκὸν ἀμείβει,
καὶ μόλιβον μίσγει, καὶ τὸ ἔτος δέχεται.
ἢν δέ τις εἰς ἐνιαυτὸν ἄγῃ χρυσοῦ νόμισμα,
ἑνδεκάτῳ μηνὶ, πρὶν προφέρειν, μετέβη,
ἀγνώμων τε φανεὶς, καὶ τὸν πρότερον διασύρας
γραμματικὸν, τερέσας μισθὸν ὅλου ἔτεος.

## XLVII.

Ἀντίσπαστον ἐμοί τις ὄνον μακρόθυμον ἔδωκε,
τῶν βασαζομένων ὅρμον ὁδοιπορίης,
υἱὸν τῆς βραδύτητος ὄνον, πόνον, ὄκνον, ὄνειρον,
τῶν ἀνακαμπτόντων ὑςάτιον πρότερον.

## XLVIII.

Εἰς Δημόνικον ὕπαρχον.

Πολλοὶ πολλὰ λέγουσιν, ὅμως δ' οὐ πάντα δύνανται
ῥήμασιν ἐξειπεῖν ῥεύματα τῶν παθέων.
ἓν δ' ἐπὶ σοὶ παράδοξον ἐθαυμάσαμεν καὶ ἄπιςον,
δάκρυα πῶς κλέπτων εἶχες ἑτοιμότατα.
Χαλκίδος ἐκ γαίης ἀπεχάλκισε τὴν πόλιν ἡμῶν,
κλέπτων, καὶ κλαίων δάκρυσι κερδαλέοις.

## XLIX.

Ἐκ γῆς Λωτοφάγων μέγας ὄρχαμος ἦλθε Λυκάων, p. 418.
Χαλκίδος ἐκ γαίης ἀντιοχευόμενος.

## L.

Θηλυφανὲς παράδοξον ἐθαυμάσαμεν πάθος ἄλλο·
ἔκλαιε κλέπτων, κλεπτομένους ἐλεῶν,

T. II. ὃς κλέπτων ἤγνευε, καὶ ἁγνεύων ἀπεσύλα,
μηδὲν ἔχων καθαρὸν, μηδὲ τὸ σῶμα ῥύπου.

LI.

Βέλτερον ἡγεμόνος ληστοκτόνου ἐς κρίσιν ἐλθεῖν,
ἢ τοῦ χειρουργοῦ Γενναδίου παλάμας.
ὃς μὲν γὰρ φονέας ὁσίως στυγέων, κατατέμνει·
ὃς δὲ λαβὼν μισθοὺς, εἰς Ἀΐδην κατάγει.

LII.

Κουρεὺς καὶ ῥαφιδεὺς κατεναντίον ἦλθον ἀγῶνος,
καὶ τάχα νικῶσι τὸν ξυρὸν αἱ ῥαφίδες.

LIII.

Εἰς ποιητὴν κυβεύοντα.

Παντων μουσοπόλων ἡ Καλλιόπη θεός ἐστιν.
ἡ σὴ Καλλιόπη Ταβλιόπη λέγεται.

LIV.

Παύλῳ κωμῳδῷ κατ' ὄναρ στὰς εἶπε Μένανδρος·
Οὐδὲν ἐγὼ κατὰ σοῦ, καὶ σὺ κακῶς με λέγεις.

p. 419. LV.

Υἱὸς καὶ γενετὴρ δῆριν φιλόνεικον ἔθεντο,
τίς πλέον ἐκδαπανῶν, κλῆρον ἅπαντα φάγοι.
καὶ μετὰ τὴν βρῶσιν τὴν χρηματικὴν μάλα πᾶσαν,
ὕστατον ἀλλήλους λοιπὸν ἔχουσι φαγεῖν.

LVI.

Σιλβανὸς δύο παῖδας ἔχων, οἶνόν τε καὶ ὕπνον,
οὐκέτι τὰς Μούσας, οὐδὲ φίλους φιλέει.
ἀλλ' ὁ μὲν ἐκ λεχέων νιν ἐΰῤῥοος ἐς φρένα θέλγει,
ἄλλος δ' ἐν θαλάμοις ῥεγχόμενον κατέχει.

LVII. T. II.

Δάφνην καὶ Νιόβην ὠρχήσατο Μέμφις ὁ σιμὸς,
ὡς ξύλινος Δάφνην, ὡς λίθινος Νιόβην.

LVIII.

Τέκνον ἀναιδείης, ἀμαθέστατε, θρέμμα μωρίης,
εἰπὲ, τί βρενθύῃ, μηδὲν ἐπιστάμενος;
ἐν μὲν γραμματικοῖς σὺ Πλατωνικός· ἂν δὲ Πλάτωνος
δόγματά τις ζητῇ, γραμματικὸς σὺ πάλιν.
ἐξ ἑτέρου φεύγεις ἐπὶ θάτερον· οὔτε δὲ τέχνην
οἶσθα γραμματικὴν, οὔτε Πλατωνικὸς εἶ.

LIX.

Πάντα μὲν οἶδα, λέγεις· ἀτελὴς δ' ἐν πᾶσιν ὑπάρχεις.
γευόμενος πάντων οὐδὲν ἔχεις ἴδιον.

LX. p. 420.

Τί ὠφέλησας τὴν πόλιν στίχους γράφων,
χρυσὸν τοσοῦτον λαμβάνων βλασφημίας,
πωλῶν ἰάμβους, ὡς ἔλαιον ἔμπορος;

LXI.

Κωφὸν ἄναυδον ὁρῶν τὸν Γέσσιον, εἰ λίθος ἐστὶ,
Δήλιε, μαντεύου τίς τίνος ἐστὶ λίθος.

LXII.

ΜΗΔΕΝ ΑΓΑΝ, τῶν ἑπτὰ σοφῶν ὁ σοφώτερος εἶπεν.
ἀλλὰ σὺ μὴ πεισθεὶς, Γέσσιε, τοῦτ' ἔπαθες.
καὶ λόγιός περ ἐὼν, ἀλογώτατον ἔσχες ὄνειδος,
ὡς ἐπιθυμήσας οὐρανίης ἀνόδου.
οὕτω Πήγασος ἵππος ἀπώλεσε Βελλεροφόντην,
βουληθέντα μαθεῖν ἀστροθέτους κανόνας.

T. II. ἀλλ' ὁ μὲν ἵππον ἔχων, καὶ θαρσαλέον σθένος ἥβης·
Γέσσιος οὐδὲ χέσειν εὔτονον ἦτορ ἔχων.

LXIII.

Μηδεὶς ζητήσῃ μερόπων ποτὲ καὶ θεὸς εἶναι,
μηδ' ἀρχῆς μεγάλης κόμπον ὑπερφίαλον.
Γέσσιος αὐτὸς ἔδειξε· κατηνέχθη γὰρ ἐπαρθεὶς,
θνητῆς εὐτυχίης μηκέτ' ἀνασχόμενος.

LXIV.

Γέσσιον ὡς ἐνόησεν ὁ Βαύκαλος ἄρτι θανόντα
χωλεύοντα πλέον, τοῖον ἔλεξεν ἔπος·
Γέσσιε, πῶς, τί παθὼν κατέβης δόμον εἰς Ἀΐδαο,
γυμνὸς, ἀκήδεστος, σχήματι καινοτάφῳ;
p. 421. τὸν δὲ μέγ' ὀχθήσας προσεφώνεε Γέσσιος εὐθύς·
Βαύκαλε, τὸ τρῆνος καὶ θάνατον παρέχει.

LXV.

Οἱ δύο Κάλχαντες τὸν Γέσσιον ὤλεσαν ὅρκοις,
τῶν μεγάλων ὑπάτων θῶκον ὑποσχόμενοι.
ὢ γένος ἀνθρώπων ἀνεμώλιον, αὐτοχόλωτον.
μέχρι τέλους βιότου μηδὲν ἐπιστάμενον.

LXVI.

Τὴν Αμμωνιακὴν ἀπάτην ὅτε Γέσσιος ἔγνω,
τοῦ ξενικοῦ θανάτου ἐγγύθεν ἐρχόμενος,
τὴν ἰδίην γνώμην κατεμέμψατο, καὶ τὸ μάθημα,
καὶ τοὺς πειθομένους ἀστρολόγοις ἀλόγους.

LXVII.

Οὐκ ἀπεδήμησας τιμῆς χάριν, ἀλλὰ τελευτῆς·
καὶ χωλός περ ἐὼν, ἔδραμες εἰς Ἀΐδην,

Γέσσιε

Γέσσιε Μοιράων τροχαλώτερε· ἐκ προκοπῆς γὰρ, T. II.
ἣν εἶχες κατὰ νοῦν, ἐξεκόπης βιότου.

## LXVIII.

Γέσσιος οὐ τέθνηκεν ἐπειγόμενος παρὰ Μοίρης·
αὐτὸς τὴν Μοῖραν προὔλαβεν εἰς Ἀΐδην.

## LXIX.

Μήπω θανόντες, τῷ δοκεῖν ζῶμεν μόνον,
Ἕλληνες ἄνδρες, συμφορᾷ πεπτωκότες·
ὄνειρον, εἰκάζοντες εἶναι τὸν βίον,
ἢ ζῶμεν ἡμεῖς, τοῦ βίου τεθνηκότος.

## LXX. p. 442.

Ὢ τῆς μεγίστης τοῦ φθόνου πονηρίας·
τὸν εὐτυχῆ μισεῖ τις, ὃν θεὸς φιλεῖ.
οὕτως ἀνόητοι τῷ φθόνῳ πλανώμεθα,
οὕτως ἑτοίμως μωρίᾳ δουλεύομεν.
Ἕλληνές ἐσμεν ἄνδρες ἐσποδωμένοι,
νεκρῶν ἔχοντες ἐλπίδας τεθαμμένων.
ἀνεστράφη γὰρ πάντα νῦν τὰ πράγματα.

## LXXI.

Ὅταν στυγῇ τις ἄνδρα, τὸν θεὸς φιλεῖ,
οὗτος μεγίστην μωρίαν κατεισάγει.
φανερῶς γὰρ αὐτῷ τῷ θεῷ κορύσσεται,
χόλον μέγιστον ἐκ φθόνου δεδεγμένος.
δεῖ γὰρ φιλεῖν ἐκεῖνον, ὃν θεὸς φιλεῖ.

T. II.

LXXII.

Τύχη καπηλεύȣσα πάντα τὸν βίον,
ἀσυγκέραϛον τὴν φύσιν κεκτημένη,
καὶ συγκυκῶσα καὶ μεταντλȣ̃σα πάλιν,
καὐτὴ κάπηλός ἐϛὶ νῦν τις, ȣ̉ θεὰ,
τέχνην λαχȣ̃σα, τὴν τρόπων ἐπαξίαν.

LXXIII.

Ανεϛράφησαν, ὡς ὁρῶ, τὰ πράγματα,
καὶ τὴν Τύχην νῦν δυϛυχȣ̃σαν εἴδομεν.

LXXIV.

Καὶ σὺ Τύχη δέσποινα, τύχην ἀτυχῆ πόθεν ἔσχες;
ἡ παρέχȣσα τύχας. πῶς ἀτυχὴς γέγονας;
p. 423. μάνθανε καὶ σὺ φέρειν τὰ σὰ ῥεύματα, καὶ σὺ διδάσκȣ
τὰς ἀτυχεῖς πτώσεις, ἃς παρέχεις ἑτέροις.

LXXV.

Καὶ σὺ Τύχη λοιπὸν μεταβαλλομένη καταπαίζȣ,
μηδὲ τύχης τῆς σῆς ὕϛατα φεισαμένη·
ἡ πρὶν νηὸν ἔχȣσα, καπηλεύεις μετὰ γῆρας,
θερμοδότις μερόπων νῦν ἀναφαινομένη.
νῦν ὁσίως σθένε καὶ σὺ τεὸν πάθος, ἄϛατε δαῖμον,
τὴν σὴν, ὡς μερόπων, νῦν μετάγȣσα τύχην.

LXXVI.

Πᾶς τις ἀπαίδευτος φρονιμώτατός ἐϛι σιωπῶν,
τὸν λόγον ἐγκρύπτων, ὡς πάθος αἴσχρότατον.

LXXVII.

Η μεγάλη παίδευσις ἐν ἀνθρώποισι, σιωπή·
μάρτυρα Πυθαγόραν τὸν σοφὸν αὐτὸν ἔχω,

ἐς λαλέειν εἰδὼς, ἑτέρους ἐδίδασκε σιωπᾶν, T. II.
φάρμακον ἡσυχίης ἐγκρατὲς εὑράμενος.

LXXVIII.

Υβρίζεις· τί τὸ θαῦμα; τί δυσχερές; ἀλλὰ φέρω σε.
τῶν γὰρ ὑβριζόντων ἡ θρασύτης κόλασις.

LXXIX.

Πολλὰ λαλεῖς, ἄνθρωπε, χαμαὶ δὲ τίθῃ μετὰ μικρόν.
σίγα, καὶ μελέτα ζῶν ἔτι τὸν θάνατον.

LXXX. p. 424.

Ηλιος ἀνθρώποις αὐγῆς θεός. εἰ δὲ καὶ αὐτὸς
ὕβριζεν φαίνων, οὐδὲ τὸ φῶς ἤθελεν.

LXXXI.

Οὐκ ἐμὲ, τὴν πενίην δὲ καθύβρισας. εἰ δὲ καὶ ὁ Ζεὺς
ἦν ἐπὶ γῆς πτωχὸς, καὐτὸς ἔπασχεν ὕβριν.

LXXXII.

Ει πένομαι, τί πάθω; τί με μισεῖς οὐκ ἀδικοῦντα;
παῖσμα τόδ' ἐςὶ Τύχης, οὐκ ἀδίκημα τρόπων.

LXXXIII.

Αἰνίζειν μὲν ἄριςον· ὁ δὲ ψόγος ἔχθεος ἀρχή.
ἀλλὰ κακῶς εἰπεῖν, Αττικόν ἐςι μέλι.

LXXXIV.

Ει μοναχοὶ, τί τοσοίδε; τοσοίδε γε, πῶς πάλι μοῦνοι;
ὦ πληθὺς μοναχῶν ψευσαμένη μονάδα.

LXXVII. 3. Fort. ἑτάρους.

T. II.

## LXXXV.

Τῷ πτισάνην πωλῦντι τὸ κελλίον ἐχθὲς ἔδωκα,
καὶ φοβερὸν πύκτην σήμερον εὗρον ἔσω.
ὡς δ' ἔλεγον, Σὺ τίς εἶ; πόθεν ἤλυθες ἡμέτερον δῶ;
πυγμαχίης κατ' ἐμῦ χεῖρας ἀνέσχεν ἄνω.
ψύττα δ' ἐγὼ κατέτεινα, φοβεύμενος ἄγριον ἄνδρα,
τὸν πτισανᾶν πύκτην ἐξαπίνης ὀρόων.
ἀλλά σε, πρὸς πύκτυ Πολυδεύκεος, ἠδὲ καὶ αὐτῦ
Κάστορος, ἱκνῦμαι, καὶ Διὸς ἱκεσίυ,
p. 425 τὸν πύκτην ἀπόκρυσον. ἐμὸν χόλον. ὐ δύναμαι γὰρ
πυκτεύειν καθάπαξ μηνὸς ἐπερχομένυ.

## LXXXVI.

Ὢ τῆς ταχίστης ἁρπαγῆς τῆς τῦ βίυ·
ἀνὴρ δανειστὴς τῶν χρόνων γλύφων τόκυς
τέθνηκεν εὐθὺς ἐν ῥοπῆς καιρῷ βραχεῖ,
ἐν δακτύλοισι τὺς τόκυς σφίγγων ἔτι.

## LXXXVII.

Δακτυλικὴν ψῆφόν τις ἔχων περὶ δάκτυλα χειρῶν
ψήφῳ τῦ θανάτυ πρῦλαβεν εἰς Αΐδην.
ζῇ δ' ἡ ψῆφος νῦν τῦ ψηφίζοντος ἑταίρη,
ψυχῆς ἁρπαγίμης ἔνθεν ἐλαυνομένης.

## LXXXVIII.

Χωλὸν ἔχεις τὸν νῦν, ὡς τὸν πόδα· καὶ γὰρ ἀληθῶς
εἰκόνα τῶν ἐντὸς σὴ φύσις ἐκτὸς ἔχει.

## LXXXIX.

Υἱὸν ἔχεις τὸν Ἔρωτα, γυναῖκα δὲ τὴν Ἀφροδίτην.
ὐκ ἀδίκως, χαλκεῦ, τὸν πόδα χωλὸν ἔχεις.

XC. T. II.

Πάντες μὲν δειλοὶ καὶ ἀλαζόνες εἰσί, καὶ εἴ τι
ἐν τοῖς ἀνθρώποις ἄλλο πέφυκε πάθος.
ἀλλ' ὁ λογισμὸν ἔχων τῷ πλησίον οὐκ ἀναφαίνει,
ἔνδον ἀποκρύπτων τῇ συνέσει τὰ πάθος.
ἧς δὲ θύρα ψυχῆς ἀναπέπταται, οὐδένα λήθεις
οὔτε καταπτήσσων, οὔτε θρασυνόμενος.

XCI. p. 426.

Εἰπὲ πόθεν σὺ μετρεῖς κόσμον καὶ πείρατα γαίης,
ἐξ ὀλίγης γαίης σῶμα φέρων ὀλίγον.
σαυτὸν ἀρίθμησον πρότερον, καὶ γνῶθι σεαυτὸν,
καὶ τότ' ἀριθμήσεις γαῖαν ἀπειρεσίην.
εἰ δ' ὀλίγον πηλὸν τοῦ σώματος οὐκ ἀπαριθμεῖς,
πῶς δύνασαι γνῶναι τῶν ἀμέτρων τὰ μέτρα;

XCII.

Τὸν θῶ, καὶ τὰς κνῆ, τάν τ' ἀσπίδα, καὶ δόρυ, καὶ κρᾶ
Γορδιοπριλλάριος ἄνθετο Τιμοθέου.

XCIII.

Νῖκαι πάρεσμεν, αἱ γελῶσαι παρθένοι,
νίκας φέρουσαι τῇ φιλοχρήστῳ πόλει.
ἔγραψαν ἡμᾶς οἱ φιλοῦντες τὴν πόλιν,
πρέποντα Νίκαις ἐντυποῦντες σχήματα.

XCIV.

Γυμνὸς Ἔρως, διὰ τοῦτο γελᾷ καὶ μείλιχός ἐστιν·
οὐ γὰρ ἔχει τόξον, καὶ πυρόεντα βέλη.
οὐδὲ μάτην παλάμαις κατέχει δελφῖνα καὶ ἄνθος·
τῇ μὲν γὰρ γαῖαν, τῇ δὲ θάλασσαν ἔχει.

T. II.

XCV.

Χαλκοτύπος τὸν Ἔρωτα μεταλλάξας ἐπόησε
τήγανον, οὐκ ἀλόγως, ὅττι καὶ αὐτὸ φλέγει.

p. 427.

XCVI.

Ἡδὺν ἀναίσχυντον στιβαροῖς ᾔσχυνα λογισμοῖς,
σωφροσύνῃ κολάσας ἔντερον ἀργαλέον.
εἰ γὰρ ἔχω τὸν νοῦν ἐπικείμενον ὑψόθι γαστρὸς,
πῶς μὴ νικήσω τὴν ὑποτασσομένην;

XCVII.

Γαστέρα μισήσειε θεὸς, καὶ βρώματα γαστρὸς·
εἵνεκα γὰρ τούτων σωφροσύνη λύεται.

XCVIII.

Ἐκλήθην παρὰ σοῦ τῷ ῥήτορος. εἰ δ' ἀπελείφθην,
τὴν τιμὴν ἀπέχω, καὶ πλέον εἰμὶ φίλος.
οὐδὲ γὰρ ἡ ψυχὴ τὸ φαγεῖν κρίνουσα γέγηθεν,
ἀλλὰ μόνον τιμῆς αἰσθομένη τρέφεται.

XCIX.

Φεῦγε Λάκων ποτὲ δῆριν· ὑπαντιάσασα δὲ μήτηρ
εἶπε, κατὰ στέρνων ἄορ ἀνασχομένη·
Ζώων μὲν σέο ματρὶ διαμπερὲς αἶσχος ἀνάπτεις,
καὶ κρατερᾶς Σπάρτας πάτρια θεσμὰ λύεις·
ἢν δὲ θάνῃς παλάμῃσιν ἐμαῖς, μάτηρ μὲν ἀκούσω
δύσμορος, ἀλλ' ἐν ἐμῇ πατρίδι σωζομένα.

C.

Σκηνὴ πᾶς ὁ βίος, καὶ παίγνιον. ἢ μάθε παίζειν,
τὴν σπουδὴν μεταθεὶς, ἢ φέρε τὰς ὀδύνας.

CI.[a] T.III.p.332.

Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα,
χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

CI.[b] T.II. p.428.

Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου. εἰ δ' ἀγανακτεῖς
καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

CII.

Δακρυχέων γενόμην, καὶ δακρύσας ἀποθνήσκω·
δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.
ὦ γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενὲς, οἰκτρὸν,
συρόμενον κατὰ γῆς, καὶ διαλυόμενον.

CIII.

Γῆς ἐπέβην γυμνὸς, γυμνός θ' ὑπὸ γαῖαν ἄπειμι·
καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;

CIV.

Πλοῦς σφαλερὸς τὸ ζῆν· χειμαζόμενοι γὰρ ἐν αὐτῷ
πολλάκι ναυηγῶν πταίομεν οἰκτότερα.
τὴν δὲ Τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
ὡς ἐπὶ τοῦ πελάγους, ἀμφίβολοι πλέομεν·
οἱ μὲν ἐπ' εὐπλοΐῃ, οἱ δ' ἔμπαλιν. ἀλλ' ἅμα πάντες
εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.

CV.

Ὄγχνη, χειρὸς ἐμῆς γλυκερὸς πόνος, ἧς μὲν ἐφ' ὑγρῷ
φλοιῷ πτόρθον ἔδησα θέρει· πτόρθος δ' ἐπὶ δένδρῳ
ῥιζωθεὶς, δένδροιο τομῇ καὶ καρπὸν ἄμειψεν.
νέρθε μὲν ἀχρὰς ἔτ' ἐστιν, ὕπερθε δ' ἄρ' εὔπνοος ὄγχνη.

T.II.p.426.

## CVI.

Ἀχρὰς ἔην, ὄγχνην σέο κλωσὶ μυρίπνοον ἦκα.
δένδρῳ πτόρθος ἐρεῖ, Τὴν χάριν εἴς σε φέρω.

## CVII.

Βέλτερόν ἐςὶ Τύχης καὶ θλιβομένης ἀνέχεσθαι,
ἢ τῶν πλουτούντων τῆς ὑπερηφανίης.

## CVIII.

Ἐλπίδος οὐδὲ Τύχης ἔτι μοι μέλει, οὐδ᾽ ἀλεγίζω
λοιπὸν τῆς ἀπάτης· ἤλυθον εἰς λιμένα.
εἰμὶ πένης ἄνθρωπος, ἐλευθερίῃ δὲ συνοικῶ·
ὕβριςὴν πενίης πλοῦτον ἀποςρέφομαι.

## CIX.

Οὐκ ἀλόγως ἐν ζωῦφίοις δύναμίν τινα θείαν
εἶναι ἔφην. χθὲς γοῦν ζωῦφί᾽ ἐν χρονίῳ
ἠπιάλῳ κάμνοντι τεταρταίῳ περιῆψα,
καὶ γέγονεν ταχέως, οἷα κρότων, ὑγιής.

## CX.

Χρυσὲ, πάτερ κολάκων, ὀδύνης καὶ φροντίδος υἱὲ,
καὶ τὸ ἔχειν σε, φόβος· καὶ μὴ ἔχειν σ᾽, ὀδύνη.

## CXI.

Πλουτεῖς, καὶ τί τὸ λοιπόν; ἀπερχόμενος, μετὰ σαυτοῦ
τὸν πλοῦτον σύρεις, εἰς σορὸν ἑλκόμενος;
τὸν πλοῦτον συνάγεις δαπανῶν χρόνον· οὐ δύνασαι δὲ
ζωῆς σωρεῦσαι μέτρα περισσότερα.

CIX. 4. Vat. Cod. καὶ γέγονε.

## CXII.

T.II. p.430.

Φεύγετε τοὺς πλουτοῦντας, ἀναιδέας, οἰκοτυράννους,
μισοῦντας πενίην μητέρα σωφροσύνης.

## CXIII.

Τὴν Κίρκην οὐ φημι, καθὼς εἴρηκεν Ὅμηρος,
ἀντ' ἀνδρῶν ποιεῖν ἢ σύας, ἠὲ λύκους,
τοὺς αὐτῇ προσιόντας. ἑταίρα δ' οὖσα πανοῦργος,
τοὺς δελεασθέντας πτωχοτάτους ἐποίει.
τῶν δ' ἀνθρωπείων ἀποσυλήσασα λογισμῶν,
εἶτ' ἀπὸ τῶν ἰδίων μηδὲν ἔχοντας ἔτι
ἔτρεφεν, ἔνδον ἔχουσα, δίκην ζώων ἀλογίστων.
ἔμφρων δ' ὢν Ὀδυσεὺς, τὴν φιλότητα φυγὼν,
οὐχ Ἑρμοῦ, φύσεως δ' ἰδίας δώρημα, λογισμὸν
εἶχε, γοητείας φάρμακον ἀντίπαλον.

## CXIV.

Μηδέποτε ζήσας ὁ πένης βροτὸς, οὐδ' ἀποθνήσκει·
καὶ ζῆν γὰρ δοκέων, ὡς νέκυς ἦν ὁ τάλας.
οἱ δὲ τύχας μεγάλας καὶ χρήματα πολλὰ λαχόντες,
οὗτοι τὸν θάνατον πτῶσιν ἔχουσι βίου.

## CXV.

Ὅταν βλέπω σε, προσκυνῶ, καὶ τοὺς λόγους,
τῆς παρθένου τὸν οἶκον ἀστρῷον βλέπων.
εἰς οὐρανὸν γάρ ἐστι σοῦ τὰ πράγματα,
Ὑπατία σεμνὴ, τῶν λόγων εὐμορφία,
ἄχραντον ἄστρον τῆς σοφῆς παιδεύσεως.

## CXVI.

T. II. p. 431.

Πολλάκις ἐξέτησα τεὴν φιλότητα καὶ ὕβριν·
καὶ πολὺ κυφοτέρην σὴν φιλότητα μαθὼν,
λοιδορίην δὲ ῥέπυσαν, ἐχωρίσθην φιλότητος,
μηκέτι βαστάζων ὕβριν ἀτιμοτάτην.

## CXVII.

Αν μὴ γελῶμεν τὸν βίον τὸν δραπέτην,
Τύχην τε πόρνης ῥεύμασιν κινυμένην,
ὀδύνην ἑαυτοῖς προξενῦμεν πάντοτε,
ἀναξίυς ὁρῶντες εὐτυχεστέρυς.

## CXVIII.

Εὖγε λέγων, τὸν Καιρὸν ἔφης θεὸν, εὖγε, Μένανδρε,
ὡς ἀνὴρ Μυσῶν καὶ Χαρίτων τρόφιμος.
πολλάκι γὰρ τῦ σφόδρα μεριμνηθέντος ἄμεινον,
προσπεσὸν εὐκαίρως εὗρέ τι ταὐτόματον.

## CXIX.

Οὐ λόγον, ὐ νόμον οἶδε Τύχη, μερόπων δὲ τυραννεῖ,
τοῖς ἰδίοις ἀλόγως ῥεύμασι συρομένη.
μᾶλλον τοῖς ἀδίκοισι ῥέπει, μισεῖ δὲ δικαίυς,
ὡς ἐπιδεικνυμένη τὴν ἄλογον δύναμιν.

## CXX.

Παίγνιόν ἐςι Τύχης μερόπων βίος, οἰκτρὸς, ἀλήτης,
πλύτυ καὶ πενίης μεσσόθι ῥεμβόμενος.
καὶ τὺς μὲν κατάγυσα πάλιν σφαιρηδὸν ἀείρει,
τὺς δ' ἀπὸ τῶν νεφελῶν εἰς Αἴδην κατάγει.

## CXXI.

T. II. p. 437.

Οταν λογισμοῖς καταμάθω τὰ πράγματα,
καὶ τὰς ἀκαίρους μεταβολὰς τὰς τοῦ βίου,
καὶ ῥεῦμ' ἄπιστον τῆς ἀνωμάλου Τύχης,
πῶς τοὺς πένητας πλουσίους ἐργάζεται,
καὶ τοὺς ἔχοντας χρημάτων ἀποστερεῖ,
τότε κατ' ἐμαυτὸν τῇ πλάνῃ σκοτούμενος,
μισῶ τὰ πάντα, τῆς ἀδηλίας χάριν.
οἵῳ τρόπῳ γὰρ περιγένωμαι τῆς Τύχης,
τῆς ἐξ ἀδήλου φαινομένης ἐν τῷ βίῳ,
πόρνης γυναικὸς τοὺς τρόπους κεκτημένης;

## CXXII.

Αν μνήμην, ἄνθρωπε, λάβῃς, ὁ πατήρ σε τί ποιῶν
ἔσπειρεν, παύσῃ τῆς μεγαλοφροσύνης.
ἀλλ' ὁ Πλάτων σοὶ τῦφον ὀνειρώσσων ἐνέφυσεν,
ἀθάνατόν σε λέγων, καὶ φυτὸν οὐράνιον.
ἐκ πηλοῦ γέγονας· τί φρονεῖς μέγα; τοῦτο μὲν οὕτως
εἴπ' ἄν τις, κοσμῶν πλάσματι σεμνοτέρῳ.
εἰ δὲ λόγον ζητεῖς τὸν ἀληθινόν, ἐξ ἀκολάστου
λαγνείας γέγονας, καὶ μιαρᾶς ῥανίδος.

## CXXIII.

Ηέρα λεπταλέον μυκτηρόθεν ἀμπνείοντες
ζώομεν, ἠελίου λαμπάδα δερκόμενοι,
πάντες ὅσοι ζῶμεν κατὰ τὸν βίον· ὄργανα δ' ἐσμὲν,
αὔραις ζωογόνοις πνεύματα δεχνύμενοι.
εἰ δέ τις οὖν ὀλίγην παλάμῃ σφίγξειεν ἀϋτμὴν,
ψυχὴν συλήσας, εἰς Αΐδην κατάγει.

CXXIII. 6. Scr. κατάγει.

T.II.p.433. ὕτως ὐδὲν ἐόντες, ἀγηνορίῃ τρεφόμεσθα,
πνοιῆς ἐξ ὀλίγης ἠέρα βοσκόμενοι.

## CXXIV.

Ο φθόνος οἰκτιρμῦ, κατὰ Πίνδαρον, ἐςὶν ἀμείνων.
οἱ βασκαινόμενοι λαμπρὸν ἔχυσι βίον·
τὺς δὲ λίαν ἀτυχεῖς οἰκτείρομεν. ἀλλά τις εἴην
μήτ' ἄγαν εὐδαίμων, μήτ' ἐλεεινὸς ἐγώ.
ἡ μεσότης γὰρ ἄριςον, ἐπεὶ τὰ μὲν ἄκρα πέφυκε
κινδύνυς ἐπάγειν, ἔσχατα δ' ὕβριν ἔχει.

## CXXV.

Η φύσις ἐξεῦρεν, φιλίης θεσμὺς ἀγαπῶσα,
τῶν ἀποδημύντων ὄργανα συντυχίης,
τὸν κάλαμον, χάρτην, τὸ μέλαν, τὰ χαράγματα χειρὸς,
σύμβολα τῆς ψυχῆς τηλόθεν ἀχνυμένης.

## CXXVI.

Εἰ τὸ μέλειν δύναταί τι, μερίμνα καὶ μελέτω σοί.
εἰ δὲ μέλει περὶ σῦ δαίμονι, σοὶ τί μέλει;
ὔτε μεριμνήσεις δίχα δαίμονος, ὔτ' ἀμελήσεις·
ἀλλ' ἵνα σοί τι μέλῃ, δαίμονι τῦτο μέλει.

## CXXVII.

Τίπτε μάτην, ἄνθρωπε, πονεῖς, καὶ πάντα ταράσσεις,
κλήρῳ δυλεύων τῷ κατὰ τὴν γένεσιν;
τύτῳ σαυτὸν ἄφες, τῷ δαίμονι μὴ φιλονείκει·
σὴν δὲ τύχην ςέργων, ἡσυχίην ἀγάπα.
μᾶλλον ἐπ' εὐφροσύνην δὲ βιάζεο, καὶ παρὰ μοίρην,
εἰ δυνατὸν, ψυχὴν τερπομένην μετάγειν.

CXXVIII. T.II. p.434.

Νυκτὸς ἀπερχομένης γεννώμεθα ἦμαρ ἐπ' ἦμαρ,
τοῦ προτέροιο βίου μηδὲν ἔχοντες ἔτι,
ἀλλοτριωθέντες τῆς ἐχθεσινῆς διαγωγῆς,
τοῦ λοιποῦ δὲ βίου σήμερον ἀρχόμενοι.
μὴ τοίνυν λέγε σαυτὸν ἐτῶν πρεσβῦτα περισσῶν,
τῶν γὰρ ἀπελθόντων σήμερον οὐ μετέχεις.

CXXIX.

Ὦ τῆς βραχείας ἡδονῆς τῆς τοῦ βίου.
τὴν ὀξύτητα τοῦ χρόνου πενθήσατε.
ἡμεῖς καθεζόμεσθα καὶ κοιμώμεθα,
μοχθοῦντες ἢ τρυφῶντες· ὁ δὲ χρόνος τρέχει,
τρέχει καθ' ἡμῶν τῶν ταλαιπώρων βροτῶν,
φέρων ἑκάστου τῷ βίῳ καταστροφήν.

CXXX.

Πάντες τῷ θανάτῳ τηρούμεθα, καὶ τρεφόμεσθα
ὡς ἀγέλη χοίρων σφαζομένων ἀλόγως.

CXXXI.

Σῶμα, πάθος ψυχῆς, Αἴδης, Μοῖρ', ἄχθος, ἀνάγκη,
καὶ δεσμὸς κρατερὸς, καὶ κόλασις βασάνων.
ἀλλ' ὅταν ἐξέλθῃ τοῦ σώματος, ὡς ἀπὸ δεσμῶν
τοῦ θανάτου, φεύγει πρὸς θεὸν ἀθάνατον.

CXXXII.

Οὐ ποιεῖ θάνατον μόνον ἡ φθίσις· ἀλλὰ τὸν αὐτὸν
καὶ πολλὴ παχύτης πολλάκις εἰργάσατο.

CXXXII. 1. Cod. ἡ φύσις.

T.II.p.435. τȣ̃ δ᾽ ὁ τυραννήσας Διονύσιος Ἡρακλείας,
τῆς ἐν τῷ Πόντῳ, μάρτυς, ὁ τȣ̃το παθών.

CXXXIII.

Τὸν Διὸς ἐν τριόδοισιν ἐθαύμασα χάλκεον υἷα,
τὸν πρὶν ἐν εὐχωλαῖς, νῦν παραριπτόμενον.
ὀχθήσας δ᾽ ἄρ᾽ ἔειπον· Ἀλεξίκακε τρισέληνε,
μηδέποθ᾽ ἡττηθεὶς, σήμερον ἐξετάθης.
νυκτὶ δὲ μειδιόων με θεὸς προσέειπε παραςάς·
Καιρῷ δȣλεύειν, καὶ θεὸς ὢν, ἔμαθον.

CXXXIV.

Εἴ τις ἀνὴρ ἄρχων ἐθέλει κολάκων ἀνέχεσθαι,
πολλȣ̀ς ἐκδώσει τοῖς μιαροῖς ςόμασιν·
ὥςε χρὴ τὸν ἄριςον, ἀπεχθαίροντα δικαίως,
ὡς κόλακας μισεῖν τȣ̀ς κολακευομένȣς.

CXXXV.

Οὐδεὶς καὶ καθαρὸς καὶ μείλιχος ἤλυθεν ἄρχων.
ἓν γὰρ ἑνὸς δοκέει δόγματος ἀντίπαλον·
τὸ γλυκὺ τȣ̃ κλέπτοντος, ὑπερφιάλȣ δὲ τὸ ἁγνόν.
ὄργανα τῆς ἀρχῆς ταῦτα δύ᾽ ἐςὶ πάθη.

CXXXVI.

Εἶναι νομίζω φιλόσοφον καὶ τὸν θεὸν,
βλασφημίαις τὸν εὐθὺς ȣ̓ θυμȣ́μενον,
χρόνῳ δ᾽ ἐπαυξάνοντα τὰς τιμωρίας,
τὰς τῶν πονηρῶν καὶ ταλαιπώρων βροτῶν.

p. 436.

CXXXVII.

Μήποτε δȣλεύσασα γυνὴ δέσποινα γένοιτο·
ἐςὶ παροιμιακόν. τῷ δὲ θ᾽ ὅμοιον ἐρῶ.

μήτε δίκην δικάσειεν ἀνὴρ γεγονὼς δικολέκτης, T. II.
μηδ' ἂν Ἰσοκράτεος ῥητορικώτερος ᾖ.
πᾶς γὰρ ὁ μισθαρνεῖν εἰθισμένος, οὐδ' ἐν ἑταίρῳ
σεμνότερον δικάσαι, μὴ ῥυπαρῶς, δύναται.

## CXXXVIII.

Εἰ θεὸς ἡ Φήμη, κεχολωμένη ἐστὶ καὶ αὐτὴ
Ἕλλησι, σφαλεροῖς ἐξαπατῶσα λόγοις.
Φήμη δ', ἄν τι πάθῃς, ἀναφαίνεται εὐθὺς ἀληθής·
πολλάκι καὶ Φήμην ἔφθασεν ἡ ταχυτής.

## CXXXIX.

Ἀνδροφόνῳ σαθρὸν παρὰ τειχίον ὑπνώοντι
νυκτὸς ἐπιστῆναι φασὶ Σάραπιν ὄναρ,
καὶ χρησμῳδῆσαι· Κατακείμενος οὗτος ἀνίστω,
καὶ κοιμῶ μεταβὰς ὦ τάλας ἀλλαχόθι.
ὃς δὲ διϋπνισθεὶς μετέβη. τὸ δὲ σαθρὸν ἐκεῖνο
τειχίον ἐξαίφνης εὐθὺς ἔκειτο χαμαί.
σῶστρα δ' ἕωθεν ἔθυε θεοῖς χαίρων ὁ κακοῦργος,
ἥδεσθαι νομίσας τὸν θεὸν ἀνδροφόνοις.
ἀλλ' ὁ Σάραπις ἔχρησε, πάλιν διὰ νυκτὸς ἐπιστάς·
Κήδεσθαί με δοκεῖς, ἄθλιε, τῶν ἀδίκων;
εἰ μὴ νῦν σε μεθῆκα θανεῖν, θάνατον μὲν ἄλυπον
νῦν ἔφυγες, σταυρῷ δ' ἴσθι φυλαττόμενος.

## CXL. p. 437.

Ἐλπίς, καὶ σὺ Τύχη, μέγα χαίρετε· τὴν ὁδὸν εὗρον.
οὐκέτι γὰρ σφετέροις ἐπιτέρπομαι, ἔρρετε ἄμφω,

CXXXVIII. 3. Codd. φήμη δ' ἀντιπαθής.

T. II. οὕνεκεν ἐν μερόπεσσι πολυπλανέες μάλα ἐστέ.
ὅσσα γὰρ ἀτρεκέως οὐκ ἔσσεται, ὕμμες ἐν ἡμῖν
φάσματα, ὡς ἐν ὕπνῳ, ἐμβάλλετε, οἷά τ' ἐόντα.
ἔῤῥε κακὴ γλήνη, πολυώδυνε· ἔῤῥετε ἄμφω.
παίζοιτε, στροφέοιτε ὅσους ἐμεῦ ὕστερον ὄντας
εὕροιτ' οὐ νοέοντας ὅπερ θέμις ἐστὶ νοῆσαι.

## CXLI.

Ατρεκέως μάλα πᾶσι πλάνη Τύχη ἐστὶ βροτοῖσι·
ἐστὶ γὰρ ἀστρανέη, τὸ δ' ἐπιπλέον οὐδὲ πέλουσα.
γράψε τίς; οἶδε θεός· τίνος εἵνεκεν; οἶδε καὶ αὐτός.

## CXLII.

Εσθλὰ λέγειν αἰεὶ πάντας, καλόν· αἰσχρὰ δὲ, δεινὸν,
κἂν ὦσιν τούτων ἄξιοι ὧν λέγομεν.

## CXLIII.

Οταν θέλῃ τις ἡμέραν ἰδεῖν καλὴν,
συντυγχάνων σοι γίνεται καλήμερος·
τοὐναντίον δὲ καί τις εἰ μέλλει παθεῖν,
μὴ συντυχὼν σοι γίνεται καχήμερος.

## CXLIV.

Ρίπτε γόους, μὴ κάμνε. πόσον χρόνον ἐνθάδε μίμνεις,
ὡς πρὸς ἐκεῖνον ὅλον τὸν μετὰ ταῦτα βίον;
πρὶν τοίνυν σκώληξι βορὴν, τύμβοις τε ῥιφῆναι,
μὴ δαμάσῃς ψυχὴν ζῶν ἔτι κρινομένην.

## CXLV.

p. 438. Ψυλλὼ πρεσβυγενὴς τοῖς κληρονόμοις φθονέσασα,
αὐτὴ κληρονόμος τῶν ἰδίων γέγονεν.

ἁλλομένη δὲ τάχος κατέβη δόμον εἰς Ἀΐδαο,
  ταῖς δαπάναις τὸ ζῆν σύμμετρον εὑρομένη.
πάντα φαγῦσα βίον, συναπώλετο ταῖς δαπάναισιν·
  ἥλατο δ' εἰς Ἀΐδην, ὡς ἀπεκερμάτισε.

## CXLVI.

Ἥρπασέ τις νύμφην, καὶ τὸν γάμον ἥρπασε δαίμων,
  ψυχῶν συλήσας τερπομένην ἀγέλην.
εἷς γάμος εἰκοσιπέντε τάφυς ἔπλησε θανόντων,
  πάνδημος δὲ νεκρῶν εἷς γέγονεν θάλαμος.
νύμφη Πενθεσίλεια πολύστονε, νυμφίε Πενθεῦ,
  ἀμφοτέρων ὁ γάμος πλύσιος ἐν θανάτοις.

## CXLVII.

Ζητῶν ἐξεῦρες βιότυ τέλος, εὐτυχίης τε
  ἀρχὴν, τῆς ζωῆς πρὸς τέλος ἐρχομένην.
ἀλλ' ἔτυχες τιμῆς, ὦ Γέσσιε, καὶ μετὰ μοῖραν
  σύμβολα τῆς ἀρχῆς ὕστατα δεξάμενος.

---

# ΕΛΛΑΔΙΟΥ.

Εἰς βαφέα πλύσιον γενόμενον.

Βάπτων πάντα, βαφεῦ, καὶ χρωματίοις μεταβάλλων,
  καὶ πενίην βάψας, πλύσιος ἐξεφάνης.

T.II. p.439. # ΠΩΛΛΙΑΝΟΥ.

I.

Τοὺς κυκλίους τούτους, τοὺς ΑΥΤΑΡ ΕΠΕΙΤΑ λέγοντας,
μισῶ, λωποδύτας ἀλλοτρίων ἐπέων.
καὶ διὰ τοῦτ' ἐλέγοις προσέχω πλέον· οὐδὲν ἔχω γὰρ
Παρθενίου κλέπτειν ἢ πάλι Καλλιμάχου.
ΘΗΡΙ μὲν ΟΥΑΤΟΕΝΤΙ γενοίμην, εἴ ποτε γράψω,
εἴκελος, ΕΚ ΠΟΤΑΜΩΝ ΧΛΩΡΑ ΧΕΛΙΔΟΝΙΑ.
οἱ δ' οὕτως τὸν Ομηρον ἀναιδῶς λωποδυτοῦσιν,
ὥστε γράφειν ἤδη ΜΗΝΙΝ ΑΕΙΔΕ ΘΕΑ.

II.

Εἰσὶ καὶ ἐν Μούσῃσιν Ἐριννύες, αἵ σε ποιοῦσι
ποιητὴν, ἀνθ' ὧν πολλὰ γράφεις ἀκρίτως.
τοίνυν σοῦ δέομαι, γράφε πλείονα· μείζονα γάρ σοι
εὔξασθαι ταύτης οὐ δύναμαι μανίαν.

III.

Εἰ μὴ χαίρω, Φλῶρε, γενοίμην δάκτυλος, ἢ ποὺς
εἷς τῶν σῶν τούτων τῶν κατατεινομένων.
χαίρω, νὴ τὸν κλῆρον, ὃν εὐκλήρησας ἐν ἄθλοις,
ὡς περὶ χοιρείης τοῦ στεφάνου μερίδος.
τοιγὰρ θάρσει, Φλῶρε. καὶ εὔθυμος πάλι γίνου·
οὕτω νικήσαι καὶ δόλιχον δύνασαι.

## IV.

T.II. p.440.

Χαλκὸν ἔχων, πῶς οὐδὲν ἔχεις; μάθε· πάντα δανείζεις.
 οὕτως οὐδὲν ἔχεις αὐτὸς, ἵν' ἄλλος ἔχῃ.

## V.

Αδε Πολυκλείτοιο Πολυξένα, οὐδέ τις ἄλλα
 χεὶρ ἔθιγεν τούτου δαιμονίου πίνακος.
Ηρας ἔργον ἀδελφόν. ἴδ' ὡς πέπλοιο ῥαγέντος,
 τὰν αἰδῶ γυμνὰν σώφρονι κρύπτει πέπλῳ.
λίσσεται ἁ τλάμων ψυχᾶς ὕπερ· ἐν βλεφάροις δὲ
 παρθενικᾶς ὁ Φρυγῶν κεῖται ὅλος πόλεμος.

# ΓΑΥΡΑΔΑ.

α Αχὼ φίλα μοι συγκαταίνεσόν τι. β τί;
α ἐρῶ κορίσκας· ἁ δέ μ' οὐ φιλεῖ. β φιλεῖ.
α πρᾶξαι δ' ὁ Καιρὸς καιρὸν οὐ φέρει. β φέρει.
ατὺ τοίνυν αὐτᾷ λέξον ὡς ἐρῶ. β ἐρῶ.
α καὶ πίστιν αὐτᾷ κερμάτων τὺ δός. β τὺ δός.
α Αχὼ, τί λοιπὸν, ἢ πόθου τυχεῖν; β τυχεῖν.

V.4. Fort. κρύπτε χερί.

T.II.p.441.

# ΠΡΟΚΛΟΥ ΛΥΚΙΟΥ.

## I.

### ΥΜΝΟΣ ΕΙΣ ΗΛΙΟΝ.

Κλῦθι πυρὸς νοεροῦ βασιλεῦ, χρυσήνιε Τιτὰν,
κλῦθι φάους ταμία, ζωαρκέος, ὦ ἄνα, πηγῆς
αὐτὸς ἔχων κληῖδα, καὶ ὑλαίοις ἐνὶ κόσμοις
ὑψόθεν ἁρμονίης ῥύμα πλούσιον ἐξοχετεύων.
κέκλυθι· μεσσατίην γὰρ ἔχων ὑπὲρ αἰθέρος ἕδρην,
καὶ κόσμου κραδιαῖον ἔχων ἐριφεγγέα κύκλον,
πάντα τεῆς ἔπλησας ἐγερσινόοιο προνοίης.
ζωσάμενοι δὲ πλάνητες ἀειθαλέας σέο πυρσοὺς,
αἰὲν ὑπ' ἀλλήκτοισι καὶ ἀκαμάτοισι χορείαις,
ζωογόνους πέμπουσιν ἐπιχθονίοις ῥαθάμιγγας.
πᾶσα δ' ὑφ' ὑμετέρῃσι παλιννόστοισι διφρείαις,
Ὡράων κατὰ θεσμὸν, ἀνεβλάστησε γενέθλα.
στοιχείων δ' ὀρυμαγδὸς ἐπ' ἀλλήλοισιν ἰόντων
παύσατο, σεῖο φανέντος ἀπ' ἀῤῥήτου γενετῆρος.
σοὶ δ' ὑπὸ Μοιράων χορὸς εἴκαθεν ἀστυφέλικτος·
ἂψ δὲ μεταστρωφῶσιν ἀναγκαίης λίνον αἴσης,
εὖτ' ἐθέλεις· πέρι γὰρ κρατέεις πέρι δ' ἶφι ἀνάσσεις.
σειρῆς δ' ὑμετέρης βασιλεὺς θεοπειθέος οἴμης
ἐξέθορεν Φοῖβος· κιθάρῃ δ' ὕπο θέσκελα μέλπων,
εὐνάζει μέγα κῦμα βαρυφλοίσβοιο γενέθλης.
p. 442. σῆς δ' ἀπὸ μειλιχόδωρος ἀλεξικάκου θιασείης
Παιήων βλάστησεν, ἑὴν δ' ἐπέτασσεν ὑγείην,

πλήσας ἁρμονίης παναπήμονος ἔδρεα κόσμον.
σὲ κλυτὸν ὑμνείουσι Διωνύσοιο τοκῆα·
ὕλης δ' αὖ νεάτοις ἐνὶ βένθεσιν εὔϊον Ἄττιν,
ἄλλοι δ' ἁβρὸν Ἄδωνιν ἐπευφήμισσαν ἀοιδοί.
δειμαίνουσι δὲ σεῖο θοῆς μάστιγος ἀπειλὴν
δαίμονες ἀνθρώπων δηλήμονες, ἀγριόθυμοι,
ψυχαῖς ἡμετέραις δειλῶν κακὰ πορσύνοντες,
ὄφρ' αἰεὶ κατὰ λαῖτμα βαρυσμαράγου βιότοιο
σώματος ὀτλεύωσιν ὕπο, ζυγόδεσμα ποθοῦσαι,
ὑψιτενοῦς δὲ λάθοιντο πατρὸς πολυφεγγέος αὐλῆς.
ἀλλὰ θεῶν πανάριστε, πυριστεφές, ὄλβιε δαῖμον,
εἰκὼν παγγενέταο θεοῦ, ψυχῶν ἀναγωγεῦ,
κέκλυθι, καί με κάθηρον ἁμαρτάδος αἰὲν ἁπάσης·
δέχνυσο δ' ἱκεσίην πολυδάκρυον, ἐκ δ' ἐμὲ λυγρῶν
ῥύεο κηλίδων, ποινῶν δ' ἀπάνευθε φυλάσσοις,
πρηΰνων θοὸν ὄμμα Δίκης, ἣ πάντα δέδορκεν.
αἰεὶ δ' ὑμετέραισιν ἀλεξικάκοισιν ἀρωγαῖς
ψυχῇ μὲν φάος ἁγνὸν ἐμῇ πολύολβον ὀπάζοις,
ἀχλὺν ἀποσκεδάσας ὀλεσίμβροτον, ἰολόχευτον·
σώματι δ' ἀρτεμίην τε καὶ ἀγλαόδωρον ὑγείην.
εὐκλείης τ' ἐπίβησον ἐμέ, προγόνων τ' ἐνὶ θεσμοῖς
Μουσάων ἐρασιπλοκάμων δώροισι μελοίμην.
ὄλβον δ' ἀστυφέλικτον ἀπ' εὐσεβίης ἐρατεινῆς,
εἴκε θέλῃς, δός, ἄναξ· δύνασαι γὰρ ἅπαντα τελέσσαι
ῥηϊδίως, κρατερὴν ὃς ἔχεις καὶ ἀπείριτον ἀλκήν.
εἰ δέ τι μοιριδίοισιν ἑλιξοπόροισιν ἀτράκτοις
ἀστεροδινήτοις ὑπὸ νήμασιν οὖλον ἄμμιν
ἔρχεται, αὐτὸς ἔρυκε τεῇ μεγάλῃ τόδε ῥιπῇ.

T.II. p.443.

## II.

### ΥΜΝΟΣ ΕΙΣ ΤΑΣ ΜΟΥΣΑΣ.

Ὑμνέομεν, μερόπων ἀναγώγιον ὑμνέομεν φῶς,
ἐννέα θυγατέρας μεγάλου Διὸς ἀγλαοφώνους,
αἳ ψυχάς, κατὰ βένθος ἀλωομένας βιότοιο,
ἀχράντοις τελετῇσιν ἐγερσινόων ἀπὸ βίβλων,
γηγενέων ῥύσαντο δυσαντήτων ὀδυνάων,
καὶ σπεύδειν ἐδίδαξαν ὑπὲρ βαθυχεύμονα λήθην
ἴχνος ἔχειν, καθαρὰς δὲ μολεῖν· ποτὶ σύννομον ἄστρον,
ἔνθεν ἀπεπλάγχθησαν, ὅτ' εἰς γενεθλήϊον ἀκτὴν
κάππεσον, ὑλοτραφέσσι περὶ κλήροισι μανεῖσαι.
ἀλλά, θεαί, καὶ ἐμεῖο πολυπτοίητον ἐρωὴν
παύσατε, καὶ νοεροῖς με σοφῶν βακχεύσατε μύθοις·
μηδέ μ' ἀποπλάγξειεν δεισιθέων γένος ἀνδρῶν
ἀτραπιτοῦ ζαθέης, ἐριφεγγέος, ἀγλαοκάρπου·
αἰεὶ δ' ἐξ ὁμάδοιο πολυπλάγκτοιο γενέθλης
ἕλκετ' ἐμὴν ψυχὴν πάναλήμονα πρὸς φάος ἀγνόν,
ὑμετέρων βρίθουσαν ἀεξινόων ἀπὸ βίβλων,
καὶ κλέος εὐεπίης φρενοθελγέος αἰὲν ἔχουσαν.
κλῦτε θεοὶ σοφίης ἱερῆς οἴηκας ἔχοντες,
οἳ ψυχὰς μερόπων, ἀναγώγιον ἁψάμενοι πῦρ,
ἕλκετ' ἐς ἀθανάτους, σκότιον κευθμῶνα λιποῦσας,
ὕμνων ἀῤῥήτοισι καθηράμενοι τελετῇσι·
κλῦτε σαωτῆρες μεγάλοι, ζαθέων δ' ἀπὸ βίβλων
νεύσατ' ἐμοὶ φάος ἀγνόν, ἀποσκεδάσαντες ὀμίχλην,
ὄφρα κεν εὖ γνοίω θεὸν ἄμβροτον, ἠδὲ καὶ ἄνδρα·
μηδ' ἐμὲ ληθαίοις ὑπὸ χεύμασιν οὐλοὰ ῥέζων
δαίμων αἰὲν ἔχοι, μακάρων ἀπάνευθεν ἐόντα.

μὴ χρυσέρης γενέθλης ἐνὶ κύμασι πεπτηκυῖαν T. II.
ψυχὴν οὐκ ἐθέλουσαν ἐμὴν ἐπὶ δηρὸν ἀλᾶσθαι p. 444.
Ποινή τις κρυόεσσα βίου δεσμοῖσι πεδήσῃ.
ἀλλὰ θεοὶ σοφίης ἐριλαμπέος ἡγεμονῆες,
κέκλυτ', ἐπειγομένῳ δὲ πρὸς ὑψιφόρητον ἀταρπὸν
ὄργια καὶ τελετὰς ἱερῶν ἀναφαίνετε μύθων.

## III.

### ΥΜΝΟΣ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ. Α.

Υμνέομεν Λυκίων βασιληΐδα Κυπροφροδίτην,
ἧς ποτ' ἀλεξικάκοιο περιπλήθοντες ἀρωγῆς
πατρίδος ἡμετέρης θεοφράδμονες ἡγεμονῆες
ἱερὸν ἱδρύσαντο κατὰ πτολίεθρον ἄγαλμα,
σύμβολ' ἔχον νοεροῖο γάμου, νοερῶν ὑμεναίων
Ηφαίστου πυρόεντος ἰδ' οὐρανίης Αφροδίτης·
καί ἑ θεὴν ὀνόμηναν Ὀλύμπιον, ἧς διὰ κάρτος
πολλάκι μὲν θανάτοιο βροτοφθόρον ἔκφυγον ἰόν,
ἐς δ' ἀρετὴν ἔχον ὄμμα· τελεσσιγόνων δ' ἀπὸ λέκτρων
ἔμπεδος ἀγλαόμητις ἀνεσταχύεσκε γενέθλη,
πάντῃ δ' ἠπιόδωρος ἔην βιότοιο γαλήνη.
ἀλλὰ καὶ ἡμετέρης ὑποδέχνυσο, πότνα, θυηλὴν
εὐεπίης· Λυκίων γὰρ ἀφ' αἵματός εἰμι καὶ αὐτός.
ψυχὴν δ' ἂψ ἀνάειρον ἀπ' αἴσχεος ἐς πολὺ κάλλος,
γηγενέος προφυγοῦσαν ὀλοΐϊον οἶστρον ἐρωῆς.

## IV. p. 445.

### ΥΜΝΟΣ ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ. Β.

Υμνέομεν σειρὴν πολυώνυμον Αφρογενείης,
καὶ πηγὴν μεγάλην βασιλήϊον, ἧς ἄπο πάντες

T. Π. ἀθάνατοι πτερόεντες ἀνεβλάστησαν Ἔρωτες·
ὧν οἱ μὲν νοεροῖσιν ὀϊστεύουσι βελέμνοις
ψυχὰς, ὄφρα πόθων ἀναγώγια κέντρα λαχοῦσαι
μητέρος ἰσχανόωσιν ἰδεῖν πυριφεγγέας αὐλάς·
οἱ δὲ πατρὸς βουλῇσιν, ἀλεξικάκοις τε προνοίαις,
ἱέμενοι γενεῇσιν ἀπείρονα κόσμον ἀέξειν,
ψυχαῖς ἵμερον ὦρσαν ἐπιχθονίου βιότοιο.
ἄλλοι δ' ἐγγαμίων ὀάρων πολυειδέας οἴμους
αἰὲν ὀπιπτεύουσιν, ὅπως θνητῆς ἀπὸ φύτλης
ἀθάνατον τεύχωσι δυηπαθέων γένος ἀνδρῶν·
πᾶσιν δ' ἔργα μέμηλεν ἐρωτοτόκου Κυθερείης.
ἀλλὰ θεὰ, πάντη γὰρ ἔχεις ἀριήκοον οὖας,
εἴτε περισφίγγεις μέγαν Οὐρανὸν, ἔνθα σε φασὶν
ψυχὴν ἀενάου πέμπειν κόσμοιο, θεείην·
εἴτε καὶ ἑπτὰ κύκλων ὑπὲρ ἄντυγας αἰθέρι ναίεις,
σειραῖς ἡμετέραις δυνάμεις προχέουσ' ἀδαμάστους·
κέκλυθι, καὶ πολύμοχθον ἐμὴν βιότοιο πορείην
ἰθύνοις σέο, πότνα, δικαιοτάτοισι βελέμνοις,
οὐχ ὁσίων παύουσα πόθων κρυόεσσαν ἐρωήν.

p. 446.

## V.

Ῥηγίνου μελάθροισι τὸν εὐάστην Διόνυσον
δέρκεο, δεξιτερῇ χειρὶ κυπελλοφόρον,
ξανθὴν μὲν σφίγγοντα καρήατος αἴθοπι κισσῷ
χαίτην, καὶ λαιῇ θυρσοφόρον παλάμῃ,
βαπτὰ δὲ πέπλα φέροντα κατὰ χροὸς αἵματι κόχλου,
καὶ στικτὴν νεβρίδων ἀμφικρεμῆ χλαμύδα.
αὐτὸν Βάκχον ἄνακτα δόμων ἔντοσθε δέδορκας,
εὐξείνων εὐχαῖς ἵλαόν ἑσταότα.

T. II.

VI.

Πρόκλος ἐγὼ Λύκιος γενόμην γένος, ὃν Συριανὸς
ἐνθάδ' ἀμοιβὸν ἑῆς θρέψε διδασκαλίης.
ξυνὸς δ' ἀμφοτέρων ὅδε σώματα δέξατο τύμβος,
αἴθε δὲ καὶ ψυχὰς χῶρος εἷς λελάχοι.

## ΜΑΡΙΝΟΥ ΝΕΑΠΟΛΙΤΟΥ.

Εἰς τὸν Πρόκλȣ βίον.

Ἀθανάτοισι θεοῖς κεχαρισμένα πάντοτε ῥέζων
καὶ τάδ' ἐπ' εὐσεβέοντι νόῳ συνέγραψε Μαρῖνος.

## ΚΛΑΥΔΙΑΝΟΥ.

p. 447.

I.

Ἵλαθί μοι, φίλε Φοῖβε· σύ γ' ἀθρόα τόξα τιταίνων
ἐβλήθης ὑπ' Ἔρωτος ἐν ὠκυπόροισιν ὀϊστοῖς.

II.

Μαχλὰς ἐϋκροτάλοισιν ἀνευάζȣσα χορείαις,
δίζυγα παλλομένοισι τινάγμασι χαλκὸν ἀράσσει·

* * * * * * * *

τῆς μὲν ὑποκλέπτων πολιὴν τρίχα, γείτονα μοίρης,
ἠλεμάτοις ἀκτῖσι χαράσσεται ὄμματος αὐγή·
ψευδόμενον δ' ἐρύθημα κατέγραφεν ἄχροος αἰδὼς,
ἀγλαΐῃ σέψασα νόθῃ κεκαλυμμένα μῆλα.

T. II.

## III.

Εἰς δοῦλον τυπτηθέντα παρ' αὐτοῦ, διὰ τὸ μὴ ἐπιδοῦναι σέλλιον ἐν ἀκροάσει.

Ἕδρην χαλκεόπεζον ἐπὶ προθύροις Ἑλικῶνος
εἰςήκει θεράπων τὶς ὑπὲρ νώτοιο μεμαρπὼς,
οὐδ' ἔθελεν μογέοντι πορεῖν ἐπίβαθρον ἀοιδῆς.
τοὔνεκά μευ θώρηξεν ἑὸν πολύμητις ἀνάγκη . . .

* * * * * *

## IV.

Εἰς κρύσταλλον ἔνδον ὕδωρ ἔχοντα.

Χιονέη κρύσταλλος ὑπ' ἀνέρος ἀσκηθεῖσα
p. 448. δεῖξεν ἀκηρασίοιο παναίολον εἰκόνα κόσμου,
οὐρανὸν ἀγκὰς ἔχοντα βαρύκτυπον ἔνδοθι πόντον.

## V.

Εἴπ' ἄγε μοι, κρύσταλλε, λίθῳ πεπυκασμένον ὕδωρ,
τίς πῆξεν; Βορέης. ἢ τίς ἔλυσε; Νότος.

---

# ΑΜΜΩΝΙΟΥ.

## I.

Ἀντιπάτραν γυμνὴν εἴ τις Πάρθοισιν ἔδειξεν,
ἔκτοθεν ἂν στηλῶν Ἡρακλέους ἔφυγον.

## II.

Εἰς Σάτυρον κρήνῃ ἐφεστῶτα, καὶ Ἔρωτα καθεύδοντα.

Εἰμὶ μὲν εὐκεράοιο φίλος θεράπων Διονύσου,
λείβω δ' ἀργυρέων ὕδατα Ναϊάδων·
θέλγω δ' ἠρεμέοντα νέον περὶ κώματι παῖδα.

## ΣΥΝΕΣΙΟΥ ΦΙΛΟΣΟΦΟΥ. T. II. p. 449.

I.

Η σοφίη στίβον εὗρεν ἐς ὐρανόν· ὦ μέγα θαῦμα·
  καὶ νόος ἐξ αὐτῶν ἦλθεν ἐπυρανίων.
ἤνιδε καὶ γυρὰ σφαίρας ἐπετάξατο νῶτα,
  ἶσα δὲ κύκλα τομαῖς ὐχ ὁμαλαῖσι τέμε.
σκέπτεο τείρεα πάντα πρὸς ἄντυγα, τῆς ἔπι Τιτὰν
  νύκτα ταλαντεύει καὶ φάος ἐρχόμενος.
δέξο ζωδιακῦ λοξώσιας, ὐδέ σε λήσει
  κλεινὰ μεσημβρινῆς κέντρα συνηλύσεως.

II.

Εἰς τὴν εἰκόνα τῆς αὐτῦ ἀδελφῆς.

Τῆς χρυσῆς εἰκὼν ἡ Κύπριδος, ἡ Στρατονίκης.

III.

Οἱ τρεῖς Τυνδαρίδαι, Κάστωρ, Ελένη, Πολυδεύκης.

## ΤΡΩΪΛΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ. p. 450.

Εἰκὼν, τίς σ' ἀνέθηκε, τίνος χάριν, ἢ τίνι; λέξον.
  ἀντὶ παλαισμοσύνης θῆκε Λύρωνι πόλις.

T. II. ## ΘΕΟΔΩΡΗΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Εἰς τὴν εἰκόνα Φιλίππȣ ἄρχοντος ἐν Σμύρνῃ.

Ἐκ Φιλαδελφείης ξεινήϊα ταῦτα Φιλίππῳ
φράζεο πῶς μνήμων ἡ πόλις εὐνομίης.

## Θ Ε Ο Σ Ε Β Ι Α Σ.

Εἶδεν Ακεςορίη τρία πένθεα. κείρατο χαίτην
πρῶτον ἐφ' Ιπποκράτει, καὶ δεύτερον ἀμφὶ Γαληνῷ·
καὶ νῦν Αβλαβίȣ γοερῷ περὶ σήματι κεῖται,
αἰδομένη μετ' ἐκεῖνον ἐν ἀνθρώποισι φανῆναι.

p. 451. ## Α Β Λ Α Β Ι Ο Υ
### ΙΛΛΟΥΣΤΡΙΟΥ.

Εἰς δίσκον Ασκληπιάδȣ.

Ηφαιςὸς μ' ἐτέλεσσε καμὼν χρόνῳ· ἀλλὰ Κυθήρη
ἀνδρὸς ἐȣ̃ θαλάμων εἵλετο λαθριδίως,
Αγχίσῃ δ' ἔπορε κρυφίης μνημήϊον εὐνῆς·
καί μ' Ασκληπιάδης εὗρε παρ' Αἰνεάδαις.

## ΤΡΥΦΩΝΟΣ T. II.

### ΤΟΥ ΕΡΜΟΥ.

Εἰς Τέρπην κιθαρῳδὸν, ἐν σκιάδι τῇ Λακωνικῇ σύκῳ βληθέντα καὶ ἀποθανόντα.

Τέρπης εὐφόρμιγγα κρέκων σκιάδεσσιν ἀοιδὰν
  κάτθανεν ἐξαπίνης ἐν Λακεδαιμονίοις,
ὐκ ἄορι πληγεὶς, ὐδ᾽ ἐν βέλει, ἀλλ᾽ ἐνὶ σύκῳ
  χείλεα. φεῦ, προφάσεων ὐκ ἀπορεῖ θάνατος.

## ΖΩΣΙΜΟΥ ΘΑΣΙΟΥ. p. 452.

### I.

Σοὶ τάδε, Πὰν θηρευτὰ, ἀνηρτήσαντο σύναιμοι
  δίκτυα, τριχθαδίης δῶρα κυναγεσίης.
Πίγρης μὲν πτανῶν, Κλείτωρ ἁλὸς, ὃς δ᾽ ἀπὸ χέρσυ,
  Δᾶμις, τετραπόδων ἀγκύλος ἰχνελάτης.
ἀλλὰ σὺ κὴν δρυμοῖσι, καὶ εἰν ἁλὶ, καὶ διὰ μέσσης
  ἠέρος εὔαγρον τοῖσδε δίδυ κάματον.

### II.

Τρισσὰ τάδε τρισσοὶ θηραγρέται, ἄλλος ἀπ᾽ ἄλλης
  τέχνης, πρὸς νηῷ Πανὸς ἔθεντο λίνα.
Πίγρης μὲν πτανοῖσιν ἐφεὶς βόλον, ἐν δ᾽ ἁλίοισι
  Κλείτωρ, ἐν θηρσὶ Δᾶμις ἐρημονόμοις.

T. II. τοὔνεκα, Πὰν, τὸν μέν τε δι' αἰθέρος, ὃν δ' ἀπὸ λόχμης,
τὸν δὲ δι' αἰγιαλῶν θὲς πολυαγρότερον.

III.

Βριθὺ μὲν ἀγραύλων τόδε δίκτυον ἄνθετο θηρῶν
Δᾶμις, καὶ Πίγρης πτηνολέτιν νεφέλην,
ἁπλόϊτατον δ' ἁλὶ τοῦτο μιτοῤῥαφὲς ἀμφίβληστρον
Κλείτωρ, εὐθήρῳ Πανὶ προσευξάμενοι.
τοὔνεκα, Πὰν, κρατερῷ πόρε Δάμιδι ληΐδα θηρῶν,
Πίγρῃ δ' οἰωνῶν, Κλείτορι δ' εἰναλίων.

p. 453. IV.

Οὐ μόνον ὑσμίνῃσι καὶ ἐν στονόεντι κυδοιμῷ
ῥύομ' ἀρειτόλμου θυμὸν Αναξιμένους,
ἀλλὰ καὶ ἐκ πόντου, ὁπότ' ἔσχισε νῆα θάλασσα,
ἀσπὶς, ἐφ' ἡμετέρης νηξάμενον σανίδος.
εἰμὶ δὲ κὴν πελάγει καὶ ἐπὶ χθονὸς ἔλπις ἐκείνῳ,
τὸν θρασὺν ἐκ διπλῶν ῥυσαμένη θανάτων.

## ΕΥΓΕΝΟΥΣ.

Εἰς εἰκόνα Ανακρέοντος.

Τὸν τοῖς μελιχροῖς Ιμέροισι σύντροφον,
Λυαῖ', Ανακρέοντα, Τήϊον κύκνον,
ἔσφηλας ὑγρῇ νέκταρος μεληδόνι·
λοξὸν γὰρ αὐτοῦ βλέμμα, καὶ περὶ σφυροῖς
ῥιφεῖσα λώπευς πέζα, καὶ μονοζυγὲς
μέθην ἐλέγχει σάνδαλον· χέλυς δ' ὅμως

τὴν εἰς Ἔρωτας ὕμνον ἀθροΐζεται· T. II.
ἀπτοῦτα τήρει τὸν γεραιόν, Εὔϊε.

---

# ΚΥΡΟΥ. p. 454.

## I.

Αἴθε πατήρ μ' ἐδίδαξε δασύτριχα μῆλα νομεύειν·
ὥς κεν ὑπὸ πτελέῃσι καθήμενος, ἢ ὑπὸ πέτρῃς
συρίσδων καλάμοισιν ἐμὰς τέρπεσκον ἀνίας.
Πιερίδες φεύγωμεν ἐΰκτιμένην πόλιν, ἄλλην
πατρίδα μαστεύσωμεν. ἀπαγγελέω δ' ἄρα πᾶσιν
ὡς ὀλοοὶ κηφῆνες ἐδηλήσαντο μελίσσας.

## II.

### ΕΙΣ ΘΕΟΔΟΣΙΟΝ ΒΑΣΙΛΕΑ.

Πάντα μὲν Αἰακίδαο φέρεις ἀριδείκετα ἔργα,
νόσφι λοχαίου ἔρωτος· ὀϊστεύεις δ' ἅτε Τεῦκρος,
ἀλλ' οὔ τοι νόθον ἦμαρ· ἔχεις δ' ἐρικυδέα μορφὴν
τὴν Ἀγαμεμνονίην, ἀλλ' οὐ φρένας οἶνος ὀρίνει·
ἐς πινυτὴν δ' Ὀδυσῆϊ δαΐφρονι πάντα σ' ἐΐσκω,
ἀλλὰ κακῶν ἀπάνευθε δόλων· Πυλίου δὲ γέροντος
ἶσον ἀποστάζεις, βασιλεῦ, μελιηδέα φωνήν,
πρὶν χρόνον ἀθρῆσαι τριτάτης ψαύοντα γενέθλης.

## III.

Τρεῖς ἐτέων δεκάδες, Μαίης χρόνος. ἐς τρία δ' ἄλλα
ἔτρεχεν, ἀλλ' Ἀΐδης πικρὸν ἔπεμψε βέλος.

III. 1. Cod. Vat. Μαύης. Fort. Μαρίης.

T. II. θηλυτέρην δ᾽ ἥρπαξε ῥόδων καλύκεσσιν ὁμοίην,
πάντ᾽ ἀπομαξαμένην ἔργα τὰ Πηνελόπης.

p. 455.

## IV.

Εἰς βαλανεῖον.

Κύπρις σὺν Χαρίτεσσι, καὶ υἱέϊ χρυσοβελέμνῳ
ἐνθάδε λυσαμένη, μισθὸν ἔδωκε χάριν.

## V.

Εἰς Σοφίαν τὴν αὐτῦ γυναῖκα.

Τῆς Σοφίης τόδ᾽ ἄγαλμα Δίκης προπάροιθε θυρέων·
ὐ γὰρ ἄνευθε δίκης ἔπρεπεν ἡ σοφίη.

## VI.

Εἰς τὴν Μαξιμίνῦ οἰκίαν.

Δείματο Μαξιμῖνος νεοπηγέος ἐνδόθι Ῥώμης,
αὐταῖς ἠϊόνεσσι θεμείλια καρτερὰ πήξας.
ἀγλαΐη δ᾽ ἐμοὶ ἀμφὶς ἀπειρεσίη τετάνυσαι.
τῇ, καὶ τῇ, καὶ ὄπισθεν ἔχω πόλιν· ἀλλὰ καὶ ἄντην
πάνθ᾽ ὁρόω γαίης Βιθυνηΐδος ἀγλαὰ ἔργα.
ἡμετέροις δ᾽ ὑπένερθεν ἐρισθενέεσσι θεμέθλοις
πόντος ἁλὸς προχοῦσι κυλίνδεται εἰς ἅλα δῖαν,
τόσσον ἐπιψαύων, ὁπόσον χθονὸς ἄκρα διῆναι.
πολλάκι δ᾽ ἐξ ἐμέθεν τις ἑὸν μέγα θυμὸν ἰάνθη,
βαιὸν ὑπερκύψας, ἐπεὶ εἴσιδεν ἄλλοθεν ἄλλα,
δένδρεα, δώματα, νῆας, ἅλα, πτόλιν, ἠέρα, γαῖαν.

## VII.

Εἰς Πινδάρῦ ἄγαλμα ἐπὶ λυτρῷ τινι ἱδρυμένον.

Πίνδαρον ἱμερόεντα παρ᾽ ὕδασι Κῦρος ἐγείρει,
ὕνεκα φορμίζων εἶπεν ΑΡΙΣΤΟΝ ΥΔΩΡ.

# ΧΡΙΣΤΟΔΩΡΟΥ ΚΟΠΤΙΤΟΥ. T. II. p. 456.

## I.

### ΕΚΦΡΑΣΙΣ ΤΩΝ ΑΓΑΛΜΑΤΩΝ ΤΩΝ ΕΙΣ ΤΟ ΔΗΜΟΣΙΟΝ ΓΥΜΝΑΣΙΟΝ ΤΟ ΕΠΙΚΑΛΟΥΜΕΝΟΝ ΤΟΥ ΖΕΥΞΙΠΠΟΥ.

ΔΗΪΦΟΒΟΣ μὲν πρῶτος ἐϋγλύπτῳ ἐπὶ βωμῷ
ἵστατο τολμήεις, κεκορυθμένος, ὄβριμος ἥρως,
τοῖος ἐών, οἷός περ ἐπορνυμένῳ Μενελάῳ
περθομένων ἤντησεν ἑῶν προπάροιθε μελάθρων.
ἵστατο δὲ προβιβῶντι πανείκελος· εὖ δ᾽ ἐπὶ κόσμῳ
δόχμιος ἦν, μανίῃ δὲ κεκυφότα νῶτα συνέλκων,
δριμὺ μένος ξυνάγειρεν· ἔλισσε δὲ φέγγος ὀπωπῆς,
οἷά τε δυσμενέων μερόπων πεφυλαγμένος ὁρμήν.
λαιῇ μὲν σάκος εὐρὺ προΐσχετο, δεξιτερῇ δὲ
φάσγανον ὑψόσ᾽ ἄειρεν· ἔμελλε δὲ μαινομένη χεὶρ
ἀνέρος ἀντιβίοιο κατὰ χροὸς ἄορ ἐλάσσαι·
ἀλλ᾽ οὐ χαλκὸν ἔθηκε φύσις πειθήμονα λύσσῃ.
Κεκροπίδης δ᾽ ἤστραπτε, νοήμονος ἄνθεμα Πειθοῦς,
ΑΙΣΧΙΝΗΣ· λασίης δὲ συνείρυε κύκλα παρειῆς,
οἷα πολυτροχάλοισιν ἀεθλεύων ἀγορῇσι·
στείνετο γὰρ πυκινῇσι μεληδόσιν. ἄγχι δ᾽ ἐκείνου
ἦεν ΑΡΙΣΤΟΤΕΛΗΣ, σοφίης πρόμος. ἱστάμενος δὲ
χεῖρε περιπλέγδην συνεέργαθεν, οὐδ᾽ ἐνὶ χαλκῷ p. 457.
ἀφθόγγῳ φρένας εἶχεν ἀεργέας, ἀλλ᾽ ἔτι βουλὴν

T. II. σκεπτομένῳ μὲν ἔικτο· συνιστάμεναι δὲ παρειαὶ
ἀνέρος ἀμφιέλισσον ἐμαντεύοντο μενοινὴν,
καὶ τροχαλαὶ σήμαινον ἀολλέα μῆτιν ὀπωπαί.
Καὶ Παιανιέων δημηγόρος ἔπρεπε σάλπιγξ,
ῥήτρης εὐκελάδοιο πατὴρ σοφὸς, ὁ πρὶν Ἀθήναις
Πειθοῦς θελξινόοιο νοήμονα πυρσὸν ἀνάψας.
ἀλλ' οὐκ ἠρεμέων διεφαίνετο, πυκνὰ δὲ βουλὴν
ἐστρώφα, πυκινὴν γὰρ ἐείδετο μῆτιν ἑλίσσειν,
οἷα κατ' εὐόπλων τεθοωμένος Ἠμαθιήων.
ἦ τάχα κεν κοτέων τροχαλὴν ἐφθέγγετο φωνὴν,
ἄπνοον αὐδήεντα τιθεὶς τύπον· ἀλλά ἑ τέχνη
χαλκείης ἐπέδησεν ὑπὸ σφραγῖδα σιωπῆς.
Ἵστατο δ' Εὐρίποιο φερώνυμος· ὡς δὲ δοκεύω,
λάθρῃ ὑπὸ κραδίην τραγικαῖς ὡμίλεε Μούσαις,
ἔργα σαοφροσύνης διανεύμενος· ἦν γὰρ ἰδέσθαι
οἷά τε που θυμέλῃσιν ἐν Ἀτθίσι θύρσα τινάσσων.
Δάφνῃ μὲν πλοκαμῖδα ΠΑΛΑΙΦΑΤΟΣ ἔπρεπε μάντις
στεφόμενος, δόκεεν δὲ χέειν μαντώδεα φωνήν.
ἩΣΙΟΔΟΣ δ' Ἀσκραῖος ὀρειάσιν εἴδετο Μούσαις
φθεγγόμενος, χαλκὸν δ' ἐβιάζετο θυιάδι λύσσῃ,
ἔνθεον ἱμείρων ἀνάγειν μέλος. ἐγγύθι δ' αὐτοῦ
μαντιπόλος πάλιν ἄλλος ἔην φοιβηΐδι δάφνῃ
κοσμηθεὶς ΠΟΛΥΕΙΔΟΣ· ἀπὸ στομάτων δὲ τινάξαι
ἤθελε μὲν κελάδημα θεοπρόπον· ἀλλά ἑ τέχνη
δεσμῷ ἀφωνήτῳ κατερήτυεν. οὐδὲ σὺ μολπῆς
p. 458. εὔνασας ἁβρὸν ἔρωτα ΣΙΜΩΝΙΔΕΣ, ἀλλ' ἔτι χορδῆς
ἱμείρεις, ἱερὴν δὲ λύρην οὐ χερσὶν ἀράσσεις.
ὤφελεν ὁ πλάσσας σε, Σιμωνίδες, ὤφελε χαλκῷ

συγκεράσαι μέλος ἡδύ· σὲ δ' ἂν καὶ χαλκὸς ἀναυδὴς T. II.
αἰδόμενος, ῥυθμοῖσι λύρης ἀντήχεε μολπήν.
Ἦν μὲν ΑΝΑΞΙΜΕΝΗΣ νοερὸς σοφός, ἐν δὲ μενοινῇ
δαιμονίης ἐλέλιζε νοήματα ποικίλα βουλῆς.

Θεστορίδης δ' ἄρα μάντις ἐΰσκοπος ἵστατο ΚΑΛΧΑΣ,
οἷά τε θεσπίζων, ἐδόκει δέ τε θέσφατα κεύθειν,
ἢ στρατὸν οἰκτείρων Ἑλλήνιον, ἢ ἔτι θυμῷ
δειμαίνων βασιλῆα πολυχρύσοιο Μυκήνης.

Δέρκεό μοι σκύμνον πτολιπόρθιον Αἰακιδάων,
ΠΥΡΡΟΝ Ἀχιλλείδην, ὅσον ἤθελε χερσὶν ἑλίσσειν
τεύχεα χαλκήεντα, τὰ μή οἱ ὤπασε τέχνη·
γυμνὸν γάρ μιν ἔτευξεν· ὁ δ' ὑψόσε φαίνετο λεύσσων,
οἷά περ ἠνεμόεσσαν ἐς Ἴλιον ὄμμα τιταίνων.

Ἧστο δ' ΑΜΥΜΩΝΗ ῥοδοδάκτυλος, εἰσοπίσω μὲν
βόστρυχον ἀκρήδεμνον ἑῆς συνέεργεν ἐθείρης·
γυμνὸν δ' εἶχε μέτωπον· ἀναστέλλουσα δ' ὀπωπὰς
εἰνάλιον σκοπίαζε μελαγχαίτην παρακοίτην.
ἐγγύθι δ' εὐρύστερνος ἐφαίνετο ΚΥΑΝΟΧΑΙΤΗΣ,
γυμνὸς ἐών, πλόκαμον δὲ καθειμένον εἶχεν ἐθείρης,
καὶ διερὸν δελφῖνα προΐσχετο, χειρὶ κομίζων
δῶρα πολυζήλοιο γάμων μνηστήρια κούρης.

Πιερικὴ δὲ μέλισσα, λιγύθροος ἕζετο ΣΑΠΦΩ
Λεσβιάς, ἠρεμέουσα· μέλος δ' εὔυμνον ὑφαίνειν
σιγαλέαις δοκέεσκεν ἀναψαμένη φρένα Μούσαις.

ΦΟΙΒΟΣ δ' εἱστήκει τριποδηλάλος. ἦν δ' ἄρα χαίτης p. 459.
εἰσοπίσω σφίγξας ἄδετον πλόκον· ἀλλ' ἐνὶ χαλκῷ
γυμνὸς ἔην, ὅτι πᾶσιν ἀνειρομένοισιν Ἀπόλλων
γυμνώσας δεδάηκεν ἀληθέα δήνεα Μοίρης,

T. II. ἢ ὅτι πᾶσιν ὁμῶς ἀναφαίνεται· ἠέλιος γὰρ
Φοῖβος ἄναξ, καθαρὴν δὲ φέρει τηλέσκοπον αἴγλην.
Ἄγχι δὲ ΚΥΠΡΙΣ ἔλαμπεν· ἔλειβε δὲ νώροπι χαλκῷ
ἀγλαΐης ῥαθάμιγγας. ἀπὸ στέρνοιο δὲ γυμνὴ
φαίνετο μὲν, φᾶρος δὲ συνήγαγεν ἄντυγι μηρῶν,
χρυσείῃ πλοκαμῖδας ὑποσφίγξασα καλύπτρῃ.
ΚΛΕΙΝΙΑΔΗΝ δὲ τέθηπα, περιστίλβοντα νοήσας
ἀγλαΐῃ· χαλκῷ γὰρ ἀνέπλεκε κάλλεος αὐγὴν,
τοῖος ἐὼν, οἷός περ ἐν Ἀτθίδι, μητέρι μύθων,
ἀνδράσι Κεκροπίδῃσι πολύφρονα μῆτιν ἄγειρεν.
ΧΡΥΣΗΣ δ' αὖθ' ἱερεὺς πέλας ἵστατο, δεξιτερῇ μὲν
σκῆπτρον ἀνασχόμενος Φοιβήϊον, ἐν δὲ καρήνῳ
στέμμα φέρων· μεγέθει δὲ κεκασμένος ἔπρεπε μορφῆς,
οἷά περ ἡρώων ἱερὸν γένος. ὡς δοκέω δὲ,
Ἀτρείδην ἱκέτευε. βαθὺς δέ οἱ ἤνθεε πώγων,
καὶ ταναῆς ἄπλεκτος ἐσύρετο βότρυς ἐθείρης.
ΚΑΙΣΑΡ δ' ἐγγὺς ἔλαμπεν ΙΟΥΛΙΟΣ, ὅς ποτε Ῥώμην
ἀντιβίων ἔστεψεν ἀμετρήτοισι βοείαις.
αἰγίδα μὲν βλοσυρῶπιν ἐπωμαδὸν ἦεν ἀείρων,
δεξιτερῇ δὲ κεραυνὸν ἀγάλλετο χειρὶ κομίζων,
οἷα Ζεὺς νέος ἄλλος ἐν Αὐσονίοισιν ἀκούων.
Εἱστήκει δὲ ΠΛΑΤΩΝ θεοείκελος, ὃ πρὶν Ἀθήναις
δείξας κρυπτὰ κέλευθα θεοκράντων ἀρετάων.
p. 460. Ἄλλην δ' εὐπατέρειαν ἴδον χρυσῆν ΑΦΡΟΔΙΤΗΝ,
γυμνὴν παμφανόωσαν· ἐπὶ στέρνων δὲ θεαίνης
αὐχένος ἐξ ὑπάτοιο χυθεὶς ἐλελίζετο κεστός.
Ἵστατο δ' ΕΡΜΑΦΡΟΔΙΤΟΣ ἐπήρατος, οὔθ' ὅλος ἀνὴρ,
οὔτε γυνή· μικτὸν γὰρ ἔην βρέτας. ἦ τάχα κούρην

Κύπριδος εὐκόλποιο καὶ Ερμάωνος ἐνίψεις. T. II.
μαζοὺς μὲν σφριγόωντας ἐδείκνυεν, οἷά τε κούρη·
σχῆμα δὲ πᾶσιν ἔφαινε φυτοσπόρον ἄρσενος αἰδοῦς,
ξυνῆς ἀγλαΐης κεκερασμένα σήματα φαίνων.

Παρθενικὴ δ' ΗΡΙΝΝΑ λιγύθροος ἕζετο κούρη,
οὐ μίτον ἀμφαφόωσα πολύπλοκον, ἀλλ' ἐνὶ σιγῇ
Πιερικῆς ῥαθάμιγγας ἀποσταλάουσα μελίσσης.

Μήτε λίπῃς ΤΕΡΠΑΝΔΡΟΝ εὔθροον, οὗ τάχα φαίης
ἔμπνοον, οὐκ ἄφθογγον ἰδεῖν βρέτας· ὡς γὰρ ὀΐω,
κινυμέναις πραπίδεσσιν ἀνέπλεκε μύστιδα μολπὴν,
ὥς ποτε δινήεντος ἐπ' Εὐρώταο ῥοάων
μυστιπόλῳ φόρμιγγι κατεπρήϋνεν ἀείδων
ἀγχεμάχων κακότητας Αμυκλαίων ναετήρων.

Ηγασάμην δ' ὁρόων σε, ΠΕΡΙΚΛΕΕΣ, ὅττι καὶ αὐτῷ
χαλκῷ ἀναυδήτῳ δημηγόρον ἦθος ἀνάπτεις,
ὡς ἔτι Κεκροπίδῃσι θεμιστεύων πολιήταις,
ἢ μόθον ἐντύνων Πελοπήϊον. ἱστάμενος δὲ
ἔπρεπε ΠΥΘΑΓΟΡΑΣ Σάμιος σοφὸς, ἀλλ' ἐν Ολύμπῳ
ἐνδιάειν δοκέεσκε, φύσιν δ' ἐβιάζετο χαλκοῦ,
πλημμύρων νοερῇσι μελήδοσιν· ὡς γὰρ ὀΐω,
οὐρανὸν ἀχράντοισιν ἐμέτρεε μοῦνον ὀπωπαῖς.

ΣΤΗΣΙΧΟΡΟΝ δ' ἐνόησα λιγύθροον, ὃν ποτε γαῖα p. 461.
Σικελίη μὲν ἔφερβε, λύρης δ' ἐδίδασκεν Απόλλων
ἁρμονίην, ἔτι μητρὸς ἐνὶ σπλάγχνοισιν ἐόντα.
τοῦ γὰρ τικτομένοιο καὶ ἐς φάος ἄρτι μολοῦντος
ἔκποθεν ἠερόφοιτος ἐπὶ στομάτεσσιν ἀηδὼν
λάθρῃ ἐφεζομένη λιγυρὴν ἀνεβάλλετο μολπήν.

T. II. Χαῖρέ μοι Ἀβδήρων ΔΗΜΟΚΡΙΤΕ κῦδος ἀρούρης,
ὅττι σὺ καλλιτόκοιο Φυῆς ἐφράσσαο θεσμοὺς,
λεπτὰ διακρίνων πολυΐδμονος ὄργια Μούσης,
αἰεὶ δὲ σφαλερὰς ἐγέλας βιότοιο κελεύθους,
εὖ εἰδὼς ὅτι πάντα γέρων παραμείβεται αἰών.
ΗΡΑΚΛΕΗΣ δ' ἀνίουλον ἐδείκνυε κύκλον ὑπήνης
μῆλα λεοντοφόνῳ παλάμῃ χρύσεια κομίζων,
γαίης ὄλβια δῶρα Λιβυστίδος. ἐγγύθι δ' αὐτοῦ
Παλλάδος ἀρήτειρα παρίστατο παρθένος ΑΥΓΗ,
φᾶρος ἐπιστείλασα κατωμαδόν· οὐδ' ἄρ' ἔθειρας
κρηδέμνῳ συνέεργεν· ἐὰς δ' ἀνετείνετο χεῖρας,
οἷά τε κικλήσκουσα Διὸς γλαυκώπιδα κούρην,
Ἀρκαδικῆς Τεγέης ὑπὸ δειράδας. Ἵλαθι γαίης
Τρωϊάδος βλάστημα σακεσπάλον, ἵλαθι λάμπων
ΑΙΝΕΙΑ, Τρώων βουληφόρε· σαῖς γὰρ ὀπωπαῖς
ἀγλαΐης πνείουσα σοφὴ περιλείβεται αἰδὼς,
θέσκελον ἀγγέλλουσα γένος χρυσῆς Ἀφροδίτης.
Ἠγασάμην δὲ ΚΡΕΟΥΣΑΝ ἰδὼν πενθήμονι κόσμῳ,
σύγγαμον Αἰνείαο κατάσκιον· ἀμφὶ γὰρ αὐταῖς
ἀμφοτέραις κρήδεμνον ἐφελκύσασα παρειαῖς,
πάντα πέριξ ἐκάλυψε ποδηνεκέϊ χρόα πέπλῳ,
οἷά τε μυρομένη. τὰ δὲ χάλκεα δάκρυα νύμφης
p. 462. Ἀρεῒ δουρίκτητον ἐμαντεύοντο τιθήνην,
Ἴλιον, Ἀργείοισιν ἐελμένον ἀσπιδιώταις.
Οὐδ' ΕΛΕΝΟΣ κοτέων ἀνεπαύετο· πατρὶ δὲ νηλῆς
φαίνετο δινεύων ἔτι που χόλον· ἣν μὲν ἀείρων
δεξιτερῇ φιάλην ἐπιλοίβιον· ὡς δοκέω δὲ,

ἐσθλὰ μὲν Ἀργείοις μαντεύετο, καδδὲ τιθήνης T. II.
ἀθανάτοις ἠρᾶτο πανύστατα σήματα φαίνειν.
ΑΝΔΡΟΜΑΧΗ δ' ἕστηκε ῥοδόσφυρος Ἠετιώνη,
οὔτι γόον στάλαουσα πολύστονον· ὡς γὰρ ὀΐω,
οὔπω ἐνὶ πτολέμῳ κορυθαίολος ἤριπεν Ἕκτωρ,
οὐδὲ φερεσσακέων ὑπερήνορες υἷες Ἀχαιῶν
Δαρδανίην ξύμπασαν ἐληΐσσαντο τιθήνην.

Ην δ' ἐσιδεῖν ΜΕΝΕΛΑΟΝ ἀρήϊον, ἀλλ' ἐπὶ νίκῃ
γηθόσυνον· σχεδόθεν γὰρ ἐθάλπετο χάρματι πολλῷ
δερκόμενος ῥοδόπηχυν ὁμόφρονα Τυνδαρεώνην.

Ηγασάμην δ' ΕΛΕΝΗΣ ἐρατὸν τύπον, ὅττι καὶ αὐτῷ
χαλκῷ κόσμον ἔδωκε πανίμερον· ἀγλαΐη γὰρ
ἔπνεε θερμὸν ἔρωτα καὶ ἀψύχῳ ἐνὶ τέχνῃ.

Πυκναῖς δὲ πραπίδεσσιν ἀγάλλετο δῖος ΟΔΥΣΣΕΥΣ·
οὐ γὰρ ἔην ἀπάνευθε πολυτρέπτοιο μενοινῆς,
ἀλλ' ἔτι κόσμον ὕφαινε σοφῆς φρενός. ἦν δ' ἐνὶ θυμῷ
καγχαλόων· Τροίην γὰρ ἐγήθεε πᾶσαν ὀλέσσας
ᾗσι δολοφροσύνῃσι. σὺ δ' Ἕκτορος ἔννεπε μῆτερ,
τίς σε, πολυτλήμων ΕΚΑΒΗ, τίς δάκρυα λείβειν
ἀθανάτων ἐδίδαξεν ἀφωνήτῳ ἐνὶ κόσμῳ;
οὐδέ σε χαλκὸς ἔπαυσεν ὀϊζύος, οὐδέ σε τέχνη
ἄπνοος οἰκτείρασα δυσαλθέος ἔσχεθε λύσσης·
ἀλλ' ἔτι δακρυχέουσα παρίστασαι· ὡς δὲ δοκεύω, p. 463.
οὐκ ἔτι δυστήνου μόρον Ἕκτορος, οὐδὲ ταλαίνης
Ἀνδρομάχης βαρὺ πένθος ὀδύρεαι, ἀλλὰ πεσοῦσαν
πατρίδα σήν. φᾶρος γὰρ ἐπικρεμὲς ἀμφὶ προσώπῳ
πήματα μὲν δείκνυσιν· ἀπαγγέλλουσι δὲ πέπλοι

T. II. πένθος ὑποβρύχιον κεχαλασμένοι ἄχρι πεδίλων.
ἄλγεϊ γὰρ πυμάτῳ δέδεσαι φρένα, καὶ δὲ παρειῆς
δάκρυα μὲν σταλάεις· τὸ δὲ δάκρυον ἔσβεσε τέχνη
ἄπλετον ἀγγέλλουσα δυσαλθέος αὐχμὸν ἀνίης.

ΚΑΣΣΑΝΔΡΗΝ δ' ἐνόησα θεοπρόπον· ἀλλ' ἐνὶ σιγῇ
μεμφομένη γενετῆρα, σοφῆς ἀνεπίμπλατο λύσσης,
οἷά τε θεσπίζουσα πανύστατα πήματα πάτρης.

ΠΥΡΡΟΣ δ' ἄλλος ἔην πτολιπόρθιος· οὐκ ἐπὶ χαίτης
ἱππόκομον τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων·
ἀλλ' ἄρα γυμνὸς ἔλαμπε, καὶ ἄχνοον εἶχεν ὑπήνην·
δεξιτερὴν δ' ἀνέτεινεν, ἑῆς ἐπιμάρτυρα νίκης,
λοξὰ Πολυξείνην βαρυδάκρυον ὄμματι λεύσσων.

Εἰπὲ ΠΟΛΥΞΕΙΝΗ δυσπάρθενε, τίς τοι ἀνάγκη
χαλκῷ ἐν ἀφθόγγῳ κεκρυμμένα δάκρυα λείβειν;
πῶς δὲ τεῷ κρήδεμνον ἐπειρύσσασα προσώπῳ
ἔστασαι, αἰδομένῃ μὲν ἀλίγκιος, ἀλλ' ἐνὶ θυμῷ
πένθος ἔχεις; μὴ δή σε τεὸν πτολίεθρον ὀλέσσας
ληΐδα Πύρρος ἔχει Φθιώτιος, οὐδέ σε μορφὴ
ῥύσατο, τοξεύσασα Νεοπτολέμοιο μενοινήν,
ἥ ποτε θηρεύσασα τεοῦ γενετῆρα φονῆος
εἰς λίνον αὐτοκέλευστον ἀελπέας ἦγεν ὀλέθρου;
ναὶ μὰ τὸν ἐν χαλκῷ νοερὸν τύπον, εἴ νύ σε τοίην
ἔδρακε Πύρρος ἄναξ, τάχα κεν ξυνήονα λέκτρων
p. 464. ἤγετο, πατρῴης προλιπὼν μνημήϊα μοίρης.

Ἠγασάμην δ' ΑΙΑΝΤΑ, τὸν ὀβριμόθυμος Ὀϊλεὺς
Λοκρίδος ἐσπέρμηνε πελώριον ἕρκος ἀρούρης.
φαίνετο μὲν νεότητι κεκασμένος· οὐδὲ γὰρ ἦεν
ἄνθεϊ λαχνήεντι γενειάδος ἄκρα χαράξας·

γυμνὸν δ' εἶχεν ἅπαν στιβαρὸν δέμας· ἠνορέῃ δὲ T. II.
βεβριθώς, ἐλέλιζε μαχήμονος οἶστρον Ἐνυοῦς.
Αἰδομένῳ μὲν ἔοικεν ὁ βουκόλος· εἶχε δ' ὀπωπὴν
πλαζομένην ἑτέρωσε δυσίμερος· αἴδετο γάρ που
ΟΙΝΩΝΗΝ βαρύδακρυν ἰδεῖν, Κεβρηνίδα νύμφην.
Οἰνώνη δὲ χόλῳ φρένας ἔζεεν ἔζεε πικρῷ
ζήλῳ θυμὸν ἔδουσα, ΠΑΡΙΝ δ' ἐπέλευσσε λαθοῦσα
ὄμματι μαινομένῳ· κρυφίην δ' ἤγγειλεν ἀπειλήν,
δεξιτερῇ βαρύποτμον ἀναινομένη παρακοίτην.
Αὐαλέῳ δὲ ΔΑΡΗΣ ἐζώννυτο χεῖρας ἱμάντι,
πυγμαχίης κήρυκα φέρων χόλον· ἠνορέης δὲ
ἔπνεε θερμὸν ἄημα πολυστρέπτοισιν ὀπωπαῖς.
ΕΝΤΕΛΛΟΣ δὲ Δάρητος ἐναντίον ὄμμα τιταίνων
γυιοτόρους μύρμηκας ἐμαίνετο χερσὶν ἑλίσσων·
πυγμαχίης δ' ὤδινε φόνων διψῶσαν ἀπειλήν.
Ἦν δὲ παλαισμοσύνην δεδαημένος ὄβριμος ἀνήρ.
εἰ δὲ ΦΙΛΩΝ ἤκουε πελώριος, εἴτε ΦΙΛΑΜΜΩΝ,
εἴτε ΜΙΛΩΝ Σικελῆς ἔρυμα χθονός, οἶδεν Ἀπόλλων·
οὐ γὰρ ἐγὼ δεδάηκα διακρῖναι καὶ ἀεῖσαι
οὔνομα θαρσαλέου κλυτὸν ἀνέρος. ἀλλὰ καὶ ἔμπης
ἔπνεεν ἠνορέης· λάσιος δέ οἱ ἕλκετο πώγων,
καὶ φόβον ἠκόντιζον ἀεθλητῆρα παρειαί,
καὶ κεφαλῆς ἔφρισσον ἐθειράδες· ἀμφὶ δὲ πυκνοῖς p. 465.
μυῶνες μελέεσσιν ἀνοιδαίνοντο ταθέντες
τρηχαλέοι· δοιοὶ δέ, συνισταμένων παλαμάων,
εὐρέες ἐσφηκῶντο βραχίονες, ἠΰτε πέτραι,
καὶ παχὺς ἀλκήεντι τένων ἐπανίστατο νώτῳ,
αὐχένος εὐγνάπτοιο περὶ πλατὺν αὐλὸν ἀνέρπων.

T. II. Δέρκεό μοι ΧΑΡΙΔΗΜΟΝ, ὃς Ατθίδος ἡγεμονεύων,
Κεκροπίδην στρατὸν εἶχεν ἑῆς πειθήμονα βουλῆς.
Η κεν ἰδὼν ἀγάσαιο ΜΕΛΑΜΠΟΔΑ. μαντιπόλου μὲν
ἱερὸν εἶδος ἔφαινεν· ἐῴκει δὲ θέσπιδος ὀμφῆς
σιγηλοῖς στομάτεσσι θεοπρόπον ἆσθμα τιταίνειν.
ΠΑΝΘΟΟΣ ἦν Τρώων βουληφόρος, ἀλλ' ἔτι δεινὴν
οὔπω μῆτιν ἔπαυσε κατ' Αργείων στρατιάων.
Δημογέρων δὲ νόημα πολύπλοκον εἶχε ΘΥΜΟΙΤΗΣ,
ἀμφασίης πελάγεσσιν ἐελμένος· ἦ γὰρ ἐῴκει
σκεπτομένῳ τινὰ μῆτιν ἔτι Τρώεσσιν ὑφαίνειν.
Εἱστήκει ΚΑΤΤΙΟΣ μὲν ἀμήχανος· εἶχε δὲ δοιὰς
χεῖρας ὁμοπλεκέας, κρυφίης κήρυκας ἀνίης.
ΛΑΜΠΟΣ δ' ἀχνυμένῳ ἐναλίγκιος ἦεν ἰδέσθαι·
οὐ γὰρ ἔτι φρεσὶν εἶχε κυλινδομένοιο κυδοιμοῦ
τειρομένοις Τρώεσσι τεκεῖν παιήονα βουλήν.
Χαῖρε φάος ῥήτρης ΙΣΟΚΡΑΤΕΣ, ὅττι σὺ χαλκῷ
κόσμον ἄγεις· δοκέεις γὰρ ἐπίφρονα μήδεα φαίνειν,
εἰ καὶ ἀφωνήτῳ σε πόνῳ χαλκεύσατο τέχνη.
p. 466. Ἔστε δ' ΑΜΦΙΑΡΗΟΣ ἔχων περιλαμπέα χαίτην
στέμματι δαφναίῳ· κρυφίην δ' ἐλέλιζεν ἀνίην,
θεσπίζων ὅτι πᾶσι λυρόκτιτος ἀνδράσι Θήβη
ἀνδράσιν Αργείοισιν ὑπότροπον ἦμαρ ὀλέσσει.
ΑΓΛΑΟΣ ἑστήκει χρησμηγόρος, ὄντινα φασὶ
μαντιπόλου γενετῆρα θεοφραδέος Πολυΐδου·
εὐπετάλῳ δὲ κόμας ἐστεμμένος ἔπρεπε δάφνῃ.
Εἶδον ἀκερσεκόμην ΕΚΑΤΟΝ θεὸν, εἶδον ἀοιδῆς
κοίρανον, ἀτμήτοισι κεκασμένον ἄνθεσι χαίτης·
εἶχε γὰρ ἀμφοτέροισι κόμης μεμερισμένον ὤμοις

βόστρυχον αὐτοέλικτον· ἔλισσε δὲ μάντιν ὀπωπήν, T. II.
οἷά τε μαντοσύνῃ μεροπήια πήματα λύων.
Γυμνὸς δ' ὀβριμόθυμος ἔην Τελαμώνιος ΑΙΑΣ,
μήπω πρῶτον ἴουλον ἔχων· ἐκέκαστο δὲ μορφῆς
ἄνθεσι πατρῴης· πλοκάμους δ' ἐσφίγγετο μίτρῃ·
οὐ γὰρ ἔην τρυφάλειαν ἔχων, οὐκ ἔγχος ἑλίσσων,
οὐ σάκος ἑπταβόειον ἐπωμαδόν, ἀλλὰ τοκῆος
θαρσαλέην ἀνέφαινεν ἀγηνορίην Τελαμῶνος.
Ἵστατο ΣΑΡΠΗΔΩΝ Λυκίων πρόμος. ἠνορέῃ μὲν
φρικτὸς ἔην· ἁπαλοῖς δὲ νεοτρεφέεσσιν ἰούλοις
οἴνοπος ἄκρα χάρασσε γενειάδος. ἀμφὶ δὲ χαίταις
εἶχε κόρυν. γυμνὸς μὲν ἔην δέμας, ἀλλ' ἐνὶ μορφῇ
σπέρμα Διὸς σήμαινεν· ἀπ' ἀμφοτέρης γὰρ ὀπωπῆς
μαρμαρυγὴν ἀνέπεμπεν ἐλευθερίου γενετῆρος.
Καὶ τρίτος εὐχαίτης τριποδηλάλος ἦεν ΑΠΟΛΛΩΝ,
καλὸς ἰδεῖν· πλόκαμος γὰρ ἕλιξ ἐπιδέδρομεν ὤμοις
ἀμφοτέροις· ἐρατὴ δὲ θεοῦ διεφαίνετο μορφή, p. 467.
χαλκῷ κόσμον ἄγουσα. θεὸς δ' ἐπίταινεν ὀπωπήν,
οἷά τε μαντιπόλοισιν ἐπὶ τριπόδεσσι δοκεύων.
Καὶ τριτάτην θάμβησα πάλιν χρυσῆν ΑΦΡΟΔΙΤΗΝ
φάρεϊ κόλπον ἔχουσαν ἐπίσκιον· ἀμφὶ δὲ μαζοῖς
κεστὸς ἕλιξ κεχάλαστο, χάρις δ' ἐνενήχετο κεστῷ.
Αἰχμητὴς δ' ἀνίουλος ἐλάμπετο δῖος ΑΧΙΛΛΕΥΣ,
γυμνὸς ἐὼν κόρυθος. δοκέεσκε μὲν ἔγχος ἑλίσσειν
δεξιτερῇ, σκαιῇ δὲ σάκος χαλκεῖον ἀείρειν,
σχήματι τεχνήεντι· μόθου δ' ἀνέπεμπεν ἀπειλὴν

292. Vulgo ἐὼν σακέων, ἐδόκευε μ.

T. II. θάρσεϊ τολμήεντι τεθηγμένος· αἱ γὰρ ὀπωπαὶ
γνήσιον ἦθος ἔφαινον ἀρήϊον Αἰακιδάων.
Ην δὲ καὶ ΕΡΜΕΙΗΣ χρυσόῤῥαπις· ἱστάμενος δὲ
δεξιτερῇ πτερόεντος ἀνείρυε δεσμὰ πεδίλου,
εἰς ὁδὸν ἀΐξαι λελιημένος· εἶχε γὰρ ἤδη
δεξιὸν ὀκλάζοντα θοὸν πόδα, τῷ ἔπι λαιὴν
χεῖρα ταθεὶς ἀνέπεμπεν ἐς αἰθέρα κύκλον ὀπωπῆς,
οἷά τε πατρὸς ἄνακτος ἐπιτρωπῶντος ἀκούων.
Καὶ νοερῆς ἄφθεγκτα Λατινίδος ὄργια Μούσης
ἄζετο παπταίνων ΑΠΥΛΗΪΟΣ, ὅντινα μύστην
Αὐσονὶς ἀῤῥήτου σοφίης ἀνεθρέψατο Σειρήν.
Φοίβου δ' οὐρεσίφοιτος ὁμόγνιος ἵστατο κούρη
ΑΡΤΕΜΙΣ, ἀλλ' οὐ τόξον ἐκηβόλον, οὐδὲ φαρέτρην
ἰοδόκον ἀνέχουσα κατωμαδόν· ἦν δ' ἐπὶ γούνων
παρθένιον λεγνωτὸν ἀναζωσθεῖσα χιτῶνα,
καὶ τριχὸς ἀκρήδεμνον ἀνιεμένη πλόκον αὔραις.
p. 468. Εμφρονα χαλκὸν ΟΜΗΡΟΣ ἐδείκνυεν, οὔτε μενοινῆς
ἄμμορον, οὔτε νόου κεχρημένον, ἀλλ' ἄρα μούνης
φωνῆς ἀμβροσίης, ἀνέφαινε δὲ θυιάδα τέχνην.
ἦ καὶ χαλκὸν ἔχευεν ὁμοῦ θεὸς εἴδεϊ μορφῆς·
οὐ γὰρ ἐγὼ κατὰ θυμὸν ὀΐομαι ὅττι μιν ἀνὴρ
ἐργοπόνος χάλκευσε παρ' ἐσχαρεῶνι θαάσσων.
ἀλλ' αὐτὴ πολύμητις ἀνέπλασε χερσὶν Αθήνη,
εἶδος ἐπισταμένη τό τ' ἐφώκεεν· ἐν γὰρ Ομήρῳ
αὐτὴ ναιετάουσα σοφὴν ἐφθέγγετο μολπήν,
σύννομος Απόλλωνι· πατὴρ δ' ἐμός, ἰσόθεος φώς,

311. Scr. χαλκὸς ΟΜΗΡΟΝ l. 320. δ' om. Cod. Vat.

ἵστατο θεῖος Ὅμηρος. ἐΐκτο μὲν ἀνδρὶ νοῆσαι T. II.
γηραλέῳ· τὸ δὲ γῆρας ἔην γλυκύ· τοῦτο γὰρ αὐτῷ
πλειοτέρην ἔσταξε χάριν. κεκέραστο δὲ κόσμῳ
αἰδοίῳ τε φίλῳ τε· σέβας δ' ἀπελάμπετο μορφῆς.
αὐχένι μὲν κύπτοντι γέρων ἐπεσύρετο βότρυς
χαίτης, εἰσοπίσω πεφορημένος· ἀμφὶ δ' ἀκουὰς
πλαζόμενος κεχάλαστο. κάτω δ' εὐρύνετο πώγων
ἀμφιταθεὶς, μαλακὸς δὲ καὶ εὔτροχος· οὐδὲ γὰρ ἦεν
ὀξυτενὴς, ἀλλ' εὐρὺς ἐπέπτατο, κάλλος ὑφαίνων
στήθεϊ γυμνωθέντι, καὶ ἱμερόεντι προσώπῳ.
γυμνὸν δ' εἶχε μέτωπον· ἐπ' ἀπλοκάμῳ δὲ μετώπῳ
ἧστο σαοφροσύνη κουροτρόφος. ἀμφὶ δ' ἄρ' ὀφρῦς
ἀμφοτέρας προβλῆτας ἐΰσκοπος ἔπλασε τέχνη·
οὔτι μάτην· φαέων γὰρ ἐρημάδες ἦσαν ὀπωπαί.
ἀλλ' οὐκ ἦν ἀλαῷ ἐναλίγκιος ἀνδρὶ νοῆσαι.
ἕζετο γὰρ κενεοῖς χάρις ὄμμασιν· ὡς δὲ δοκεύω,
τέχνη τοῦτ' ἐτέλεσσεν, ὅπως πάντεσσι φανείη
φέγγος ὑπὸ κραδίην σοφίης ἄσβεστον ἀείρων.
δοιαὶ μὲν ποτὶ βαιὸν ἐκοιλαίνοντο παρειαὶ,
γήραϊ ῥικνήεντι κατάσχετοι· ἀλλ' ἐν ἐκείναις
αὐτογενὴς, Χαρίτεσσι συνέστιος, ἵζανεν Αἰδώς. p. 469.
Πιερικὴ δὲ μέλισσα περὶ στόμα θεῖον ἀλᾶτο
κηρίον ὠδίνουσα μελισταγές. ἀμφοτέρας δὲ
χεῖρας ἐπ' ἀλλήλαισι τιθεὶς ἐπερείδετο ῥάβδῳ,
οἷά περ ἐν ζωοῖσιν. ἑὴν δ' ἔκλινεν ἀκουὴν
δεξιτερὴν, δόκεεν δὲ καὶ Ἀπόλλωνος ἀκούειν,
ἢ καὶ Πιερίδων τινὸς ἐγγύθεν. ἐν δ' ἄρα θυμῷ
σκεπτομένῳ μὲν ἔικτο· νόος δέ οἱ ἔνθα καὶ ἔνθα

Τ. II. ἐξ ἀδύτων πεφόρητο πολυτρέπτοιό μενοινῆς,
Πιερικῆς Σειρῆνος ἀκήριον ἔργον ὑφαίνων.
Καὶ Σύριος σελάγιζε σαοφροσύνῃ ΦΕΡΕΚΥΔΗΣ
ἱστάμενος· σοφίης δὲ θεουδέα κέντρα νομεύων,
οὐρανὸν ἐσκοπίαζε, μετάρσιον ὄμμα τιταίνων.
Καὶ σοφὸς ΗΡΑΚΛΕΙΤΟΣ ἔην, θεοείκελος ἀνὴρ,
ἔνθεον ἀρχαίης Ἐφέσου κλέος, ὅς ποτε μοῦνος
ἀνδρομέης ἔκλαιεν ἀνάλκιδος ἔργα γενέθλης.
Καὶ τύπος ἁβρὸς ἔλαμπεν ἀριστονόοιο ΚΡΑΤΙΝΟΥ,
ὅς ποτε δημοβόροισι πολισσούχοισιν Ἰώνων
θυμοδακεῖς ἐθόωσεν ἀκοντιστῆρας ἰάμβους,
κῶμον ἀεξήσας φιλοπαίγμονος ἔργον ἀοιδῆς.
Ἑστήκει δὲ ΜΕΝΑΝΔΡΟΣ, ὃς εὐπύργοισιν Ἀθήναις
ὁπλοτέρου κώμοιο σελασφόρος ἔπρεπεν ἀστήρ.
πολλάων γὰρ ἔρωτας ἀνέπλασε παρθενικάων,
καὶ Χαρίτων θεράποντας ἐγείνατο παῖδας ἰάμβους,
ἅρπαγας οἰστρήεντας ἀεδνώτοιο κορείης,
μίξας σεμνὸν ἔρωτι μελίφρονος ἄνθος ἀοιδῆς.
p. 470. ΑΜΦΙΤΡΥΩΝ δ᾽ ἤστραπτεν, ἀπειρογάμῳ τρίχα δάφνῃ
στεψάμενος. πᾶσιν μὲν ἐΰσκοπος εἴδετο μάντις·
ἀλλ᾽ οὐ μάντις ἔην. Ταφίης δ᾽ ἐπὶ σήματι νίκης
στέμμα πολυστρέπτοισιν ἐπάρμενον εἶχεν ἐθείραις,
Ἀλκμήνης μενέχαρμος ἀριστοτόκου παρακοίτης.
ΘΟΥΚΥΔΙΔΗΣ δ᾽ ἐλέλιζεν ἑὸν νόον. ἦν δὲ νοῆσαι
οἷά περ ἱστορίης δημηγόρον ἦθος ὑφαίνων.
δεξιτερὴν γὰρ ἀνέσχε μετάρσιον, ὡς πρὶν ἀείδων
Σπάρτης πατρὸν Ἄρηα, καὶ αὐτῶν Κεκροπιδάων,
Ἑλλάδος ἀμητῆρα πολυθρέπτοιο τιθήνης.

Οὐδ' Αλικαρνησσοῦ με παρέδραμε θέσπις ἀοιδὸς, T. II.
ΗΡΟΔΟΤΟΣ πολυΐδρις, ὃς ὠγυγίων κλέα φωτῶν,
ὅσσα περ ἠπείρων δυὰς ἤγαγεν, ὅσσα περ αἰὼν
ἔδρακεν ἑρπύζων, ἐνάταις ἀνεθήκατο Μούσαις,
μίξας εὐεπίῃσιν Ιωνίδος ἄνθεα φωνῆς.
Θήβης δ' Ὠγυγίης Ελικώνιος ἵστατο κύκνος,
ΠΙΝΔΑΡΟΣ ἱμερόφωνος, ὃν ἀργυρότοξος Απόλλων
ἔτρεφε Βοιωτοῖο παρὰ σκοπιὴν Ελικῶνος,
καὶ μέλος ἁρμονίης ἐδιδάξατο. τικτομένου γὰρ
ἑζόμεναι λιγυροῖσιν ἐπὶ στομάτεσσι μέλισσαι
κηρὸν ἀνεπλάσσαντο, σοφῆς ἐπιμάρτυρα μολπῆς.
ΞΕΙΝΟΦΟΩΝ δ' ἤστραπτε, φεράσπιδος ἀστὸς Αθήνης,
ὃς πρὶν Αχαιμενίδαο μένος Κύροιο λιγαίνων,
εἵπετο φωνήεντι Πλατωνίδος ἤθεϊ Μούσης,
ἱστορίης φιλάεθλου ἀριστώδινος ὀπώρην
συγκεράσας βαθύμιγξι φιλαγρύπνοιο μελίσσης.
Ἵστατο δ' Αλκμαίων κεκλημένος οὔνομα μάντις.
ἀλλ' οὐ μάντις ἔην ὁ βοώμενος, οὐδ' ἐπὶ χαίτης p. 471.
δάφνης εἶχε κόρυμβον. ἐγὼ δ' ΑΛΚΜΑΝΑ δοκεύω,
ὃς πρὶν εὐφθόγγοιο λύρης ἠσκήσατο τέχνην,
Δώριον εὐκελάδοισι μέλος χορδῇσιν ὑφαίνων.
Καὶ πρόμος εὐκαμάτων ΠΟΜΠΗΪΟΣ Αὐσονιήων
φαιδρὸν Ισαυροφόνων κειμήλιον ἠνορεάων,
στειβομένας ὑπὸ ποσσὶν Ισαυρίδας εἶχε μαχαίρας,
σημαίνων ὅτι δοῦλον ὑπὸ ζυγὸν αὐχένα Ταύρου
εἴρυσεν, ἀρρήκτῳ πεπεδημένον ἅμματι Νίκης.
κεῖνος ἀνὴρ, ὃς πᾶσιν ἔην φάος, ὃς βασιλῆος
ἠγαθέην ἐφύτευσεν Αναστασίοιο γενέθλην.

T. II. τοῦτο δὲ πᾶσιν ἔδειξεν ἐμὸς σκηπτοῦχος ἀμύμων,
δηώσας σακέεσσιν Ισαυρίδος ἔθνεα γαίης.

Ιςατο δ' ἄλλος ΟΜΗΡΟΣ, ὃν οὐ πρόμον εὐεπιάων
θέσκελον υἷα Μέλητος ἐϋῤῥείοντος ὀΐω·
ἀλλ' ὃν Θρηϊκίῃσι παρ' ᾐόσι γείνατο μήτηρ
Μυρὼ κυδαλίμη Βυζαντιὰς, ἣν ἔτι παιδνὴν
ἔτρεφον εὐεπίης ἡρωΐδος ἴδμονα Μοῦσαι.
κεῖνος ἄρα τραγικῆς πινυτὴν ἠσκήσατο τέχνην,
κοσμήσας ἐπέεσσιν ἑὴν Βυζαντίδα πάτρην.

Καὶ φίλος Αὐσονίοισι λιγύθροος ἔπρεπε κύκνος
πνείων εὐεπίης ΒΙΡΓΙΛΛΙΟΣ ὅν ποτε Ρώμης
Θυμβριὰς ἄλλον Ὅμηρον ἀνέτρεφε πάτριος ἠχώ.

p. 472.

## II.

Κλεινὸς Ιωάννης Επιδάμνιος ἐνθάδε κεῖται,
τηλεφανὴς ὑπάτων κόσμος ἀριφανέων·
ὃ γλυκύ μοι Μουσέων πετάσας φάος, ὃ πλέον ἄλλων
εὐρύνας ξενίου δαίμονος ἐργασίην,
παμφόρβην παλάμην κεκτημένος, ἥντινα μούνην
οὐκ ἴδε δωτίνης μέτρον ὁριζομένην.
αἰπυτάτην δ' ηὔξησε [νόμοις πα] τρίσσισιν ἀπήνην,
φαιδρύνας καθαρῆς ἔργα Δικαιοσύνης.
ὢ πόποι, οὐκ ἔζησε πολὺν χρόνον· ἀλλ' ἐνιαυτοὺς
μοῦνον ἀνακλήσας τεσσαράκοντα δύο,
ᾤχετο μουσοπόλοισι ποθὴν πάντεσσιν ἐάσας,
οὓς ἐπόθει πατέρων φέρτερα γειναμένων.

III

II. 1. Cod. αὐτὸς Ἰω. 2. Cod. ἀειφανέων. 6. Cod. ὀριζόμενον
7. Verba νόμοις πα abſunt a Cod. 11. Cod. ἰάσσας.

III. T. II.

Οὗτος Ἰωάννην κρύπτει τάφος, ὅς ῥ᾽ Ἐπιδάμνου
ἄστρον ἔην. ἣν δὴ παῖδες ἀριπρεπέες
ἔκτισαν Ἡρακλῆος· ὅθεν καὶ μέρμερος ἥρως
αἰεὶ τῶν ἀδίκων σκληρὸν ἔκοπτε μένος.
ἦχε δ᾽ ἀπ᾽ εὐσεβέων προγόνων ἐρικυδέα πάτρην
Λυχνιδὸν, ἣν Φοῖνιξ Κάδμος ἔδειμε πόλιν·
ἔνθεν λύχνος ἔην Ἑλικώνιος, οὕνεκα Κάδμος
στοιχείων Δαναοῖς πρῶτος ἔδειξε τύπον.
εἰς ὑπάτους δ᾽ ἀνέλαμψε. καὶ Ἰλλυριοῖσι δικάζων,
Μούσας καὶ καθαρὴν ἐστεφάνωσε Δίκην.

---

# ΙΣΙΔΩΡΟΥ P. 473.

## ΑΙΓΕΑΤΟΥ.

I.

Πάλυπον ἀγρεύσας ποτὲ Τύννιχος, ἐξ ἁλὸς εἰς γῆν
ἔῤῥιψεν, δείσας θηρὸς ἱμαντοπέδην.
ἀλλ᾽ ὅ γ᾽ ἐφ᾽ ὑπνώοντα πεσὼν συνέδησε λαγωὸν,
φεῦ, τάχα θηρευτὰς ἄρτι φυγόντα κύνας.
ἀγρευθεὶς δ᾽ ἤγρευσεν. ὁ δ᾽ εἰς ἅλα Τύννιχος ἰχθὺν
ἧκε πάλιν, ζωῆς λύτρα λαγωὸν ἔχων.

II.

Τὸ χῶμα, τύμβος ἐστίν· ἀλλὰ τὼ βόε
ἐπίσχες οὗτος, τὴν ὕνιν τ᾽ ἀνάσπασον·
κινεῖς σποδὸν γάρ. ἐς δὲ τοιαύτην κόνιν
μὴ σπέρμα πυρῶν, ἀλλὰ χεῦε δάκρυα.

T. II.

## III.

Ἐκ με γεωμορίης Ἐτεοκλέα πόντιος ἐλπὶς
 εἵλκυσεν, ὀθνείης ἔμπορον ἐργασίης.
νῶτα δὲ Τυρσηνῆς ἐπάτευν ἁλός· ἀλλ᾽ ἅμα νηῒ
 πρηνιχθεὶς, κείνης ὕδασιν ἐγκατέδυν,
ἀθρόον ἐμβρίσαντος ἀήματος. ȣ̓κ ἄρ᾽ ἀλωὰς
 ὡὑτὸς ἐπιπνείει κεἰς ὀθόνας ἄνεμος.

p. 474.

## IV.

Οὐ χεῖμα Νικόφημον, ȣ̓κ ἄστρων δύσις
ἁλὸς Λιβύσσης κύματ᾽ ȣ̓ κατέκλυσεν·
ἀλλ᾽ ἐν γαλήνῃ, φεῦ τάλας, ἀνηνέμῳ
πλόῳ πεδηθεὶς, ἐφρύγη δίψευς ὕπο.
καὶ τȣ̃τ᾽ ἀήτεων ἔργον· ἆ πόσον κακὸν
ναύταισιν, ἢ πνέοντες, ἢ μεμυκότες.

## V.

Ἰξῷ καὶ καλάμοισιν ἀπ᾽ ἠέρος αὑτὸν ἔφερβεν
 Εὔμηλος, λιτῶς, ἀλλ᾽ ἐν ἐλευθερίῃ.
ȣ̓́ποτε δ᾽ ὀθνείην ἔκυσεν χέρα γαστρὸς ἕκητι·
 τȣ̃το τρυφὴν κείνῳ, τȣ̃τ᾽ ἔφερ᾽ εὐφροσύνην.
τρὶς δὲ τριηκοστὸν ζήσας ἔτος ἐνθάδ᾽ ἰαύει,
 παισὶ λιπὼν ἰξὸν, καὶ πτερὰ, καὶ καλάμȣς.

## ΙΣΙΔΩΡΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. Τ. II.

Λέκτρα μάτην μίμνοντα, καὶ ἀπρήκτυ σκέπας εὐνῆς,
ἄνθετό σοι, Μήνη, σὸς φίλος Ενδυμίων,
αἰδόμενος· πολιὴ γὰρ ὅλυ κρατέυσα καρήνυ
ὐ σώζει προτέρης ἴχνιον ἀγλαΐης.

## ΔΑΜΑΣΚΙΟΥ ΦΙΛΟΣΟΦΟΥ. p. 475.

Ζωσίμη, ἡ πρὶν ἐῦσα μόνῳ τῷ σώματι δύλη,
καὶ τῷ σώματι νῦν εὗρεν ἐλευθερίην.

## ΚΟΪΝΤΟΥ ΣΜΥΡΝΑΙΟΥ.

### ΗΡΑΚΛΕΟΥΣ ΑΘΛΟΙ.

Πρῶτα μὲν ἐν Νεμέᾳ βριαρὸν κατέπεφνε λέοντα.
δεύτερον, ἐν Λέρνῃ πολυαύχενον ἔκτανεν ὕδραν.
τὸ τρίτον αὖτ' ἐπὶ τοῖς Ερυμάνθιον ἔκτανε κάπρον.
χρυσόκερων ἔλαφον μετὰ ταῦτ' ἤγρευσε, τέταρτον.
πέμπτον δ', ὄρνιθας Στυμφαλίδας ἐξεδίωξεν.
ἕκτον, Αμαζονίδος κόμισε ζωςῆρα φαεινόν.

T. II. ἕβδομον, Αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν.
ὄγδοον, ἐκ Κρήτης δὲ πυρίπνοον ἤλασε ταῦρον.
εἴνατον, ἐκ Θρήκης Διομήδεος ἤγαγεν ἵππους.
Γηρυόνου, δέκατον, βόας ἤλασεν ἐξ Ερυθρίης.
ἑνδέκατον, κύνα Κέρβερον ἤγαγεν ἐξ Αΐδαο.
δωδέκατον δ', ἤνεγκεν ἐς Ελλάδα χρύσεα μῆλα.
Θεσπίεω θυγατρῶν τρισκαιδέκατος πέλεν ἆθλος.

---

p. 476. ## ΜΗΤΡΟΔΩΡΟΥ.

### I.

Παντοίην βιότοιο τάμοις τρίβον. εἰν ἀγορῇ μὲν
κύδεα καὶ πινυταὶ πρήξιες· ἐν δὲ δόμοις
ἄμπαυμ'· ἐν δ' ἀγροῖς Φύσιος χάρις· ἐν δὲ θαλάσσῃ
κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τι, κλέος·
ἢν δ' ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον; οἶκος ἄριστος
ἔσσεται· οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον.
τέκνα, πόθος· ἄφροντις ἄπαις βίος. αἱ νεότητες
ῥωμαλέαι· πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.
οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν. πάντα γὰρ ἐσθλὰ βίου.

### II.

Αὐτὸν Ιωάννην ὁ γέρων ὅτ' ἐδέξατο θεσμὸς,
εἶπεν ἀνηβήσας· Αὖθις ἔχω σε, Σόλων.

# ΠΡΟΒΛΗΜΑΤΑ ΑΡΙΘΜΗΤΙΚΑ T.II.p.477.

## ΜΗΤΡΟΔΩΡΟΥ ΤΑ ΠΛΕΙΣΤΑ.

### I.

Ὄλβιε Πυθαγόρη, Μουσέων Ἑλικώνιον ἔρνος,
εἰπέ μοι εἰρομένῳ ὁπόσοι σοφίης κατ' ἀγῶνα
σοῖσι δόμοισιν ἔασιν, ἀεθλεύοντες ἄριστα.
β Τοίγαρ ἐγὼν εἴποιμι, Πολύκρατες· ἡμίσεες μὲν
ἀμφὶ καλὰ σπεύδουσι μαθήματα· τέτρατοι αὖτε
ἀθανάτου φύσεως πεπονήαται· ἑβδομάτοις δὲ
σιγὴ πᾶσα μέμηλε, καὶ ἄφθιτοι ἔνδοθι μῦθοι·
τρεῖς δὲ γυναῖκες ἔασι, Θεανὼ δ' ἔξοχος ἄλλων.
τόσσους Πιερίδων ὑποφήτορας αὐτὸς ἀγινῶ.

### II.

Ἁ Κύπρις τὸν Ἔρωτα κατηφιόωντα προσηύδα·
Τίπτε τοι, ὦ τέκος, ἄλγος ἐπέχραεν; ὃς δ' ἀπάμειπτο·
Πιερίδες μοι μῆλα διήρπασαν ἄλλυδις ἄλλη,
αἰνύμεναι κόλποιο, τὰ δὴ φέρον ἐξ Ἑλικῶνος.
Κλειὼ μὲν μήλων πέμπτον λάβε· δωδέκατον δὲ
Εὐτέρπη· ἀτὰρ ὀγδοάτην λάχε δῖα Θάλεια·
Μελπομένη δ' εἰκοστὸν ἀπαίνυτο· Τερψιχόρη δὲ
τέτρατον· ἑβδομάτην δ' Ἐρατὼ μετεκίαθε μοίρην·
ἡ δὲ τριηκόντων με Πολύμνια νόσφισε μήλων·
Οὐρανίη δ' ἑκατόν τε καὶ εἴκοσι· Καλλιόπη δὲ p. 478.
βριθομένη μήλοισι τριηκοσίοισι βέβηκε.

T. II. θάρσει τολμήεντι τεθηγμένος· αἱ γὰρ ὀπωπαὶ
γνήσιον ἦθος ἔφαινον ἀρήϊον Αἰακιδάων.
Ἦν δὲ καὶ ΕΡΜΕΙΗΣ χρυσόρραπις· ἱστάμενος δὲ
δεξιτερῇ πτερόεντος ἀνείρυε δεσμὰ πεδίλου,
εἰς ὁδὸν ἀΐξαι λελιημένος· εἶχε γὰρ ἤδη
δεξιὸν ὀκλάζοντα θοὸν πόδα, τῷ ἔπι λαιὴν
χεῖρα ταθεὶς ἀνέπεμπεν ἐς αἰθέρα κύκλον ὀπωπῆς,
οἷά τε πατρὸς ἄνακτος ἐπιτρωπῶντος ἀκούων.
Καὶ νοερῆς ἄφθεγκτα Λατινίδος ὄργια Μούσης
ἄζετο παπταίνων ΑΠΥΛΗΪΟΣ, ὅντινα μύστην
Αὐσονὶς ἀρρήτου σοφίης ἀνεθρέψατο Σειρήν.
Φοίβου δ' οὐρεσίφοιτος ὁμόγνιος ἵστατο κούρη
ΑΡΤΕΜΙΣ, ἀλλ' οὐ τόξον ἑκηβόλον, οὐδὲ φαρέτρην
ἰοδόκον ἀνέχουσα κατωμαδόν· ἦν δ' ἐπὶ γούνων
παρθένιον λευγωτὸν ἀναζωσθεῖσα χιτῶνα,
καὶ τριχὸς ἀκρήδεμνον ἀνιεμένη πλόκον αὔραις.
p. 468. Ἔμφρονα χαλκὸν ΟΜΗΡΟΣ ἐδείκνυεν, οὔτε μενοινῆς
ἄμμορον, οὔτε νόου κεχρημένον, ἀλλ' ἄρα μούνης
φωνῆς ἀμβροσίης, ἀνέφαινε δὲ θυιάδα τέχνην.
ἦ καὶ χαλκὸν ἔχευεν ὁμοῦ θεὸς εἴδεϊ μορφῆς·
οὐ γὰρ ἐγὼ κατὰ θυμὸν ὀΐομαι ὅττι μιν ἀνὴρ
ἐργοπόνος χάλκευσε παρ' ἐσχαρεῶνι θαάσσων.
ἀλλ' αὐτὴ πολύμητις ἀνέπλασε χερσὶν Ἀθήνη,
εἶδος ἐπισταμένη τό τ' ἐνώκεεν· ἐν γὰρ Ὁμήρῳ
αὐτὴ ναιετάουσα σοφὴν ἐφθέγγετο μολπήν,
σύννομος Ἀπόλλωνι· πατὴρ δ' ἐμός, ἰσόθεος φώς,

311. Scr. χαλκὸς ΟΜΗΡΟΝ l. 320. δ' om. Cod. Vat.

ἵστατο θεῖος Ὅμηρος. ἔϊκτο μὲν ἀνδρὶ νοῆσαι T. II.
γηραλέῳ· τὸ δὲ γῆρας ἔην γλυκύ· τοῦτο γὰρ αὐτῷ
πλειοτέρην ἔσταξε χάριν. κεκέραστο δὲ κόσμῳ
αἰδοίῳ τε φίλῳ τε· σέβας δ' ἀπελάμπετο μορφῆς.
αὐχένι μὲν κύπτοντι γέρων ἐπεσύρετο βότρυς
χαίτης, εἰσοπίσω πεφορημένος· ἀμφὶ δ' ἀκουὰς
πλαζόμενος κεχάλαστο. κάτω δ' εὐρύνετο πώγων
ἀμφιταθείς, μαλακὸς δὲ καὶ εὔτροχος· οὐδὲ γὰρ ἦεν
ὀξυτενής, ἀλλ' εὐρὺς ἐπέπτατο, κάλλος ὑφαίνων
στήθεϊ γυμνωθέντι, καὶ ἱμερόεντι προσώπῳ.
γυμνὸν δ' εἶχε μέτωπον· ἐπ' ἀπλοκάμῳ δὲ μετώπῳ
ἧστο σαοφροσύνη κουροτρόφος. ἀμφὶ δ' ἄρ' ὀφρῦς
ἀμφοτέρας προβλῆτας ἐΰσκοπος ἔπλασε τέχνη·
οὔτι μάτην· φαέων γὰρ ἐρημάδες ἦσαν ὀπωπαί.
ἀλλ' οὐκ ἦν ἀλαῷ ἐναλίγκιος ἀνδρὶ νοῆσαι.
ἕζετο γὰρ κενεοῖς χάρις ὄμμασιν· ὡς δὲ δοκεύω,
τέχνη τοῦτ' ἐτέλεσσεν, ὅπως πάντεσσι φανείη
φέγγος ὑπὸ κραδίην σοφίης ἄσβεστον ἀείρων.
δοιαὶ μὲν ποτὶ βαιὸν ἐκοιλαίνοντο παρειαί,
γήραϊ ῥικνήεντι κατάσχετοι· ἀλλ' ἐν ἐκείναις
αὐτογενὴς, Χαρίτεσσι συνέστιος, ἵζανεν Αἰδώς. p. 469.
Πιερικὴ δὲ μέλισσα περὶ στόμα θεῖον ἀλᾶτο
κηρίον ὠδίνουσα μελισταγές. ἀμφοτέρας δὲ
χεῖρας ἐπ' ἀλλήλαισι τιθεὶς ἐπερείδετο ῥάβδῳ,
οἷά περ ἐν ζωοῖσιν. ἑὴν δ' ἔκλινεν ἀκουὴν
δεξιτερήν, δόκεεν δὲ καὶ Ἀπόλλωνος ἀκούειν,
ἢ καὶ Πιερίδων τινὸς ἐγγύθεν. ἐν δ' ἄρα θυμῷ
σκεπτομένῳ μὲν ἔϊκτο· νόος δέ οἱ ἔνθα καὶ ἔνθα

T. II. ἐξ ἀδύτων πεφόρητο πολυτρέπτοισι μενοινῆς,
Πιερικῆς Σειρῆνος ἀρήϊον ἔργον ὑφαίνων.
Καὶ Σύριος σελάγιζε σαοφροσύνῃ ΦΕΡΕΚΥΔΗΣ
ἱστάμενος· σοφίης δὲ θευδέα κέντρα νομεύων,
οὐρανὸν ἐσκοπίαζε, μετάρσιον ὄμμα τιταίνων.
Καὶ σοφὸς ΗΡΑΚΛΕΙΤΟΣ ἔην, θεοείκελος ἀνὴρ,
ἔνθεον ἀρχαίης Ἐφέσου κλέος, ὅς ποτε μοῦνος
ἀνδρομέης ἔκλαιεν ἀνάλκιδος ἔργα γενέθλης.
Καὶ τύπος ἁβρὸς ἔλαμπεν ἀριστονόοιο ΚΡΑΤΙΝΟΥ,
ὅς ποτε δημοβόροισι πολισσούχοισιν Ἰώνων
θυμοδακεῖς ἐθόωσεν ἀκοντιστῆρας ἰάμβους,
κῶμον ἀεξήσας φιλοπαίγμονος ἔργον ἀοιδῆς.
Ἑστήκει δὲ ΜΕΝΑΝΔΡΟΣ, ὃς εὐπύργοισιν Ἀθήναις
ὁπλοτέρου κώμοιο σελασφόρος ἔπρεπεν ἀστήρ.
πολλάων γὰρ ἔρωτας ἀνέπλασε παρθενικάων,
καὶ Χαρίτων θεράποντας ἐγείνατο παῖδας ἰάμβους,
ἅρπαγας οἰστρήεντας ἀεδνώτοιο κορείης,
μίξας σεμνὸν ἔρωτι μελίφρονος ἄνθος ἀοιδῆς.
p. 470. ΑΜΦΙΤΡΥΩΝ δ' ἤστραπτεν, ἀπειρογάμῳ τρίχα δάφνῃ
στεψάμενος. πᾶσιν μὲν ἐΰσκοπος εἴδετο μάντις·
ἀλλ' οὐ μάντις ἔην. Ταφίης δ' ἐπὶ σήματι νίκης
στέμμα πολυστρέπτοισιν ἐπάρμενον εἶχεν ἐθείραις,
Ἀλκμήνης μενέχαρμος ἀριστοτόκου παρακοίτης.
ΘΟΥΚΥΔΙΔΗΣ δ' ἐλέλιζεν ἑὸν νόον. ἦν δὲ νοῆσαι
οἷά περ ἱστορίης δημηγόρον ἦθος ὑφαίνων.
δεξιτερὴν γὰρ ἀνέσχε μετάρσιον, ὡς πρὶν ἀείδων
Σπάρτης πικρὸν Ἄρηα, καὶ αὐτῶν Κεκροπιδάων,
Ἑλλάδος ἀμητῆρα πολυθρέπτοιο τιθήνης.

Οὐδ' Ἁλικαρνησσοῦ με παρέδραμε θέσπις ἀοιδός, T. II.
ΗΡΟΔΟΤΟΣ πολύϊδρις, ὃς ὠγυγίων κλέα φωτῶν,
ὅσσα περ ἠπείρων δυὰς ἤγαγεν, ὅσσα περ αἰὼν
ἔδρακεν ἑρπύζων, ἐνάταις ἀνεθήκατο Μούσαις,
μίξας εὐεπίῃσιν Ἰωνίδος ἄνθεα φωνῆς.
Θήβης δ' Ὠγυγίης Ἑλικώνιος ἵστατο κύκνος,
ΠΙΝΔΑΡΟΣ ἱμερόφωνος, ὃν ἀργυρότοξος Ἀπόλλων
ἔτρεφε Βοιωτοῖο παρὰ σκοπιὴν Ἑλικῶνος,
καὶ μέλος ἁρμονίης ἐδιδάξατο. τικτομένου γὰρ
ἑζόμεναι λιγυροῖσιν ἐπὶ στομάτεσσι μέλισσαι
κηρὸν ἀνεπλάσσαντο, σοφῆς ἐπιμάρτυρα μολπῆς.
ΞΕΙΝΟΦΟΩΝ δ' ἤστραπτε, φερασπίδος ἀστὸς Ἀθήνης,
ὃς πρὶν Ἀχαιμενίδαο μένος Κύροιο λιγαίνων,
εἵπετο φωνήεντι Πλατωνίδος ἤθεϊ Μούσης,
ἱστορίης φιλάεθλον ἀριστώδινος ὀπώρην
συγκεράσας ῥαθάμιγξι φιλαγρύπνοιο μελίσσης.
Ἵστατο δ' Ἀλκμαίων κεκλημένος οὔνομα μάντις.
ἀλλ' οὐ μάντις ἔην ὁ βεώμενος, οὐδ' ἐπὶ χαίτης p. 471.
δάφνης εἶχε κόρυμβον. ἐγὼ δ' ΑΛΚΜΑΝΑ δοκεύω,
ὃς πρὶν ἐϋφθόγγοιο λύρης ἠσκήσατο τέχνην,
Δώριον εὐκελάδοισι μέλος χορδῇσιν ὑφαίνων.
Καὶ πρόμος εὐκαμάτων ΠΟΜΠΗΪΟΣ Αὐσονιήων
φαιδρὸν ἰσαυροφόνων κειμήλιον ἠνορεάων,
στειβομένας ὑπὸ ποσσὶν Ἰσαυρίδας εἶχε μαχαίρας,
σημαίνων ὅτι δοῦλον ὑπὸ ζυγὸν αὐχένα Ταύρου
εἴρυσεν, ἀρρήκτῳ πεπεδημένον ἅμματι Νίκης.
κεῖνος ἀνήρ, ὃς πᾶσιν ἔην φάος, ὃς βασιλῆος
ἠγαθέην ἐφύτευσεν Ἀναστασίοιο γενέθλην.

T. II. τοῦτο δὲ πᾶσιν ἔδειξεν ἐμὸς σκηπτοῦχος ἀμύμων,
δηώσας σακέεσσιν Ισαυρίδος ἔθνεα γαίης.

Ιστατο δ' ἄλλος ΟΜΗΡΟΣ, ὃν οὐ πρόμον εὐεπιάων
θέσκελον υἷα Μέλητος ἐϋῤῥείοντος ὀΐω·
ἀλλ' ὃν Θρηϊκίῃσι παρ' ᾐόσι γείνατο μήτηρ
Μυρὼ κυδαλίμη Βυζαντιὰς, ἣν ἔτι παιδνὴν
ἔτρεφον εὐεπίης ἡρωΐδος ἴδμονα Μοῦσαι·
κεῖνος ἄρα τραγικῆς πινυτὴν ἠσκήσατο τέχνην,
κοσμήσας ἐπέεσσιν ἑὴν Βυζαντίδα πάτρην.

Καὶ φίλος Αὐσονίοισι λιγύθροος ἔπρεπε κύκνος
πνείων εὐεπίης ΒΙΡΓΙΛΛΙΟΣ ὅν ποτε Ρώμης
Θυμβριὰς ἄλλον Ὅμηρον ἀνέτρεφε πάτριος ἠχώ.

p. 472. II.

Κλεινὸς Ιωάννης Επιδάμνιος ἐνθάδε κεῖται,
τηλεφανὴς ὑπάτων κόσμος ἀριφανέων·
ὃ γλυκύ μοι Μουσέων πετάσας φάος, ὃ πλέον ἄλλων
εὐρύνας ξενίου δαίμονος ἐργασίην,
παμφόρβην παλάμην κεκτημένος, ἥντινα μούνην
οὐκ ἴδε δωτίνης μέτρον ὁριζομένην.
αἰπυτάτην δ' ηὔξησε [νόμοις πα] τρίσισιν ἀπήνην,
φαιδρύνας καθαρῆς ἔργα Δικαιοσύνης.
ὢ πόποι, οὐκ ἔζησε πολὺν χρόνον· ἀλλ' ἐνιαυτοὺς
μοῦνον ἀναπλήσας τεσσαράκοντα δύο,
ᾤχετο μουσοπόλοισι ποθὴν πάντεσσιν ἐάσας,
οὓς ἐπόθει πατέρων φέρτερα γειναμένων.

III.

II. 1. Cod. αὐτὸς Ἰω. 2. Cod. ἀειφανέων. 6. Cod. δριζόμενον.
7. Verba νόμοις πα abſunt a Cod. 11. Cod. ἐάσσας.

III. T. II.

Οὗτος Ἰωάννην κρύπτει τάφος, ὅς ῥ' Ἐπιδάμνῳ
ἄστρον ἔην. ἣν δὴ παῖδες ἀριπρεπέες
ἔκτισαν Ἡρακλῆος· ὅθεν καὶ μέρμερος ἥρως
αἰεὶ τῶν ἀδίκων σκληρὸν ἔκοπτε μένος.
εἶχε δ' ἀπ' εὐσεβέων προγόνων ἐρικυδέα πάτρην
Λυχνιδὸν, ἣν Φοῖνιξ Κάδμος ἔδειμε πόλιν·
ἔνθεν λύχνος ἔην Ἑλικώνιος, οὕνεκα Κάδμος
στοιχείων Δαναοῖς πρῶτος ἔδειξε τύπον.
εἰς ὑπάτους δ' ἀνέλαμψε. καὶ Ἰλλυριοῖσι δικάζων,
Μύσας καὶ καθαρὴν ἐστεφάνωσε Δίκην.

---

# ΙΣΙΔΩΡΟΥ P. 473.

## ΑΙΓΕΑΤΟΥ.

I.

Πλέυπον ἀγρεύσας ποτὲ Τύννιχος, ἐξ ἁλὸς εἰς γῆν
ἔρριψεν, δείσας θηρὸς ἱμαντοπέδην.
ἀλλ' ὅ γ' ἐφ' ὑπνώοντα πεσὼν συνέδησε λαγωὸν,
φεῦ, τάχα θηρευτὰς ἄρτι φυγόντα κύνας.
ἀγρευθεὶς δ' ἤγρευσεν. ὁ δ' εἰς ἅλα Τύννιχος ἰχθὺν
ἧκε πάλιν, ζωῆς λύτρα λαγωὸν ἔχων.

II.

Τὸ χῶμα, τύμβος ἐστίν· ἀλλὰ τὼ βόε
ἐπίσχες οὗτος, τὴν ὕνιν τ' ἀνάσπασον·
κινεῖς σποδὸν γάρ. ἐς δὲ τοιαύτην χθόνα
μὴ σπέρμα πυρῶν, ἀλλὰ χεῦε δάκρυα.

T. II.

### III.

Ἐκ με γεωμορίης Ἐτεοκλέα πόντιος ἐλπὶς
εἵλκυσεν, ὀθνείης ἔμπορον ἐργασίης.
νῶτα δὲ Τυρσηνῆς ἐπάτευν ἁλός· ἀλλ᾽ ἅμα νηὶ
πρηνιχθεὶς, κείνης ὕδασιν ἐγκατέδυν,
ἀθρόον ἐμβρίσαντος ἀήματος. οὐκ ἄρ᾽ ἀλωὰς
ὡὑτὸς ἐπιπνείει κεὶς ὀθόνας ἄνεμος.

p. 474.

### IV.

Οὐ χεῖμα Νικόφημον, οὐκ ἄστρων δύσις
ἁλὸς Λιβύσσης κύματ᾽ οὐ κατέκλυσεν·
ἀλλ᾽ ἐν γαλήνῃ, φεῦ τάλας, ἀνηνέμῳ
πλόου πεδηθεὶς, ἐφρύγη δίψευς ὕπο.
καὶ τοῦτ᾽ ἀήτεων ἔργον· ἆ πόσον κακὸν
ναύταισιν, ἢ πνέοντες, ἢ μεμυκότες.

### V.

Ἰξῷ καὶ καλάμοισιν ἀπ᾽ ἠέρος αὐτὸν ἔφερβεν
Εὔμηλος, λιτῶς, ἀλλ᾽ ἐν ἐλευθερίῃ.
οὔποτε δ᾽ ὀθνείην ἔκυσεν χέρα γαστρὸς ἕκητι·
τοῦτο τρυφὴν κείνῳ, τοῦτ᾽ ἔφερ᾽ εὐφροσύνην.
τρὶς δὲ τριηκοστὸν ζήσας ἔτος ἐνθάδ᾽ ἰαύει,
παισὶ λιπὼν ἰξὸν, καὶ πτερὰ, καὶ καλάμους.

# ΙΣΙΔΩΡΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ. T. II.

Λέκτρα μάτην μίμνοντα, καὶ ἀπρήκτυ σκέπας εὐνῆς
ἄνθετό σοι, Μήνη, σὸς φίλος Ενδυμίων,
αἰδόμενος· πολιὴ γὰρ ὅλυ κρατέυσα καρήνυ
ὐ σώζει προτέρης ἴχνιον ἀγλαΐης.

# ΔΑΜΑΣΚΙΟΥ ΦΙΛΟΣΟΦΟΥ. P. 475.

Ζωσίμη, ἡ πρὶν ἐῦσα μόνῳ τῷ σώματι δύλη,
καὶ τῷ σώματι νῦν εὗρεν ἐλευθερίην.

# ΚΟΪΝΤΟΥ ΣΜΥΡΝΑΙΟΥ.

## ΗΡΑΚΛΕΟΥΣ ΑΘΛΟΙ.

Πρῶτα μὲν ἐν Νεμέᾳ βριαρὸν κατέπεφνε λέοντα.
δεύτερον, ἐν Λέρνῃ πολυαύχενον ἔκτανεν ὕδραν.
τὸ τρίτον αὖτ᾽ ἐπὶ τοῖς Ερυμάνθιον ἔκτανε κάπρον.
χρυσόκερων ἔλαφον μετὰ ταῦτ᾽ ἤγρευσε, τέταρτον.
πέμπτον δ᾽, ὄρνιθας Στυμφαλίδας ἐξεδίωξεν.
ἕκτον, Αμαζονίδος κόμισε ζωςῆρα φαεινόν.

T. II. ἕβδομον, Αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν.
ὄγδοον, ἐκ Κρήτης δὲ πυρίπνοον ἤλασε ταῦρον.
εἴνατον, ἐκ Θρήκης Διομήδεος ἤγαγεν ἵππους.
Γηρυόνου, δέκατον, βόας ἤλασεν ἐξ Ἐρυθείης.
ἑνδέκατον, κύνα Κέρβερον ἤγαγεν ἐξ Ἀΐδαο.
δωδέκατον δ', ἤνεγκεν ἐς Ἑλλάδα χρύσεα μῆλα.
Θεστίεω θυγατρῶν τρισκαιδέκατος πέλεν ἆθλος.

---

# p. 476. ΜΗΤΡΟΔΩΡΟΥ.

## I.

Παντοίην βιότοιο τάμοις τρίβον. εἰν ἀγορῇ μὲν
κύδεα καὶ πινυταὶ πρήξιες· ἐν δὲ δόμοις
ἄμπαυμ'· ἐν δ' ἀγροῖς Φύσιος χάρις· ἐν δὲ θαλάσσῃ
κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τι, κλέος·
ἢν δ' ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον; οἶκος ἄριστος
ἔσσεται· οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον.
τέκνα, πόθος· ἄφροντις ἄπαις βίος. αἱ νεότητες
ῥωμαλέαι· πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.
οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν. πάντα γὰρ ἐσθλὰ βίου.

## II.

Αὐτὸν Ἰωάννην ὁ γέρων ὅτ' ἐδέξατο θεσμὸς,
εἶπεν ἀνηβήσας· Αὖθις ἔχω σε, Σόλων.

# ΠΡΟΒΛΗΜΑΤΑ ΑΡΙΘΜΗΤΙΚΑ T.II.p.477.

## ΜΗΤΡΟΔΩΡΟΥ ΤΑ ΠΛΕΙΣΤΑ.

### I.

Ὄλβιε Πυθαγόρη, Μουσέων Ἑλικώνιον ἔρνος,
εἰπέ μοι εἰρομένῳ ὁπόσοι σοφίης κατ᾿ ἀγῶνα
σοῖσι δόμοισιν ἔασιν, ἀεθλεύοντες ἄριστα.
β Τοίγαρ ἐγὼν εἴποιμι, Πολύκρατες· ἡμίσεες μὲν
ἀμφὶ καλὰ σπεύδουσι μαθήματα· τέτρατοι αὖτε
ἀθανάτου φύσεως πεπονήαται· ἑβδομάτοις δὲ
σιγὴ πᾶσα μέμηλε, καὶ ἄφθιτοι ἔνδοθι μῦθοι·
τρεῖς δὲ γυναῖκες ἔασι, Θεανὼ δ᾿ ἔξοχος ἄλλων.
τόσσους Πιερίδων ὑποφήτορας αὐτὸς ἀγινῶ.

### II.

Ἁ Κύπρις τὸν Ἔρωτα κατηφιόωντα προσηύδα·
Τίπτε τοι, ὦ τέκος, ἄλγος ἐπέχραεν; ὃς δ᾿ ἀπάμειπτο·
Πιερίδες μοι μῆλα διήρπασαν ἄλλυδις ἄλλη,
αἰνύμεναι κόλποιο, τὰ δὴ φέρον ἐξ Ἑλικῶνος.
Κλειὼ μὲν μήλων πέμπτον λάβε· δωδέκατον δὲ
Εὐτέρπη· ἀτὰρ ὀγδοάτην λάχε δῖα Θάλεια·
Μελπομένη δ᾿ εἰκοστὸν ἀπαίνυτο· Τερψιχόρη δὲ
τέτρατον· ἑβδομάτην δ᾿ Ἐρατὼ μετεκίαθε μοίρην·
ἡ δὲ τριηκόντων με Πολύμνια νόσφισε μήλων·
Οὐρανίη δ᾿ ἑκατόν τε καὶ εἴκοσι· Καλλιόπη δὲ p. 478.
βριθομένη μήλοισι τριηκοσίοισι βέβηκε.

T. II. σοὶ δ᾽ ἄρα κουφοτέρῃσιν ἐγὼ σὺν χερσὶν ἱκάνω,
πεντήκοντα φέρων τάδε λείψανα μῆλα θεάων.

## III.

Αἱ Χάριτες μήλων καλάθους φέρον, ἐν δὲ ἑκάστῳ
ἶσον ἔην πλῆθος. Μοῦσαι σφίσιν ἀντεβόλησαν
ἐννέα, καὶ μήλων σφέας ᾔτεον· αἱ δ᾽ ἄρ᾽ ἔδωκαν
ἶσον ἑκάστῃ πλῆθος, ἔχον δ᾽ ἴσα ἐννέα καὶ τρεῖς.
εἰπὲ πόσον δῶκαν, ὅπως δ᾽ ἴσα πᾶσαι ἔχεσκον.

## IV.

Τεῦξον ἐμοὶ στέφανον, χρυσὸν χαλκόν τε κεράσσας,
κασσίτερόν θ᾽ ἅμα τοῖσι, πολύκμητόν τε σίδηρον,
μνῶν ἑξήκοντα. χρυσὸς δ᾽ ἐχέτω μετὰ χαλκοῦ
δοιὰ μέρη τρισσῶν· χρυσὸς δ᾽ ἅμα κασσίτερός τε
τρισσὰ μέρη τετόρων· χρυσὸς δ᾽ ἅμα ἠδὲ σίδηρος
τόσσα μέρη τῶν πέντε. πόσον δ᾽ ἄρα δεῖ σε κεράσσαι
λέξον τοῦ χρυσοῦ, χαλκοῦ πόσον, ἀλλ᾽ ἔτι λέξον
κασσιτέροιο πόσον, λοιποῦ πόσον εἰπὲ σιδήρου,
ὥστε σε τὸν στέφανον τεῦξαι μνῶν ἑξήκοντα.

## V.

Τὸ τρίτον, ἀργυροποιὲ, προσέμβαλε καὶ τὸ τέταρτον
τῆς φιάλης εἰς ἓν, καὶ τὸ δυωδέκατον,
εἰς δὲ κάμινον ἔλαυνε βαλὼν, καὶ πάντα κυκήσας
ἔξελέ μοι βῶλον· μνᾶν δέ μοι ἑλκυσάτω.

p. 479. 

## VI.

α Ἔχω τὸν ἑξῆς, καὶ τὸ τοῦ τρίτου τρίτον.
β κἀγὼ τὸν ἑξῆς, καὶ τὸ τοῦ πρώτου τρίτον.
κἀγὼ δέκα μνᾶς, καὶ τὸ τοῦ πρώτου τρίτον.

## VII. T. II.

Τοὺς χιλίους στατῆρας, οὓς ἐκτησάμην,
λαβεῖν κελεύω τοὺς ἐμοὺς παῖδας δύο·
πλὴν γνησίου τὸ πέμπτον ηὐξήσθω δέκα
μέτρου τετάρτου τῶν λαχόντων τῷ νόθῳ.

## VIII.

Ἑξ μνῶν ἓξ φιάλας Κροῖσος βασιλεὺς ἀνέθηκε,
δραχμῇ τὴν ἑτέραν μείζονα τῆς ἑτέρας.

## IX.

α Ὡρονόμων οὐχ ἄριστε, πόσον παρελήλυθεν ἠοῦς;
β ὅσσον ἀποιχομένοιο δύο τρίτα, δὶς τόσα λείπει.

## X.

Τίπτε με τῶν καρύων ἕνεκεν πληγῇσι πιέζεις,
ὦ μῆτερ; τὰ δὲ πάντα καλαὶ διεμοιρήσαντο
παρθένοι. ἡ γὰρ ἐμεῖο Μελίσσιον ἕβδομα δοιά,
ἡ δὲ δυωδέκατον Τιτάνη λάβεν· ἕκτον ἔχουσι
καὶ τρίτον Αστυόχη φιλοπαίγμονες ἠδὲ Φίλιννα·
εἴκοσι δ' ἁρπάξασα Θέτις λάβε, δώδεκα Θίσβη·
ἤνιδε καὶ δὲ γελᾷ Γλαύκη παλάμῃσιν ἔχουσα
ἕνδεκα· τοῦτο δ' ἐμοὶ κάρυον περιλείπεται οἶον.

## XI. p. 480.

α Πῶ σοι μῆλα βέβηκεν, ἐμὸν τέκος; β ἕκτα μὲν Ινὼ
δοιά, καὶ ὀγδοάτην μοῖραν ἔχει Σεμέλη·
Αὐτονόη δὲ τέταρτον ἀφήρπασεν· αὐτὰρ Ἀγαυὴ
πέμπτον ἐμῶν κόλπων ᾤχετ' ἀπαινυμένη·
σοὶ δ' αὐτῇ δέκα μῆλα φυλάσσεται· αὐτὰρ ἔγωγε,
ναὶ μὰ φίλην Κύπριν, ἓν τόδε μοῦνον ἔχω.

T. II.

## XII.

Δρεψαμένη ποτὲ μῆλα φίλαις διεδάσσατο Μυρτώ.
Χρυσίδι μὲν μήλων πέμπτον πόρε, τέτρατον Ηροῖ,
ἐννεακαιδέκατον Ψαμάθῃ, δέκατον Κλεοπάτρῃ·
αὐτὰρ ἐεικοστὸν δωρήσατο Παρθενοπείῃ·
δώδεκα δ' Εὐάδνῃ μοῦνον πόρεν· αὐτὰρ ἐς αὐτὴν
ἤλυθεν ἐκ πάντων ἑκατὸν καὶ εἴκοσι μῆλα.

## XIII.

Αντομέναις ποτὲ μῆλα φίλαις διεμοιρήσαντο
Ινὼ καὶ Σεμέλη δώδεκα παρθενικαῖς.
καὶ ταῖς μὲν Σεμέλη πόρεν ἄρτια· ταῖς δὲ περισσὰ
δῶκε κασιγνήτη· μῆλα δ' ἔχεν πλέονα.
ἡ μὲν γὰρ τρισσῇσι τρί' ἕβδομα δῶκεν ἑταίραις,
ταῖς δὲ δύω πάντων πέμπτον ἔδωκε λάχος·
ἕνδεκα δ' Αστυνόμη μιν ἀφείλατο, καί οἱ ἔλειπεν
μοῦνα κασιγνήταις μῆλα δύω φερέμεν.
ἡ δ' ἑτέρη πισύρεσσι πόρεν δύο τέτρατα μήλων,
πέμπτη δ' ἑκταίην μοῖραν ἔδωκεν ἔχειν·
τέσσαρα δ' Εὐρυχόρῃ δῶρον πόρε· τέτρασι δ' ἄλλοις
μήλοισιν Σεμέλη μίμνεν ἀγαλλομένη.

p. 481.

## XIV.

Η καρύη πολλοῖσιν ἐβεβρίθει καρύοισιν·
νῦν δὲ τίς ἐξαπίνης μιν ἀπέθρισεν; ἀλλὰ τί φησίν;
Εκ μὲν ἐμεῦ καρύων πέμπτον λάβε Παρθενόπεια·
ὀγδόατον δὲ Φίλιννα φέρει λάχος, ἡ δ' Αγανίππη
τέτρατον· ἑβδομάτῳ δ' ἐπιτέρπεται Ωρείθυια·
ἕκτην δ' Εὐρυνόμη καρύων ἐδρέψατο μοῖραν·

τρισσαὶ δ᾽ . ἓξ ἑκατὸν Χάριτες διεμοιρήσαντο· Τ. II.
ἐννάκι δ᾽ ἐννέα Μοῦσαι ἐμοῦ λάβον· ἑπτὰ δὲ λοιπὰ
δήεις ἀκρεμόνεσσιν ἐφήμενα τηλοτέροισιν.

## XV.

Ἑπτάλοφον ποτὶ ἄστυ Γαδειρόθεν, ἕκτον ὁδοῖο
Βαίτιος εὐμύκους ἄχρις ἐς ἠϊόνας·
κεῖθεν δ᾽ αὖ πέμπτον Πυλάδου μετὰ Φώκιον οὖδας,
Ταύρη χθών, βοέης οὔνομ᾽ ἀπ᾽ εὐετίης·
Πυρήνην δέ τοι ἔνθεν ἐπ᾽ ὀρθόκραιρον ἰόντι
ὄγδοον· ἡ δὲ μιῆς δωδέκατον δεκάδος.
Πυρήνης δὲ μεσηγὺ καὶ Ἄλπιος ὑψικαρήνου
τέτρατον· Αὐσονίης αἶψα δυωδέκατον
ἀρχομένης ἤλεκτρα φαείνεται Ἠριδανοῖο.
ὦ μάκαρ ὃς δισσὰς ἤνυσα χιλιάδας,
πρὸς δ᾽ ἔτι πέντ᾽ ἐπὶ ταῖς ἑκατοντάδας ἔνθεν ἐλαύνων·
ἡ γὰρ Ταρπείη μέμβλετ᾽ ἀνακτορίη.

## XVI.

Εὐβλεφάροιο Δίκης ἱερὰ κρήδεμνα μιήνας,
ὄφρα σε, πανδαμάτωρ χρυσὲ, βλέποιμι τόσον,
οὐδὲν ἔχω, πίσυρας γὰρ ἐπ᾽ οὐκ ἀγαθοῖσι ταλάντων p. 482.
οἰωνοῖσι μάτην δῶκα φίλοις δεκάδας·
ἥμισυ δ᾽ αὖ, τρίτατόν τε καὶ ὄγδοον, ὦ πολύμορφοι
ἀνθρώπων κῆρες, ἐχθρὸν ἔχοντα βλέπω.

## XVII.

Πέμπτον μοι κλήρου, παῖ, λάμβανε· δωδέκατον δὲ
δέξο, δάμαρ· πίσυρες δ᾽ υἱέες οἰχομένου

T. II. παιδὸς, ἀδελφειοί τε δύω, καὶ ἀγάστονε μῆτερ,
ἑνδεκάτην κλήρου μοῖραν ἕκαστος ἔχε.
αὐτὰρ ἀνεψιαδοῖ δύο καὶ δέκα δέχθε τάλαντα·
Εὔβουλος δ᾽ ἐχέτω πέντε τάλαντα φίλος.
πιστοτάτοις δμώεσσιν ἐλευθερίην καὶ ἄποινα,
μισθὸν ὑπηρεσίης, τοῖσδε δίδωμι τάδε.
ὧδε λαμβανέτωσαν· Ονήσιμος εἴκοσι πέντε
μνᾶς ἐχέτω· Δᾶος δ᾽ εἴκοσι μνᾶς ἐχέτω·
πεντήκοντα Σύρος, Συνέτη δέκα, Τίβιος ὀκτώ·
ἑπτὰ δὲ μνᾶς Συνέτῳ παιδὶ δίδωμι Σύρου.
ἐκ δὲ τριηκόντων κοσμήσατε σῆμα ταλάντων·
ῥέζετε δ᾽ Οὐδαίῳ Ζανὶ θυηπολίην·
δισσῶν ἔς τε πυρὴν, καὶ ἄλφιτα, καὶ τελαμῶνας·
εἰκαίην δοιῶν σῶμα χάριν λαβέτω.

## XVIII.

Τύμβος ἐγὼ, κεύθω δὲ πολύστονα τέκνα Φιλίννης,
τοῖον μαψιτόκων καρπὸν ἔχων λαγόνων.
πέμπτον ἐν ἠϊθέοις, τρίτατον δ᾽ ἐνὶ παρθενικῇσι,
τρεῖς δ᾽ ἐμοὶ ἀρτιγάμους δῶκε Φίλιννα κόρας·
λοιποὶ δ᾽ ἠελίοιο πανάμμοροι ἠδὲ καὶ αὐδῆς
τέσσαρες ἐκ λαγόνων εἰς Ἀχέροντα πέσον.

p. 483.

## XIX.

Οὗτός τοι Διόφαντον ἔχει τάφος. ἆ μέγα θαῦμα·
καὶ τάφος ἐκ τέχνης μέτρα βίοιο λέγει.
ἕκτην κουρίζειν βιότου θεὸς ὤπασε μοίρην·
δωδεκάτην δ᾽ ἐπιθεὶς, μῆλα πόρεν χλοάειν·

τῇ δ' ἄρ' ἐφ' ἑβδομάτῃ τὸ γαμήλιον ἥψατο φέγγος, T. II
ἐκ δὲ γάμων πέμπτῳ παῖδ' ἐπένευσεν ἔτει.
αἲ αἲ τηλύγετον δειλὸν τέκος, ἥμισυ πατρὸς
μέτρον τῷ κρυερὸς Μοῖρ' ἄφελεν βιότου.
πένθος δ' αὖ πισύρεσσι παρηγορέων ἐνιαυτοῖς
τῆδε ποσοῦ σοφίῃ τέρμ' ἐπέρησε βίου.

## XX.

Παντὸς ὅσον βεβίωκε χρόνου παῖς μὲν τὸ τέταρτον
Δημοχάρης βεβίωκε· νεηνίσκος δὲ τὸ πέμπτον·
τὸ τρίτον εἰς ἄνδρας· πολιὸν δ' ὅτ' ἀφίκετο γῆρας,
ἔζησεν λοιπὰ τρεῖς καὶ δέκα γήραος οὐδῷ.

## XXI.

Οἷον ἀδελφειός μ' ἐβιήσατο, πέντε τάλαντα
οὐχ ὁσίῃ μοίρῃ πατρικὰ δασσάμενος.
ἑπτὰ κασιγνήτοιο τὸδ' ἑνδεκάτων πολύδακρυς
πέμπτον ἔχω μοίρης. Ζεῦ βαθὺν ὕπνον ἔχεις.

## XXII.

Εἶπε κυβερνητῆρι, πλατὺν πόρον Ἀδριακοῖο
τέμνων νηΐ· Ἀλὸς πόσα λείπεται εἰσέτι μέτρα;
τὸν δ' ἀπαμείβετο· Ναῦτα, μέσον Κριοῖο μετώπου
Κρηταίου, Σικελῆς τε Πελωρίδος ἑξάκι μέτρα
χίλια, δοιῶν δ' αὖτε παροιχομένοιο δρόμοιο p. 484.
πέμπτων διπλάσιον Σικελὴν ἐπὶ πορθμίδα λείπει.

XIX. 5. Scr. τῇ δ' ἄρ' ἐφ' — 6. Fort. ἐπέλευσεν.

T. II.

## XXIII.

Τῶν πισύρων κρουνῶν ὁ μὲν ἤματι πλῆσεν ἅπασαν
δεξαμενὴν, δυσὶ δ' οὗτος, ὁ δ' ἐν τρισὶν ἤμασιν οὗτος,
τέτρατος ἐν τετόρεσσι· πόσῳ πλήσουσιν ἅπαντες;

## XXIV.

Οἶγέ με, καὶ πισύρεσσιν ἐνιπλήσω παρεοῦσαν
δεξαμενὴν ὥραις, κρουνὸς ἅλις προρέων·
δεξιτερὸς δ' ἄρ' ἐμεῖο τόσαις ἀπολείπεται ὥραις
ὄφρα μιν ἐμπλήσει· δὶς δὲ τόσαις ὁ τρίτος.
εἰ δ' ἄμφω σὺν ἐμοὶ προχέειν ῥόον ἐς μίαν οἴγοις,
ἐιν ὀλίγῃ μοίρῃ πλήσομεν ἠματίῃ.

## XXV.

Κύκλωψ ὢ Πολύφημος ὁ χάλκεος· οἷα δ' ἐπ' αὐτῷ
τεῦξέ τις ὀφθαλμὸν, καὶ στόμα, καὶ παλάμην,
κρουνοῖς συζεύξας, στάζοντι δὲ πάμπαν ἔοικεν,
ἠδ' ἔτι καὶ βλύζων φαίνετ' ἀπὸ στόματος.
κρουνῶν δ' οὔτις ἄτακτος· ὁ μὲν παλάμης, τρισὶ μούνοις
ἤμασιν ἐμπλήσει δεξαμενὴν προρέων·
ἠμάτιος γλήνης· στόμα δ', ἤματος ἐν δύο πέμπτοις.
τίς κ' ἐνέποι τρισσοῖς ἶσα θέοντα χρόνον;

## XXVI.

Ὡς ἀγαθὸν κρητῆρι θοοὶ κερόωσι ῥέεθρον
οἵδε δύω ποταμοὶ, καὶ Βρομίοιο χάρις.
p. 485. ἶσος δ' οὐ πάντεσσι ῥόου δρόμος· ἀλλά μιν οἶος
Νεῖλος μὲν προρέων ἠμάτιος κορέσει,
τόσσον ὕδωρ μαζῶν ἀπερεύγεται· ἐκ δ' ἄρα Βάκχου
θύρσος ἐνὶ τρισσοῖς ἤμασιν οἶνον ἱείς·

εἶν δὲ κέρας, Ἀχελῷε, δύ' ἤμασι. νῦν δ' ἅμα πάντες T. II.
ῥεῖτε, καὶ ἐν ὥραις πλήσετέ μιν ὀλίγαις.

## XXVII.

Ὦ γύναι, ὡς πενίης ἐπελήσαο· ἡ δ' ἐπίκειται
αἰὲν ἀναγκαίη κέντρα φέρουσα πόνων.
μνᾶν ἐρίων νήθεσκες ἐν ἤματι· πρεσβυτέρη δὲ
θυγατέρων καὶ μνᾶν καὶ τρίτον εἷλκε κρόκης·
ὁπλοτέρη δὲ μιῆς φέρεν ἥμισυ. νῦν δ' ἅμα πάσαις
δόρπον ἐφοπλίζει μνᾶν ἐρύσας ὁ κανών.

## XXVIII.

Οἵδε λοετροχόοι τρεῖς ἕσταμεν ἐνθάδ' Ἔρωτες,
καλλιρόου πέμποντες ἐπ' εὐρίποιο λοετρά.
δεξιτερὸς μὲν ἔγωγε τανυπτερύγων ἀπὸ ταρσῶν
ἤματος ἑκταίῃ μοίρῃ ἔνι τόνδε κορέσσω·
λαιὸς δ' αὖ πισύρεσσιν ἀπ' ἀμφιφορῆος ἐν ὥραις·
ἐκ δ' ὁ μέσος τόξοιο κατ' ἤματος αὐτὸ τὸ μέσσον.
φράζεο δ' ὡς ὀλίγῃ κεν ἐνιπλήσαιμεν ἐν ὥρῃ,
ἐκ πτερύγων, τόξου τε, καὶ ἀμφιφορῆος ἰέντες.

## XXIX.

Πλινθουργοί, μάλα τοῦτον ἐπείγομαι οἶκον ἐγεῖραι·
ἦμαρ δ' ἀννέφελον τόδε σήμερον, οὐδ' ἔτι πολλῶν
χρηΐζω, πᾶσαν δὲ τριηκοσίῃσι δέουσαν
πλίνθον ἔχω. σὺ δὲ μοῦνος ἐν ἤματι τόσσον ἔτευχες·
παῖς δέ τοι ἐκ καμάτοιο διηκοσίαις ἀπέληγεν· p. 486.
γαμβρὸς δ' αὖ τόσσῃσι καὶ εἰσέτι πεντήκοντα.
τρισσαῖς συζυγίαις πόσσαις τόδε τεύχεται ὥραις;

T. II. σοὶ δ' ἄρα κυφοτέρῃσιν ἐγὼ σὺν χερσὶν ἱκάνω,
πεντήκοντα φέρων τάδε λείψανα μῆλα θεάων.

III.

Αἱ Χάριτες μήλων καλάθους φέρον, ἐν δὲ ἑκάστῳ
ἶσον ἔην πλῆθος. Μοῦσαι σφίσιν ἀντεβόλησαν
ἐννέα, καὶ μήλων σφέας ᾔτεον· αἱ δ' ἄρ' ἔδωκαν
ἶσον ἑκάστῃ πλῆθος, ἔχον δ' ἴσα ἐννέα καὶ τρεῖς.
εἰπὲ πόσον δῶκαν, ὅπως δ' ἴσα πᾶσαι ἔχεσκον.

IV.

Τεῦξον ἐμοὶ στέφανον, χρυσὸν χαλκόν τε κεράσσας,
κασσίτερόν θ' ἅμα τοῖσι, πολύκμητόν τε σίδηρον,
μνῶν ἑξήκοντα. χρυσὸς δ' ἐχέτω μετὰ χαλκοῦ
δοιὰ μέρη τρισσῶν· χρυσὸς δ' ἅμα κασσίτερός τε
τρισσὰ μέρη τετόρων· χρυσὸς δ' ἅμα ἠδὲ σίδηρος
τόσσα μέρη τῶν πέντε. πόσον δ' ἄρα δεῖ σε κεράσσαι
λέξον τοῦ χρυσοῦ, χαλκοῦ πόσον, ἀλλ' ἔτι λέξον
κασσιτέροιο πόσον, λοιποῦ πόσον εἰπὲ σιδήρου,
ὥστε σε τὸν στέφανον τεῦξαι μνῶν ἑξήκοντα.

V.

Τὸ τρίτον, ἀργυροποιὲ, προσέμβαλε καὶ τὸ τέταρτον
τῆς φιάλης εἰς ἓν, καὶ τὸ δυωδέκατον,
εἰς δὲ κάμινον ἔλαυνε βαλὼν, καὶ πάντα κυκήσας
ἔξελέ μοι βῶλον· μνᾶν δέ μοι ἑλκυσάτω.

p. 479. VI.

αἜχω τὸν ἑξῆς, καὶ τὸ τοῦ τρίτου τρίτον.
βκἀγὼ τὸν ἑξῆς, καὶ τὸ τοῦ πρώτου τρίτον.
κἀγὼ δέκα μνᾶς, καὶ τὸ τοῦ πρώτου τρίτον.

VII. T. II.

Τοὺς χιλίους στατῆρας, οὓς ἐκτησάμην,
λαβεῖν κελεύω τοὺς ἐμοὺς παῖδας δύο·
πλὴν γνησίου τὸ πέμπτον ηὐξήσθω δέκα
μέτρου τετάρτου τῶν λαχόντων τῷ νόθῳ.

VIII.

Ἐξ μνῶν ἓξ φιάλας Κροῖσος βασιλεὺς ἀνέθηκε,
δραχμῇ τὴν ἑτέραν μείζονα τῆς ἑτέρας.

IX.

α Ὡρονόμων οὐχ' ἄριστε, πόσον παρελήλυθεν ἠοῦς;
β ὅσσον ἀποιχομένοιο δύο τρίτα, δὶς τόσα λείπει.

X.

Τίπτε με τῶν καρύων ἕνεκεν πληγῇσι πιέζεις,
ὦ μῆτερ; τὰ δὲ πάντα καλαὶ διεμοιρήσαντο
παρθένοι. ἡ γὰρ ἐμεῖο Μελισσιὸν ἕβδομα δοιά,
ἡ δὲ δυωδέκατον Τιτάνη λάβεν· ἕκτον ἔχουσι
καὶ τρίτον Αστυόχη φιλοπαίγμονες ἠδὲ Φίλιννα·
εἴκοσι δ' ἁρπάξασα Θέτις λάβε, δώδεκα Θίσβη·
ἤνιδε καὶ δὲ γελᾷ Γλαύκη παλάμῃσιν ἔχουσα
ἕνδεκα· τοῦτο δ' ἐμοὶ κάρυον περιλείπεται οἶον.

XI. p. 480.

α Πῆ σοι μῆλα βέβηκεν, ἐμὸν τέκος; β ἕκτα μὲν Ἰνὼ
δοιά, καὶ ὀγδοάτην μοῖραν ἔχει Σεμέλη·
Αὐτονόη δὲ τέταρτον ἀφήρπασεν· αὐτὰρ Ἀγαυὴ
πέμπτον ἐμῶν κόλπων ᾤχετ' ἀπαινυμένη·
σοὶ δ' αὐτῇ δέκα μῆλα φυλάσσεται· αὐτὰρ ἔγωγε,
ναὶ μὰ φίλην Κύπριν, ἓν τόδε μοῦνον ἔχω.

T. II. XII.

Δρεψαμένη ποτὲ μῆλα φίλαις διεδάσσατο Μυρτώ.
Χρυσίδι μὲν μήλων πέμπτον πόρε, τέτρατον Ἡροῖ,
ἐννεακαιδέκατον Ψαμάθῃ, δέκατον Κλεοπάτρῃ·
αὐτὰρ ἐεικοστὸν δωρήσατο Παρθενοπείῃ·
δώδεκα δ' Εὐάδνῃ μοῦνον πόρεν· αὐτὰρ ἐς αὐτὴν
ἤλυθεν ἐκ πάντων ἑκατὸν καὶ εἴκοσι μῆλα.

XIII.

Αντομέναις ποτὲ μῆλα φίλαις διεμοιρήσαντο
Ινὼ καὶ Σεμέλη δώδεκα παρθενικαῖς.
καὶ ταῖς μὲν Σεμέλη πόρεν ἄρτια· ταῖς δὲ περισσὰ
δῶκε κασιγνήτη· μῆλα δ' ἔχεν πλέονα.
ἡ μὲν γὰρ τρισσῇσι τρί' ἕβδομα δῶκεν ἑταίραις,
ταῖς δὲ δύω πάντων πέμπτον ἔδωκε λάχος·
ἕνδεκα δ' Αστυνόμη μιν ἀφείλατο, καί οἱ ἔλειπεν
μοῦνα κασιγνήταις μῆλα δύω φερέμεν.
ἡ δ' ἑτέρη πισύρεσσι πόρεν δύο τέτρατα μήλων,
πέμπτῃ δ' ἑκταίην μοῖραν ἔδωκεν ἔχειν·
τέσσαρα δ' Εὐρυχόρῃ δῶρον πόρε· τέτρασι δ' ἄλλοις
μήλοισιν Σεμέλη μίμνεν ἀγαλλομένη.

p. 481. XIV.

Η καρύη πολλοῖσιν ἐβεβρίθει καρύοισιν·
νῦν δέ τίς ἐξαπίνης μιν ἀπέθρισεν; ἀλλὰ τί φησίν;
Εκ μὲν ἐμεῦ καρύων πέμπτον λάβε Παρθενόπεια·
ὀγδόατον δὲ Φίλιννα φέρει λάχος, ἡ δ' Αγανίππη
τέτρατον· ἑβδομάτῳ δ' ἐπιτέρπεται Ωρείθυια·
ἕκτην δ' Εὐρυνόμη καρύων ἐδρέψατο μοῖραν·

τρισσαὶ δ' ἓξ ἑκατὸν Χάριτες διεμοιρήσαντο· T. II.
ἐννάκι δ' ἐννέα Μοῦσαι ἐμεῦ λάβον· ἑπτὰ δὲ λοιπὰ
δήεις ἀκρεμόνεσσιν ἐφήμενα τηλοτέροισιν.

## XV.

Ἑπτάλοφον ποτὶ ἄστυ Γαδειρόθεν, ἕκτον ὁδοῖο
Βαίτιος εὐμύκους ἄχρις ἐς ἠϊόνας·
κεῖθεν δ' αὖ πέμπτον Πυλάδου μετὰ Φώκιον οὖδας,
Ταύρη χθὼν, βοέης οὔνομ' ἀπ' εὐετίης·
Πυρήνην δέ τοι ἔνθεν ἐπ' ὀρθόκραιρον ἰόντι
ὄγδοον· ἡ δὲ μιῆς δωδέκατον δεκάδος.
Πυρήνης δὲ μεσηγὺ καὶ Ἄλπιος ὑψικαρήνου
τέτρατον· Αὐσονίης αἶψα δυωδέκατον
ἀρχομένης ἤλεκτρα φαείνεται Ἠριδανοῖο.
ὦ μάκαρ ὃς δισσὰς ἤνυσα χιλιάδας,
πρὸς δ' ἔτι πέντ' ἐπὶ ταῖς ἑκατοντάδας ἔνθεν ἐλαύνων·
ἡ γὰρ Ταρπείη μέμβλετ' ἀνακτορίη.

## XVI.

Εὐβλεφάροιο Δίκης ἱερὰ κρήδεμνα μιήνας,
ὄφρα σε, πανδαμάτωρ χρυσὲ, βλέποιμι τόσον,
οὐδὲν ἔχω, πίσυρας γὰρ ἐπ' οὐκ ἀγαθοῖσι ταλάντων p. 482.
οἰωνοῖσι μάτην δῶκα φίλοις δεκάδας·
ἥμισυ δ' αὖ, τρίτατόν τε καὶ ὄγδοον, ὦ πολύμορφοι
ἀνθρώπων κῆρες, ἐχθρὸν ἔχοντα βλέπω.

## XVII.

Πέμπτον μοι κλήρου, παῖ, λάμβανε· δωδέκατον δὲ
δέξο, δάμαρ· πίσυρες δ' υἱέες οἰχομένου

T. II. παιδὸς, ἀδελφειοί τε δύω, καὶ ἀγάστονε μῆτερ,
ἑνδεκάτην κλήρου μοῖραν ἕκαστος ἔχε.
αὐτὰρ ἀνεψιαδοῖ δύο καὶ δέκα δέχθε τάλαντα·
Εὔβουλος δ' ἐχέτω πέντε τάλαντα φίλος.
πιστοτάτοις δμώεσσιν ἐλευθερίην καὶ ἄποινα,
μισθὸν ὑπηρεσίης, τοῖσδε δίδωμι τάδε.
ὧδε λαμβανέτωσαν· Ονήσιμος εἴκοσι πέντε
μνᾶς ἐχέτω· Δάος δ' εἴκοσι μνᾶς ἐχέτω·
πεντήκοντα Σύρος, Συνέτη δέκα, Τίβιος ὀκτώ·
ἑπτὰ δὲ μνᾶς Συνέτῳ παιδὶ δίδωμι Σύρου.
ἐκ δὲ τριηκόντων κοσμήσατε σῆμα ταλάντων·
ῥέζετε δ' Οὐδαίῳ Ζανὶ θυηπολίην·
δισσῶν ἔς τε πυρὴν, καὶ ἄλφιτα, καὶ τελαμῶνας·
εἰκαίην δοιῶν σῶμα χάριν λαβέτω.

## XVIII.

Τύμβος ἐγὼ, κεύθω δὲ πολύστονα τέκνα Φιλίννης,
τοῖον μαψιτόκων καρπὸν ἔχων λαγόνων.
πέμπτον ἐν ἠϊθέοις, τρίτατον δ' ἐνὶ παρθενικῇσι,
τρεῖς δ' ἐμοὶ ἀρτιγάμους δῶκε Φίλιννα κόρας·
λοιποὶ δ' ἠελίοιο πανάμμοροι ἠδὲ καὶ αὐδῆς
τέσσαρες ἐκ λαγόνων εἰς Αχέροντα πέσον.

## XIX.

p. 483. Οὗτός τοι Διόφαντον ἔχει τάφος. ἆ μέγα θαῦμα·
καὶ τάφος ἐκ τέχνης μέτρα βίοιο λέγει.
ἕκτην κουρίζειν βιότου θεὸς ὤπασε μοίρην·
δωδεκάτην δ' ἐπιθεὶς, μῆλα πόρεν χλοάειν·

τῆ δ' ἄρ' ἐφ' ἑβδομάτη τὸ γαμήλιον ἥψατο φέγγος, T. II
ἐκ δὲ γάμων πέμπτῳ παῖδ' ἐπένευσεν ἔτει.
αἲ αἲ τηλύγετον δειλὸν τέκος, ἥμισυ πατρὸς
μέτρον τῷ κρυερὸς Μοῖρ' ἄφελεν βιότου.
πένθος δ' αὖ πισύρεσσι παρηγορέων ἐνιαυτοῖς
τῆδε ποσοῦ σοφίῃ τέρμ' ἐπέρησε βίου.

## XX.

Παντὸς ὅσον βεβίωκε χρόνου παῖς μὲν τὸ τέταρτον
Δημοχάρης βεβίωκε· νεηνίσκος δὲ τὸ πέμπτον·
τὸ τρίτον εἰς ἄνδρας· πολιὸν δ' ὅτ' ἀφίκετο γῆρας,
ἔζησεν λοιπὰ τρεῖς καὶ δέκα γήραος οὐδῷ.

## XXI.

Οἶον ἀδελφειὸς μ' ἐβιήσατο, πέντε τάλαντα
οὐχ ὁσίῃ μοίρῃ πατρικὰ δασσάμενος.
ἑπτὰ κασιγνήτοιο τὸδ' ἑνδεκάτων πολύδακρυς
πέμπτον ἔχω μοίρης. Ζεῦ βαθὺν ὕπνον ἔχεις.

## XXII.

Εἶπε κυβερνητῆρι, πλατὺν πόρον Ἀδριακοῖο
τέμνων νηί· Ἀλὸς πόσα λείπεται εἰσέτι μέτρα;
τὸν δ' ἀπαμείβετο· Ναῦτα, μέσον Κριοῖο μετώπου
Κρηταίου, Σικελῆς τε Πελωρίδος ἑξάκι μέτρα
χίλια, δοιῶν δ' αὖτε παροιχομένοιο δρόμοιο
πέμπτων διπλάσιον Σικελὴν ἐπὶ πορθμίδα λείπει. p. 484.

XIX. 5. Scr. τῇ δ' ἄρ' ἐφ' — 6. Fort. ἐπίλευσεν.

T. II.

## XXIII.

Τῶν πισύρων κρουνῶν ὁ μὲν ἤματι πλῆσεν ἅπασαν
δεξαμενὴν, δυσὶ δ' οὗτος, ὁ δ' ἐν τρισὶν ἤμασιν οὗτος,
τέτρατος ἐν τετόρεσσι· πόσῳ πλήσουσιν ἅπαντες;

## XXIV.

Οἶγέ με, καὶ πισύρεσσιν ἐνιπλήσω παρεοῦσαν
δεξαμενὴν ὥραις, κρουνὸς ἅλις προρέων·
δεξιτερὸς δ' ἄρ' ἐμεῖο τόσαις ἀπολείπεται ὥραις
ὄφρα μιν ἐμπλήσει· δὶς δὲ τόσαις ὁ τρίτος.
εἰ δ' ἄμφω σὺν ἐμοὶ προχέειν ῥόον ἐς μίαν οἴγοις,
εἰν ὀλίγῃ μοίρῃ πλήσομεν ἠματίῃ.

## XXV.

Κύκλωψ ὢ Πολύφημος ὁ χάλκεος· οἷα δ' ἐπ' αὐτῷ
τεῦξέ τις ὀφθαλμὸν, καὶ στόμα, καὶ παλάμην,
κρουνοῖς συζεύξας, στάζοντι δὲ πάμπαν ἔοικεν,
ἠδ' ἔτι καὶ βλύζων φαίνετ' ἀπὸ στόματος.
κρουνῶν δ' οὔτις ἄτακτος· ὁ μὲν παλάμης, τρισὶ μούνοις
ἤμασιν ἐμπλήσει δεξαμενὴν προρέων·
ἠμάτιος γλήνης· στόμα δ', ἤματος ἐν δύο πέμπτοις.
τίς κ' ἐνέποι τρισσοῖς ἶσα θέοντα χρόνον;

## XXVI.

Ὡς ἀγαθὸν κρητῆρι θοοὶ κερόωσι ῥέεθρον
οἵδε δύω ποταμοὶ, καὶ Βρομίοιο χάρις.
p. 485. ἶσος δ' οὐ πάντεσσι ῥόου δρόμος· ἀλλά μιν οἶος
Νεῖλος μὲν προρέων ἠμάτιος κορέσει,
τόσσον ὕδωρ μαζῶν ἀπερεύγεται· ἐκ δ' ἄρα Βάκχου
θύρσος ἐνὶ τρισσοῖς ἤμασιν οἶνον ἱείς·

σὸν δὲ κέρας, Ἀχελῶε, δύ' ἤμασι. νῦν δ' ἅμα πάντες T. II.
ῥεῖτε, καὶ ἐν ὥραις πλήσετέ μιν ὀλίγαις.

## XXVII.

Ὦ γύναι, ὡς πενίης ἐπελήσαο· ἡ δ' ἐπίκειται
αἰὲν ἀναγκαίη κέντρα φέρουσα πόνων.
μνᾶν ἐρίων νήθεσκες ἐν ἤματι· πρεσβυτέρη δὲ
θυγατέρων καὶ μνᾶν καὶ τρίτον εἷλκε κρόκης·
ὁπλοτέρη δὲ μιῆς φέρεν ἥμισυ. νῦν δ' ἅμα πάσαις
δόρπον ἐφοπλίζει μνᾶν ἐρύσας ὁ κανών.

## XXVIII.

Οἵδε λοετροχόοι τρεῖς ἕσταμεν ἐνθάδ' Ἔρωτες,
καλλιρόου πέμποντες ἐπ' εὐρίποιο λοετρά.
δεξιτερὸς μὲν ἔγωγε τανυπτερύγων ἀπὸ ταρσῶν
ἤματος ἑκταίῃ μοίρῃ ἔνι τόνδε κορέσσω·
λαιὸς δ' αὖ πισύρεσσιν ἀπ' ἀμφιφορῆος ἐν ὥραις·
ἐκ δ' ὁ μέσος τόξοιο κατ' ἤματος αὐτὸ τὸ μέσσον.
φράζεο δ' ὡς ὀλίγῃ κεν ἐνιπλήσαιμεν ἐν ὥρῃ,
ἐκ πτερύγων, τόξου τε, καὶ ἀμφιφορῆος ἱέντες.

## XXIX.

Πλινθουργοί, μάλα τοῦτον ἐπείγομαι οἶκον ἐγεῖραι·
ἦμαρ δ' ἀννέφελον τόδε σήμερον, οὐδ' ἔτι πολλῶν
χρηΐζω, πᾶσαν δὲ τριηκοσίῃσι δέουσαν
πλίνθον ἔχω. σὺ δὲ μοῦνος ἐν ἤματι τόσσον ἔτευχες·
παῖς δέ τοι ἐκ καμάτοιο διηκοσίαις ἀπέληγεν· p. 486.
γαμβρὸς δ' αὖ τόσσῃσι καὶ εἰσέτι πεντήκοντα.
τρισσαῖς συζυγίαις πόσσαις τόδε τεύχεται ὥραις;

T. II.

## XXX.

Δάκρυ παρὰ ϛάξαντες ἀμείβετε. οἵδε γὰρ ἡμεῖς,
οὓς τόδε δῶμα πεσὸν ὤλεσεν Ἀντιόχου
δαιτυμόνας, οἷσίν τε θεὸς δαιτός τε τάφου τε
τόνδ' ἔπορεν χῶρον. τέσσαρες ἐκ Τεγέης
κείμεθα· Μεσσήνης δὲ δυώδεκα· ἐκ δέ τε πέντε
Ἄργεος· ἐκ Σπάρτης δ' ἥμισυ δαιτυμόνων·
αὐτὸς δ' Ἀντίοχος· πέμπτου δέ τε πέμπτον ὄλοντο
Κεκροπίδαι· σὺ δ' Ὕλαν κλαῖε, Κόρινθε, μόνον.

## XXXI.

Νικαρέτη παίζουσα σὺν ἡλικιώτισι πέντε,
ὧν εἶχεν καρύων δῶκε Κλιτοῖ τὸ τρίτον,
καὶ Σαπφοῖ τὸ τέταρτον, Ἀριςοδίκῃ δὲ τὸ πέμπτον,
εἰκοςὸν Θεανοῖ καὶ πάλι δωδέκατον,
εἰκοςὸν τέτρατον δὲ Φιλιννίδι· καὶ περιῆν δὲ
πεντήκοντ' αὐτῇ Νικαρέτῃ κάρυα.

## XXXII.

Γνωμονικῶν Διόδωρε μέγα κλέος, εἰπέ μοι ὥρην.
Ηνίκ' ἀπ' ἀντολίης πόλον ἥλατο χρύσεα κῆλα
ἠελίου, τοῦ δ' ἤτοι ὅσον τρία πέμπτα δρόμοιο,
τετράκι τόσσον· ἔπειτα μεθ' Ἑσπερίην ἅλα λείπει.

p. 487.

## XXXIII.

Ζεῦ μάκαρ, ἦ ῥά τοι ἦ ῥα τάδ' εὔαδεν, οἷα γυναῖκες
Θεσσαλικαὶ παίζουσι; μαραίνεται ὄμμα Σελήνης
ἐκ μερόπων· ἴδον αὐτός. ἐὴν δ' ἔτι νυκτὸς ἐπ' ἠῶ
δὶς τόσον, ὅσσα δύ' ἕκτα καὶ ἕβδομον οἰχομένοιο.

## XXXIV.

T. II.

Ἀπλανέων ἄστρων, παρόδους τ' ἐπὶ τοῖσιν ἀλητῶν
εἰπέ μοι, ἡνίκ' ἐμοὶ χθιζὸν ἔτικτε δάμαρ·
ἦμαρ ἔην, ὅσσον τε δὶς ἕβδομον ἀντολίηθεν,
ἑξάκι τόσσον ἔην Ἑσπερίην ἐς ἅλα.

## XXXV.

Ἐγρέσθ', Ἠριγένεια παρέδραμε· πέμπτον, ἔριθοι,
λειπομένης τρισσῶν οἴχεται ὀγδοάτων.

## XXXVI.

Σύρτιος ἐν τενάγεσσι πατὴρ θάνεν, ἐκ δ' ἄρ' ἐκείνης
πέντε τάλαντα φέρων ἤλυθε ναυτιλίης
οὗτος ἀδελφειῶν προφερέστατος· ἦ γὰρ ἔμοιγε
δῶκεν ἑῆς μοίρης διπλάσιον τριτάτων
δοιῶν, ἡμετέρης δὲ δύ' ὄγδοα μητέρι μοίρης
ὤπασεν, οὐδὲ δίκης ἤμβροτεν ἀθανάτων.

## XXXVII.

α Ἁ βάσις ἂν πατέω σὺν ἐμοὶ βάρος ἁλίκον ἕλκει.
β χἀ κρηπὶς σὺν ἐμοὶ τόσσα τάλαντα φέρει.
α ἀλλ' ἐγὼ οἶος ἅπαξ τὰν σὰν βάσιν ἐς δὶς ἀνέλκω.
β κἠγὼ μοῦνος ἐὼν σὰν βάσιν ἐς τρὶς ἄγω.

## XXXVIII.

p. 488.

α Δός μοι δέκα μνᾶς, καὶ τριπλοῦς σοῦ γίνομαι.
β κἀγὼ λαβὼν σοῦ τὰς ἴσας, σοῦ πεντάπλους.

## XXXIX.

α Δός μοι δύο μνᾶς, καὶ δίπλους σοῦ γίνομαι.
β κἀγὼ λαβὼν σοῦ τὰς ἴσας, σοῦ τετράπλους.

T. II.

## XL.

Ομηρος Ησιόδῳ ἐρωτήσαντι πόσον τὸ τῶν Ελλήνων πλῆθος κατὰ τῆς Ιλίου στρατεῦσαν.

Επτ᾽ ἔσαν μαλεροῦ πυρὸς ἐσχάραι· ἐν δὲ ἑκάστῃ
πεντήκοντ᾽ ὀβελοὶ, περὶ δὲ κρέα πεντήκοντα·
τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας ἦσαν Αχαιοί.

## XLI.

Παλλὰς ἐγὼ χρυσῆ σφυρήλατος. αὐτὰρ ὁ χρυσὸς
αἰζηῶν πέλεται δῶρον ἀοιδοπόλων.
ἥμισυ μὲν χρυσοῖο Χαρίσιος, ὀγδοάτην δὲ
Θέσπις, καὶ δεκάτην μοῖραν ἔδωκε Σόλων,
αὐτὰρ ἐεικοστὴν Θεμίσων· τὰ δὲ λοιπὰ τάλαντα
ἐννέα, καὶ τέχνη δῶρον Αριστοδίκου.

## XLII.

Αὐγείην ἐρέεινε μέγα σθένος Αλκίδαο.
πληθὺν βουκολίων διζήμενος· ὃς δ᾽ ἀπάμειπτο·
Αμφὶ μὲν Αλφειοῖο ῥοὰς, φίλος, ἥμισυ τῶνδε·
μοίρῃ δ᾽ ὀγδοάτῃ ὄχθον Κρόνου ἀμφινέμονται·
δωδεκάτη δ᾽ ἀπάνευθε Ταραξίπποιο παρ᾽ οὖρον·
p. 489. ἀμφὶ δ᾽ ἄρ᾽ Ηλιδα δῖαν ἐεικοστὴ νεμέθονται·
αὐτὰρ ἐν Αρκαδίηφι τριηκοστὴν προλέλοιπα·
λοιπὰς δ᾽ αὖ λεύσσεις ἀγέλας τόδε πεντήκοντα.

## XLIII.

Χάλκεός εἰμι λέων· κρουνοὶ δ᾽ ἐμοὶ ὄμματα δοιὰ,
καὶ στόμα, σὺν δὲ, θέναρ δεξιτεροῖο ποδός.
πλήθει δὲ κρητῆρα δύ᾽ ἤμασι δεξιὸν ὄμμα,
καὶ λαιὸν τρισσοῖς, καὶ πισύρεσσι θέναρ·

ἄρκιον

ἄρκιον ἓξ ὥραις πλῆσαι στόμα. εἰ δ᾽ ἅμα πάντα, T. II.
καὶ στόμα, καὶ γλῆναι, καὶ θέναρ, εἰπὲ πόσαις.

XLIV.

Ἄμφω μὲν ἡμεῖς εἴκοσι μνᾶς ἕλκομεν,
Ζῆθός τε, χὠ ξύναιμος· ἢν δέ μου λάβῃς
τρίτον, τὸ τέτρατόν τε τοῦθ᾽ Ἀμφίονος,
ἓξ πάντ᾽ ἀνευρὼν, μητρὸς εἰρήσεις σταθμόν.

## ΑΣΚΛΗΠΙΟΔΟΤΟΥ. p. 490.

Ζώειν, εἰναλίη Θέτι, Μέμνονα, καὶ μέγα φωνεῖν
μάνθανε, μητρῴῃ λαμπάδι θαλπόμενον,
Αἰγύπτου Λιβυκῇσιν ὑπ᾽ ὀφρύσιν, ἔνθ᾽ ἀποτέμνει
καλλίπυλον Θήβην Νεῖλος ἐλαυνόμενος·
τὸν δὲ μάχης ἀκόρητον Ἀχιλλέα, μήτ᾽ ἐνὶ Τρώων
φθέγγεσθαι πεδίῳ, μήτ᾽ ἐνὶ Θεσσαλίῃ.

## ΡΟΥΦΟΥ
### ΔΟΜΕΣΤΙΚΟΥ.

Πάντα σέθεν φιλέω, μοῦνον δὲ σὸν ἄκριτον ὄμμα
ἐχθαίρω, στυγεροῖς ἀνδράσι τερπόμενον.

T.II. p.491.

# ΚΥΡΙΛΛΟΥ.

I.

Πάγκαλόν ἐςʼ ἐπίγραμμα τὸ δίςιχον· ἢν δὲ παρέλθῃς
τὺς τρεῖς, ῥαψῳδεῖς, κὐκ ἐπίγραμμα λέγεις.

II.

Κύριλλος τόδε σῆμα φίλῳ ποιήσατο παιδὶ
Κλειοφόρῳ, τριέτη ὃν ἀφείλετο Μοῖρα κραταιὴ,
πρὶν γλυκερῦ βιότοιο ἐς ἡλικίης τέλος ἐλθεῖν.
ἀλλʼ εἴ γʼ ἐν φθιμένοισί τις αἴσθησις, τέκνον, ἐςὶν,
κῦφον ἔχοις γαίης βάρος εὐσεβίης ἐνὶ χώρῳ.

p. 492.

# ΔΙΟΓΕΝΟΥΣ
## ΕΠΙΣΚΟΠΟΥ ΑΜΙΣΟΥ.

Εἰς Διογένην τὸν αὐτῦ ἀδελφιδῦν.

Σοὶ τόδε, Διόγενες, θαλερῆς μνημήϊον ἥβης
Πόντῳ ἐν Εὐξείνῳ θήκατο Φρὺξ γενέτης,
φεῦ, πάτρης ἑκὰς ὅσσον. ἄγεν δέ σε νεῦμα θεοῖο,
πατρὸς ἀδελφειῷ πένθος ὀφειλόμενον,
ὅς σε περιςείλας ἱερῇ παλάμῃ τε καὶ εὐχῇ
γείτονα τῆς μακάρων θῆκε χοροςασίης.

# ΙΟΥΛΙΑΝΟΥ T.II. p.493.

## ΑΠΟ ΥΠΑΡΧΩΝ ΑΙΓΥΠΤΙΟΥ.

I.

Στέφος πλέκων ποθ' εὗρον
ἐν τοῖς ῥόδοις Ερωτα,
καὶ τῶν πτερῶν κατασχὼν
ἐβάπτισ' εἰς τὸν οἶνον,
λαβὼν δ' ἔπιον αὐτόν·
καὶ νῦν ἔσω μελῶν μευ
πτεροῖσι γαργαλίζει.

II.

Ιμερτὴ Μαρίη μεγαλίζεται. ἀλλὰ μετέλθοις
κείνης, πότνα Δίκη, κόμπον ἀγηνορίης·
μὴ θανάτῳ, βασίλεια· τὸ δ' ἔμπαλιν, ἐς τρίχας ἔλθοι
γήραος· ἐς ῥυτίδας σκληρὸν ἵκοιτο ῥέθος·
τίσειαν πολιαὶ τάδε δάκρυα. κάλλος ὑπόσχοι
ψυχῆς ἀμπλακίην, αἴτιον ἀμπλακίης.

III.

Ελλάδα νικήσασαν ὑπέρβιον ἀσπίδα Μήδων
Λαῒς θῆκεν ἑῷ κάλλεϊ ληϊδίην.
μούνῳ ἐνικήθη ὑπὸ γήραϊ, καὶ τὸν ἔλεγχον — p. 494.
ἄνθετό σοι, Παφίη, τὸν νεότητι φίλον.

I. 5. Scr. ἔπινεν.

T. II. ἧς γὰρ ἰδεῖν στυγέει πολιῆς παναληθέα μορφὴν,
τῆσδε συνεχθαίρει καὶ σκιόεντα τύπον.

IV.

Λαῒς ἀμαλδυνθεῖσα χρόνῳ περικαλλέα μορφὴν,
γηραλέων στυγέει μαρτυρίην ῥυτίδων·
ἔνθεν πικρὸν ἔλεγχον ἀπεχθήρασα κατόπτρου,
ἄνθετο δεσποίνῃ τῆς πάρος ἀγλαΐης.
ἀλλὰ σύ μοι, Κυθέρεια, δέχου νεότητος ἑταῖρον
δίσκον, ἐπεὶ μορφὴ σὴ χρόνον οὐ τρομέει.

V.

Κάλλος μὲν, Κυθέρεια, χαρίζεαι· ἀλλὰ μαραίνει
ὁ χρόνος ἑρπύζων σὴν, βασίλεια, χάριν.
δώρου δ' ὑμετέροιο παραπταμένου με, Κυθήρη,
δέχνυσο τὴν δώρου, πότνια, μαρτυρίην.

VI.

Καμπτομένους δόνακας, κώπην θ' ἅμα, νηὸς-ἱμάσθλην,
γυρῶν τ' ἀγκίστρων καμπυλόεσσαν ἴτυν,
εὐκόλπου τε λίνοιο περίπλοα κύκλα μολίβδῳ,
καὶ φελλοὺς κύρτων μάρτυρας εἰναλίων,
ζεῦγός τ' εὐπλεκέων σπυρίδων, καὶ μητέρα πυρσῶν
τήνδε λίθον, νηῶν θ' ἕδρανον ἀσταθέων
ἄγκυραν, γριπεὺς, Ἐριούνιε, σοὶ τάδε Βαίτων
δῶρα φέρει, τρομεροῦ γήραος ἀντιάσας.

VII.

P. 495. Κεκμηὼς χρονίῃ πεπονηκότα δίκτυα θήρῃ
ἄνθετο ταῖς Νύμφαις ταῦτα γέρων Κινύρας·

ὐ γὰρ ἔτι τρομερῇ παλάμῃ περιηγέα κόλπον T. II.
 εἶχεν ἀκοντίζειν ῥιγομένοιο λίνυ.
εἰ δ' ὀλίγυ δώρυ τελέθει δόσις, ὐ τόδε, Νύμφαι,
 μέμψις, ἐπεὶ Κινύρυ ταῦθ' ὅλος ἔσκε βίος.

VIII.

Ταῖς Νύμφαις Κινύρας τόδε δίκτυον· ὐ γὰρ ἀείρει
 γῆρας ἀκοντιστὴν μόχθον ἐκηβολίης.
ἰχθύες, ἀλλὰ νέμοισθε γεγηθότες, ὅττι θαλάσσῃ
 δῶκεν ἔχειν Κινύρυ γῆρας ἐλεοθερίην.

IX.

Γνωτῶν τρισσατίων ἐκ τρισσατίης λίνα θήρης
 δέχνυσο, Πάν. Πίγρης σοὶ γὰρ ἀπὸ πτερύγων
ταῦτα φέρει· θηρῶν, Δᾶμις· Κλείτωρ δὲ, θαλάσσης.
 καί σφι δὸς εὐαγρεῖν ἠέρα, γαῖαν, ὕδωρ.

X.

Ακλινέας γραφίδεσσιν ἀπιθύνοντα πορείας
 τόνδε μόλιβδον ἄγων, καὶ μολίβυ κανόνα,
σύνδρομον ἡνιοχῆα, πολυτρήτυ τ' ἀπὸ πέτρης
 λᾶαν, ὃς ἀμβλεῖαν θῆγε γένυν καλάμυ,
σὺν δ' αὐτοῖς καλάμοισι μέλαν, μυστήρια φωνῆς
 ἀνδρομέης, σμίλης τ' ὀξυτόμον κοπίδα,
Ερμείῃ Φιλόδημος, ἐπεὶ χρόνος ὄμματος αὐγὴν
 ἀμβλύνας παλάμῃ δῶκεν ἐλευθερίην.

XI. p. 496.

Αὔλακας ἰθυπόρων γραφίδων κύκλοισι χαράσσων
 ἄνθεμά σοι τρωχθεὶς ὗτος ἐμὸς μόλιβος,

T. II. καὶ μολίβῳ χρωστῆρι κανὼν τύπον ὀρθὸν ὀπάζων,
καὶ λίθος εὐσχιδέων θηγαλέη καλάμων,
σὺν καλάμοις ἄγγος τε μελανδόκον, οἷσι φυλάσσει
αἰὼν ἐσσομένοις γῆρυν ἀποιχομένων·
δέχνυσο καὶ γλυπτῆρα σιδήρεον, ὦ θρασὺς Αρης
σὺν Μούσαις ἰδίην δῶκε διακτορίην,
Ερμείη, τὰ γὰρ ὅπλα· σὺ δ' ἀδρανέος Φιλοδήμου
ἴθυνε ζωὴν, λειπομένοιο βίου.

## XII.

### Εἰς τὸν Πραξιτέλους Ερωτα.

Κλίνας αὐχένα γαῦρον ὑφ' ἡμετέροισι πεδίλοις,
χερσί με ληΐδίαις ἔπλασε Πραξιτέλης.
αὐτὸν γὰρ τὸν Ερωτα τὸν ἔνδοθι κευθόμενόν με
χαλκώσας, Φρύνῃ δῶκε γέρας φιλίης.
ἡ δέ μιν αὖθις Ερωτι προσήγαγε· καὶ γὰρ ἐρῶντας
δῶρον Ερωτι φέρειν αὐτὸν Ερωτα θέμις.

## XIII.

Αγριος οὗτος Αδωνις, ὃς εἰς κύνας ὄμματα βάλλει,
σχέτλι' Ερως, Παφίης ἄγχι παρισταμένης.

## XIV.

### Εἰς τὴν Μύρωνος βοῦν.

Χαλκείην τύπτεις δάμαλιν· μέγα σ' ἤπαφε τέχνη,
βουκόλε· τὴν ψυχὴν οὐ προσέθηκε Μύρων.

p. 497.

## XV.

Πόρτιν τήνδε Μύρωνος ἰδὼν, τάχα τοῦτο βοήσεις·
Η Φύσις ἄπνοός ἐστιν, ἢ ἔμπνοος ἔπλετο τέχνη.

XVI. T. II.

Βουκόλε, ποῖ προθέειν με βιάζεαι, ἴσχεο νύσσων.
οὐ γάρ μοι τέχνη καὶ τόδ' ὕπασσεν ἔχειν.

XVII.

Ἡ χαλκὸν ζώωσε Μύρων σοφὸς, ἢ τάχα πόρτιν
χάλκωσε, ζωὰν ἐξ ἀγέλας ἐρύσας.

XVIII.

Πλάστα Μύρων, στὰ πόρτιν ὁδοιπόρος ἦλθεν ἐλάσσων·
χαλκοῦ δὲ ψαύσας, φὼρ κενὸς ἐξεφάνη.

XIX.

Εἰσορόων με λέων χαίνει στόμα, χερσὶ δ' ἀείρει
γειοπόνος ζεύγλην, ἀγρονόμος κορύνην.

XX.

Τλῆθι, Μύρων· τέχνη σε βιάζεται· ἄπνοον ἔργον.
ἐκ φύσεως τέχνη· οὐ γὰρ φύσιν εὕρετο τέχνη.

XXI.

Ἐν βοῒ τᾷδ' ἐμάχοντο Φύσις καὶ πότνια Τέχνα·
ἀμφοτέραις δὲ Μύρων ἶσον ὕπασσε γέρας.
δερκομένοις μὲν γὰρ, Φύσιος κράτος ἥρπασε Τέχνα·
αὐτὰρ ἐφαπτομένοις, ἡ Φύσις ἐστὶ Φύσις.

XXII. p. 498.

Ἥπαφε καί σε μύωπα Μύρων, ὅτι κέντρον ἐρείδεις
πλευραῖς χαλκοτύποις ἀντιτύποιο βοός·
οὐ νέμεσις δὲ μύωπι· τί γὰρ τόσον, εἴ γε καὶ αὐτοὺς
ὀφθαλμοὺς νομέων ἠπερόπευσε Μύρων;

XX. 1. Fort. (α) τλῆθι φύσις, τέχνη σε βιάζεται. (β) ἄπνοον ἔργον.

T. II.

XXIII.

Εἰς ἄγαλμα Προμηθέως.

Τέχνης πυρσὸν ὄπασσα φερέσβιον, ἐκ δ᾽ ἄρα τέχνης
καὶ πυρὸς, ἀλλήκτου πήματος ὄψιν ἔχω.
ἦ μερόπων ἀχάριστον ἀεὶ γένος, εἴ γε Προμηθεὺς
ἀντ᾽ εὐεργεσίης ταῦθ᾽ ὑπὸ χαλκοτύπων.

XXIV.

Χαλκὸν μὲν καλέεσκεν ἀτειρέα βίβλος Ομήρου·
ἀλλά μιν ὁ πλάστης δεῖξεν ἐλεγχομένην.
δεῦρ᾽ ἴδε γὰρ στενάχοντα Προμηθέα, δεῦρ᾽ ἴδε χαλκοῦ
τειρομένου σπλάγχνων ἐκ μυχάτων ὀδύνας.
Ηρακλες νεμέσησον, ἐπεὶ μετὰ σεῖο φαρέτρην
Ιαπετιονίδης ἄλγος ἄπαυστον ἔχει.

XXV.

Εἰς Ικαρον χαλκοῦν ἐν λουτρῷ ἱσάμενον.

Ικαρε, κηρὸς μέν σε διώλεσε· νῦν δέ σε χαλκῷ
ἤγαγεν εἰς μορφὴν αὖθις ὁ χαλκοτύπος.
ἀλλά γε μὴ πτερὰ πάλλε κατ᾽ ἠέρα, μὴ τὸ λοετρὸν,
ἠερόθεν πίπτων, Ικάριον τελέσῃς.

p. 499.

XXVI.

Ικαρε, χαλκὸς ἐὼν μιμνήσκεο· μηδέ σε τέχνη,
μηδ᾽ ἀπάφῃ πτερύγων ζεῦγος ἐπωμάδιον.
εἰ γὰρ ζωὸς ἐὼν πέσες ἐν πελάγεσσι θαλάσσης,
πῶς ἐθέλεις πτῆναι χάλκεον εἶδος ἔχων;

XXVII.

Εἰς εἰκόνα Φιλοκτήτου.

Οἶδα Φιλοκτήτην ὁρόων, ὅτι πᾶσι φαείνει
ἄλγος ἐὸν, καὶ τοῖς τηλόθι δερκομένοις.

ἄγρια μὲν κομόωσαν ἔχει τρίχα· δεῦρ' ἴδε κόρσης T. II.
χαίτην τρηχαλέοις χρώμασιν αὐσταλέην·
δέρμα κατεσκληκὸς δὲ φέρει καὶ ῥικνὸν ἰδέσθαι,
καὶ τάχα καρφαλέον χερσὶν ἐφαπτομέναις.
δάκρυα δὲ ξηροῖσιν ὑπὸ βλεφάροισι παγέντα
ἵσταται, ἀγρύπνου σῆμα δυσπαθίης.

## XXVIII.

Εἰς ἄγαλμα Νιόβης.

Δυστήνου Νιόβης ὁράας παναληθέα μορφὴν,
ὡς ἔτι μυρομένης πότμον ἐῶν τεκέων·
εἰ δ' ἄρα καὶ ψυχὴν οὐκ ἔλλαχε, μὴ τόδε τέχνῃ
μέμφεο· θηλυτέρην εἴκασε λαϊνέην.

## XXIX.

Εἰς εἰκόνα Μηδείας.

Τιμόμαχος Μήδειαν ὅτ' ἔγραφεν, εἰκόνι μορφᾶς
ἀψύχου ψυχὰς θήκατο διχθαδίας.
ζᾶλον γὰρ λεχέων, τεκέων θ' ἅμα φίλτρα συνάψας, p. 500.
δεῖξεν ἐν ὀφθαλμοῖς ἀντιμεθελκομέναν.

## XXX.

Εἰς τὴν ἐν Ἀθήναις ἔνοπλον Ἀθηνᾶν.

Τίπτε Τριτογένεια κορύσσεαι ἄστεϊ μέσσῳ;
εἶξε Ποσειδάων· φείδεο Κεκροπίης.

## XXXI.

Εἰς τὴν ἐν Σπάρτῃ ἔνοπλον Ἀφροδίτην.

Αἰεὶ μὲν Κυθέρεια φέρειν δεδάηκε φαρέτρην,
τόξα τε, καὶ δολιχῆς ἔργον ἐκηβολίης.
αἰδομένη δ' ἄρα θεσμὰ μενεπτολέμοιο Λυκούργου
φίλτρα φέρει Σπάρτῃ τεύχεσιν ἐγχεμάχοις.

T. II. ὑμεῖς δ᾽ ἐν θαλάμοισι Λακωνίδες, ὅπλα Κυθήρης
ἀζόμεναι, παῖδας τίκτετε θαρσαλέους.

XXXII.

Εἰς τὴν Ἀπελλοῦ Ἀφροδίτην ἀναδυομένην.

Ἄρτι θαλασσαίης Παφίη προύκυψε λοχείης,
μαῖαν Ἀπελλείην εὑραμένη παλάμην,
ἀλλὰ τάχος γραφίδων ἀποχάζεο, μή σε διήνῃ
ἀφρὸς ἀποστάζων θλιβομένων πλοκάμων.
εἰ τοίη ποτὲ Κύπρις ἐγυμνώθη διὰ μῆλον,
τὴν Τροίην ἀδίκως Παλλὰς ἐληΐσατο.

p. 501. XXXIII.

Εἰς φιάλην ἔχουσαν κινουμένους ἰχθύας.

Οὕτω Βάκχον ἔδεκτο Θέτις. νῦν μῦθος Ὁμήρου,
ὀψὲ μὲν, ἀλλ᾽ εὗρεν πίστιν ἐτητυμίης.

XXXIV.

Εἰς ἀνδριάντα Πυθαγόρου.

Οὐ τὸν ἀναπτύσσοντα φύσιν πολύμητιν ἀριθμῶν
ἤθελεν ὁ πλάστης Πυθαγόραν τελέσαι,
ἀλλὰ τὸν ἐν σιγῇ πινυτόφρονι· καὶ τάχα φωνὴν
ἔνδον ἀποκρύπτει, καὶ τόδ᾽ ἔχων ὀπάσαι.

XXXV.

Εἰς οἶκον ἐπίπεδον.

Ὥρῃ ἀναψύχω θέρεος, καὶ χείματι θάλπω,
τοὺλλιπὲς ὡράων ἐξ ἐμέθεν παρέχων.

XXXVI.

Εἰς ἀφύλακτον οἶκον.

Κερδαλέους δίζεσθε δόμους, ληΐστορες. ἄλλους·
τοῖσδε γὰρ ἐστι φύλαξ ἔμπεδος, ἡ πενίη.

## XXXVII.

T. II.

Εἰς βῆμα τοῦ σοφιστοῦ Κρατεροῦ.

Δένδρον ἐγὼ μακαριστὸν, ἐπεὶ ποτὲ μεσσόθεν ὕλης
ἱστάμενον λιγυροῖς ἐτρεφόμην ἀνέμοις,
ὀρνίθων ἐπίβαθρον ἐΰθροον. ἀλλὰ σιδήρῳ
ἐτμήθην, κλήρῳ κρείσσονος εὐτυχίης·
ἀντὶ γὰρ ὀρνίθων, Κρατεροῦ κρατεροῖς ὑπὸ μύθοις p. 502.
ἄρδομαι, εὐμούσοις χεύμασι τηλεθάον.

## XXXVIII.

Εἰς ἀρχοντικὸν πέλεκυν.

Ην μὲν ἀλιτραίνῃς, πέλεκυν βλεφάροισι δοκεύεις·
ἢν δὲ σαοφρονέῃς, ἄργυρός εἰμι μόνον.

## XXXIX.

Ηθελε μὲν βασιλεύς σε βοηθόον εἰσέτι πέμπειν
ἄστεσι τειρομένοις δευομένων μερόπων,
Τατιανὲ χρύσειε· σὺ δ' ἐν βιότοιο γαλήνῃ
πατρίδα καὶ κλῆρον σὸν προβέβουλας ἔχειν,
αὔξων σῶν προγόνων κτέρας ἔνδικον. ἀρχομένων γὰρ
πλοῦτον ὅτι στυγέεις σύνθρονος οἶδε Δίκη.

## XL.

Εἰς Θεοδότης εἰκόνα.

Αὐτὴν Θειοδότην ὁ ζωγράφος. αἴθε δὲ τέχνης
ἤμβροτε, καὶ λήθην δῶκεν ὀδυρομένοις.

## XLI.

Εἰς Καλλιόπην τινὰ εὔφωνον γυναῖκα καὶ εὔμουσον.

Η γλυκερὸν μέλψασα, καὶ ἄλκιμον ἢ θρόον αὐδῆς
μούνη, θηλυτέροις στήθεσι ῥηξαμένη,

T. II. κεῖται σιγαλέη· τόσον ἔσθενε νήματα Μοίρης,
ὡς λιγυρὰ κλεῖσαι χείλεα Καλλιόπης.

## XLII.

p. 503. Οὔτι φύσις θήλεια, καὶ οὐ πολιοῖο καρήνου
ἀδρανίη φωνῆς σῆς κατέλυσε βίην·
ἀλλὰ μόλις ξυνοῖσι νόμοις εἴξασα τελευτῆς,
ψυχῇ, Καλλιόπη, συγκατέλυσας ὄπα.

## XLIII.

Ηδέα πάντα κέλευθα λάχεν βίος. ἄστεϊ μέσσῳ
εὖχος ἑταιρείαι· κρυπτὰ δόμοισιν ἄχη·
ἀγρὸς τέρψιν ἄγει, κέρδος πλόος, ἀλλοδαπὴ χθὼν
γνώσιας. ἐκ δὲ γάμων οἶκος ὁμοφρονέει·
τοῖς δ' ἀγάμοις ἄφροντις ἀεὶ βίος. ἔρκος ἐτύχθη
πατρὶ τέκος· φροῦδος τοῖς ἀγόνοισι φόβος.
ἠνορέην νεότης, πολιὴ φρένας οἶδεν ὀπάσσαι.
ἔνθεν θάρσος ἔχων, ζῶε, φύτευε γένος.

## XLIV.

Οἶκος καὶ πάτρη, βιότου χάρις· αἱ δὲ περισσαὶ
φροντίδες ἀνθρώποις, οὐ βίος, ἀλλὰ πόνος.

## XLV.

Ολκὰς ὕδωρ προφυγοῦσα πολυφλοίσβοιο θαλάσσης
ἐν χθονὸς ἀγκοίναις ὤλετο μητριάσιν.
ἱσταμένην γὰρ πυρσὸς ἐπέφλεγε· καιομένη δὲ
δυσμενέων ὑδάτων συμμαχίην ἐκάλει.

XLII. 4. Vulgo: φεῦ, φεῦ, K., σὴν κατέλ.

T. II.

## XLVI.

Μύγδων τέρμα βίοιο λαχὼν, αὐτόστολος ἦλθεν
  εἰς Ἀΐδην, νεκύων πορθμίδος οὐ χατέων.
ἣν γὰρ ἔχε ζώων βιοδώτορα, μάρτυρα μόχθων, p. 504.
  ἄγραις εἰναλίαις πολλάκι βριθομένην,
τήνδε καὶ ἐν θανάτῳ λάχε σύνδρομον, εὖτε τελευτὴν
  εὕρετο, συλλήξας ὁλκάδι καιομένῃ.
οὕτω πιστὸν ἄνακτι πέλε σκάφος, οἶκον ἀέξον
  Μύγδονι, καὶ σύμπλουν ἐς βίον, ἐς θάνατον.

## XLVII.

Μήτηρ υἷα λιπόντα μάχην μετὰ πότμον ἑταίρων
  ἔκτανεν, ὠδίνων μνῆστιν ἀνηναμένη.
καὶ γὰρ γνήσιον αἷμα διακρίνει Λακεδαίμων
  ἀλκῇ μαρναμένων, οὐ γενεῇ βρεφέων.

## XLVIII.

Εἴς τινα ὑπὸ λῃστῶν πεφονευμένον, καὶ ὑπ' αὐτῶν θαπτόμενον.

Οὔποτ' ἐμὲ κρύψεις ὑπὸ πυθμένα νείατον αἴης
  τόσσον, ὅσον κρύψαι πάνσκοπον ὄμμα Δίκης.
ἀντὶ φόνου τάφον ἄμμι χαρίζεαι· ἀλλὰ καὶ αὐτὸς
  ἴσων ἀντιτύχοις οὐρανόθεν χαρίτων.

## XLIX.

Οὔτι σε πόντος ἀπώλεσεν, οὐ πνείοντες ἀῆται,
  ἀλλ' ἀκόρητος ἔρως φοιτάδος ἐμπορίης.
εἴη μοι γαίης ὀλίγος βίος· ἐκ δὲ θαλάσσης
  ἄλλοισιν μελέτω κέρδος ἀελλομάχον.

T. II.

## L.

Εἰς Τίμωνα τὸν μισάνθρωπον.

Ὅστις μὲ τριόδοισι μέσαις τάρχυσε θανόντα,
λυγρὰ παθὼν τύμβου μηδ᾽ ὀλίγοιο τύχοι,
p. 505. πάντες ἐπεὶ Τίμωνα νέκυν καλέουσιν ὁδῖται,
καὶ μόρος ἄμμι μόνοις ἄμμορος ἡσυχίης.

## LI.

Οὔνομα μὲν ΚΑΛΗ, φρεσὶ δὲ πλέον ἠὲ προσώπῳ,
κάτθανε· φεῦ, Χαρίτων ἐξαπόλωλεν ἔαρ.
καὶ γὰρ ἔην Παφίῃ πανομοίϊος, ἀλλὰ συνεύνῳ
μούνῳ· τοῖς δ᾽ ἑτέροις Παλλὰς ἐρυμνοτάτη.
τίς λίθος οὐκ ἐγόησεν ὅτ᾽ ἐξήρπαξεν ἐκείνην
εὐρυβίης Αΐδης ἀνδρὸς ἀπ᾽ ἀγκαλίδων;

## LII.

Εἰς Ῥοδὼ τὴν γυναῖκα Διοφάνους νέαν τελευτήσασαν.

Σοὶ σορὸν εὐλάϊγγα, Ῥοδοῖ, καὶ τύμβον ἐγείρει,
ῥύσιά τε ψυχῆς δῶρα πένησι νέμει,
ἀντ᾽ εὐεργεσίης, γλυκερὸς πόσις· ὅττι θανοῦσα
ὠκύμορος, κείνῳ δῶκας ἐλευθερίην.

## LIII.

Εἰς ναυηγόν τινα ἀπὸ τῆς θαλάσσης ἐκβρασθέντα πρὸς τὴν αὐτοῦ πατρίδα.

Χαῖρέ μοι, ὦ ναυηγέ, καὶ εἰς Ἀΐδαο περήσας
μέμφεο μὴ πόντου κύμασιν, ἀλλ᾽ ἀνέμοις.
κεῖνοι μέν σ᾽ ἐδάμασσαν· ἅλὸς δέ σε μείλιχον ὕδωρ
ἐς χθόνα καὶ πατέρων ἐξεκύλισσε τάφους.

## LIV. T.II. p.506.

Εἴς τινα ναυαγήσαντα, καὶ ὑπὸ ναυτῶν ἐκ τῆς θαλάσσης νεκρὸν ἀναληφθέντα καὶ τάφου εὐμοιρήσαντα.

Πλώεις ναυηγὸν με λαβὼν, καὶ σήματι χώσας;
πλῶε, Μαλειάων ἄκρα φυλασσόμενος.
αἰεὶ δ' εὐπλοΐην μεθέποις φίλος· ἢν δέ τι ῥέξῃ
ἄλλο Τύχη, τοίων ἀντιάσαις χαρίτων.

## LV.

Εἰς Πάμφιλον φιλόσοφον ἐν ναυαγίῳ τελευτήσαντα.

Χθών σ' ἔτεκε, πόντος δὲ διώλεσε, δέκτο δὲ θῶκος
Πλουτῆος· κεῖθεν δ' οὐρανὸν εἰσανέβης.
οὐχ ὡς ναυηγὸς δὲ βυθῷ θάνες, ἀλλ' ἵνα πάντων
κλήροις ἀθανάτων, Πάμφιλε, κόσμον ἄγῃς.

## LVI.

Ὤριος εἷλέ σε παστὰς, ἀώριος εἷλέ σε τύμβος,
εὐθαλέων Χαρίτων ἄνθος, Ἀναστασίη.
σοὶ γενέτης, σοὶ πικρὰ πόσις κατὰ δάκρυα λείβει,
σοὶ τάχα καὶ πορθμεὺς δακρυχέει νεκύων.
οὐ γὰρ ὅλον λυκάβαντα διήνυσας ἄγχι συνεύνου,
ἀλλ' ἑκκαιδεκέτιν, φεῦ, κατέχει σε τάφος.

## LVII.

Φεῦ φεῦ, ἀμετρήτων χαρίτων ἔαρ ἡδὺ μαραίνει
ἀμφὶ σοὶ ὠμοφάγων χεῖμα τὸ νερτερίων.
καί σε μὲν ἥρπασε τύμβος ἀπ' ἠελιώτιδος αἴγλης,
πέμπτον ἐφ' ἑνδεκάτῳ πικρὸν ἄγουσαν ἔτος·
σὸν δὲ πόσιν, γενέτην τε κακαῖς ἔκλασσας ἀνίαις, p. 507.
οἷς πλέον ἠελίου λάμπες, Ἀναστασίη.

T. II.

## LVIII.

Εἰς Ιωάννην τινὰ νέον καὶ ἀτελῆ τελευτήσαντα.

α Ἀγριὸς ἐϛι Χάρων. β πλέον ἤπιος. α ἥρπασεν ἤδη
τὸν νέον. β ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον.
α τερπωλῆς ἀπέπαυσεν. β ἀπεϛυφέλιξε δὲ μόχθων.
α ὐκ ἐνόησε γάμυς. β ὐδὲ γάμων ὀδύνας.

## LIX.

Κέρβερε, δειμαλέην ὑλακὴν νεκύεσσιν ἰάλλων;
ἤδη φρικαλέον δείδιϑι καὶ σὺ νέκυν.
Αρχίλοχος τέϑνηκε. φυλάσσεο ϑυμὸν ἰάμβων
δριμὺν, πικροχόλυ τικτόμενον ϛόματος.
οἶσϑα βοῆς κείνοιο μέγα σϑένος, εὖτε Λυκάμβεω
νηῦς μία σοι τρισσὰς ἤγαγε ϑυγατέρας.

## LX.

Νῦν πλέον ἢ τοπάροιϑε πύλας κρατεροῖο βερέϑρυ
ὄμμασιν ἀγρύπνοις τρισσὲ φύλασσε κύον.
εἰ γὰρ φέγγος ἔλειπον ἀλυσκάζυσαι ἰάμβων
ἄγριον Αρχιλόχυ φλέγμα Λυκαμβιάδες,
πῶς ὐκ ἂν προλίποι σκοτίων πυλεῶνας ἐναύλων
νεκρὸς ἅπας, φεύγων τάρβος ἐπεσβολίης;

## LXI.

Εἰς Ανακρέοντα.

Πολλάκι μὲν τόδ᾽ ἄεισα, καὶ ἐκ τύμβυ δὲ βοήσω·
Πίνετε, πρὶν ταύτην ἀμφιβάλησϑε κόνιν.

P. 508.

## LXII.

Κάτϑανε μὲν Θεόδωρος· ἀοιδοπόλων δὲ παλαιῶν
πληϑὺς οἰχομένη νῦν ϑάνεν ἀτρεκέως.

πᾶσα

πᾶσα μὲν ἀμπνείοντι συνέπνεε, πᾶσα δ' ἀπέσβη T. II.
σβεννυμένου· κρύφθη δ' εἰν ἑνὶ πάντα τάφῳ.

## LXIII.

Μνῆμα σὸν, ὦ Θεόδωρε, πανατρεκὲς, οὐκ ἐπὶ τύμβῳ,
ἀλλ' ἐν βιβλιακῶν μυριάσιν σελίδων,
αἷσιν ἀνεζώγρησας ἀπολλυμένων, ἀπὸ λήθης
ἁρπάξας, νοερὸν μόχθον ἀριδοπόλων.

## LXIV.

Εἰς Κρατερὸν τὸν σοφιστήν.

Η Φύσις ὠδίνασα πολὺν χρόνον, ἀνέρ' ἔτικτεν
ἄξιον εἰς ἀρετὴν τῶν προτέρων ἐτέων,
τὸν Κρατερὸν, σοφίην τε καὶ οὔνομα, τὸν καὶ ἀνιγροῖς
κινήσαντα γόῳ δάκρυον ἀντιπάλοις.
εἰ δὲ νέος τέθνηκεν, ὑπέρτερα νήματα Μοίρης
μέμφεο, βουλομένης κόσμον ἄκοσμον ἔχειν.

## LXV.

Ω φθέγμα Κρατεροῖο, τί σοι πλέον, εἴ γε καὶ αὐδῆς
ἔπλεο καὶ σιγῆς αἴτιον ἀντιπάλοις;
ζῶντος μὲν γὰρ, ἅπαντες ἐφώνεον· ἐκ δὲ τελευτῆς
ὑμετέρης, ἰδίην αὖθις ἔδησαν ὄπα.
οὔτις γὰρ μετὰ σεῖο μόρον τέτληκε τανύσσαι
ὦτα λόγοις· Κρατερῷ δ' ἓν τέλος ἠδὲ λόγοις.

## LXVI. p. 509.

Εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις,
Φερσεφόνη, ψυχὴν δέχνυσο Δημοκρίτου
εὐμενέως γελόωσαν, ἐπεὶ καὶ σεῖο τεκοῦσαν,
ἀχνυμένην ἐπὶ σοὶ, μοῦνος ἔκαμψε γέλως.

T. II. LXVII.

Πλούτων δέξο μάκαρ Δημόκριτον, ὥς κεν ἀνάσσων
αἰὲν ἀμειδήτων, καὶ γελόωντα λάχοις.

LXVIII.

Εἰς Πύῤῥωνα τὸν Σκεπτικόν.

α Κάτθανες ὦ Πύῤῥων; β ἐπέχω. α πυμάτην μετὰ μοῖραν
φὴς ἐπέχειν; β ἐπέχω. α σκέψιν ἔπαυσε τάφος.

LXIX.

α Κλεινὸς Ιωάννης. β θνητὸς, λέγε. α γαμβρὸς ἀνάσσης.
β θνητὸς ὅμως. α γενεῆς ἄνθος Αναςασίου.
β θνητοῦ κἀκείνου. α βίον ἔνδικος. β οὐκ. ἔτι τοῦτο
θνητὸν ἔφης. ΑΡΕΤΑΙ ΚΡΕΙΣΣΟΝΕΣ ΕΙΣΙ ΜΟΡΟΥ.

LXX.

Εἰς Υπάτιον ἀδελφιδοῦν τοῦ βασιλέως Αναςασίου.

Υπατίου τάφος εἰμί· νέκυν δ' οὔ φημι καλύπτειν
τόσσου τόσσος ἐὼν Αὐσονίων προμάχου.
Γαῖα γὰρ αἰδομένη λιτῷ μέγαν ἀνέρα χῶσαι
σήματι, τῷ Πόντῳ μᾶλλον ἔδωκεν ἔχειν.

p. 510. LXXI.

Εἰς τὸν αὐτόν.

Αὐτὸς ἄναξ νεμέσησε πολυφλοίσβοιο θαλάσσης
κύμασιν, Υπατίου σῶμα καλυψαμένοις·
ἤθελε γάρ μιν ἔχειν γέρας ὕςατον, οἷα θανόντα,
καὶ μεγαλοφροσύνης κρύψε θάλασσα χάριν.
ἔνθεν, πρηΰνουσα κραδίης μέγα δεῖγμα, φαεινὸν
τίμησεν κενεῷ σήματι τῷδε νέκυν.

## ΜΗΝΕΣ ΑΙΓΥΠΤΙΩΝ.

T. II.

Πρῶτος ΘΩΘ ἐδάη δρεπάνην ἐπὶ βότρυν ἐγείρειν.
ἰχθυβόλοισι ΠΑΩΦΙ φέρει πανδήμιον ἄγρην.
Πληϊάδων φαινῦσαν ΑΘΥΡ τεκμαίρεται ὥρην.
ΧΟΙΑΚ σπειρομένων ςαχύων δείκνυσι γενέθλην.
ΤΥΒΙ δὲ πορφύρεον βυληφόρον εἷμα τιταίνει.
σημαίνει πλωτῆρσι ΜΕΧΕΙΡ πλόον ἀμφιπολεύειν.
Αρεος ὅπλα φέρειν ΦΑΜΕΝΩΘ δείκνυσι μαχηταῖς.
εἰαρινῶν ΦΑΡΜΟΥΘΙ ῥόδων πρωτάγγελός ἐςι.
λήϊα δ' ἀυανθέντα ΠΑΧΩΝ δρεπάνοισι φυλάσσει.
εὐκάρπυ δὲ ΠΑΥΝΙ προάγγελός ἐςιν ὀπώρης.
καὶ ςαφυλὴν κατέχων εὐάμπελός ἐςιν ΕΠΙΦΙ.
καὶ ΜΕΣΟΡΙ Νείλοιο φέρει φυσίζοον ὕδωρ.

---

# ΜΑΡΙΑΝΟΥ

p. 511.

## ΣΧΟΛΑΣΤΙΚΟΥ.

### I.

Εἰς Ερωτα ἐςεφανωμένον.

α Πῦ σοι τόξον ἐκεῖνο παλίντονον, οἵ τ' ἀπὸ σεῖο
πηγνύμενοι μεσάτην ἐς κραδίην δόνακες;
πῦ πτερά; πῦ λαμπὰς πολυώδυνος; ἐς τί δὲ τρισσὰ
ςέμματα χερσὶν ἔχεις, κρατὶ δ' ἐπ' ἄλλο φέρεις;

β Οὐκ ἀπὸ πανδήμυ, ξένε, Κύπριδος, ὐκ ἀπὸ γαίης
εἰμὶ, καὶ ὑλαίης ἔκγονος εὐφροσύνης.

T. II. ἀλλ' ἐγὼ ἐς καθαρὴν μερόπων φρένα πυρσὸν ἀνάπτω
εὐμαθίης, ψυχὴν δ' οὐρανὸν εἰσανάγω.
ἐκ δ' ἀρετῶν στεφάνους πισύρων πλέκω· ὧν ἀφ' ἑκάστης
τούσδε φέρων, πρώτῳ τῷ σοφίης στέφομαι.

## II.

Εἰς προάστειον ὀνομαζόμενον Ἔρωτα, ἐν Ἀμασείᾳ.

Ἡ καλὸν ἄλσος Ἔρωτος, ὅπου καλὰ δένδρεα ταῦτα
πρηῢς ἐπιπνείων ἀμφιδονεῖ Ζέφυρος·
ἧχι καὶ ἑρσήεις ἀμαρύσσεται ἄνθεσι λειμών,
πουλὺν ἰοστεφάνων κόσμον ἀνεὶς καλύκων·
καὶ γλυκερῆς τρίστοιχος ἐπεμβαδὸν ἄλλος ἐπ' ἄλλῳ
μαστὸς ἀναθλίβει χεύματα Νηϊάδος·
p. 512. ὁππόθι δενδρήεντα γέρων παρανήχεται Ἶρις
χῶρον, Ἀμαδρυάδων ἔνδιον ἁβροκόμων,
καὶ λιπαρῆς εὔβοτρυν ἀν' ὀργάδα καρπὸς ἐλαίης
θάλλει ἐριστάφυλον πάντοσε θειλοπέδων·
αἱ δὲ πέριξ λαλαγεῦσιν ἀηδόνες· ὃς δὲ μελίζει
ἀντῳδὸν τέττιξ φθέγματος ἁρμονίαν.
ἀλλὰ τὸν ἀκλήϊστον ὅπως, ξένε, μή με παρέλθῃς
τόνδε δόμον, λιτῆς δ' ἀντίασον ξενίης.

## III.

Εἰς τὸ αὐτό.

Δεῦρ' ἴθι, βαιὸν ὁδῖτα πεσὼν ὑπὸ δάσκιον ἄλσος,
ἄμπαυσον καμάτου γυῖα πολυπλανέος,
χῶρον ὅπου πλατάνων αὐτόῤῥυτον ἐς μέσον ὕδωρ
καλὰ πολυκρούνων ἐκπρορέει στομάτων·
ὁππόθι πορφυρέης ὑπὲρ αὔλακος εἴαρι θάλλει
ὑγρὸν ἴον ῥοδέῃ κιρνάμενον κάλυκι.

ἠνίδε πᾶς δροσεροῖο πέδον λειμῶνος ἐρέψας T. II.
ἔκχυτον εὐχαίτης κισσὸς ἔπλεξε κόμην.
ἐνθάδε καὶ ποταμὸς λασίην παραμείβεται ὄχθην,
πέζαν ὑποξύων αὐτοφύτοιο νάπης.
οὗτος ΕΡΩΣ. τί γὰρ ἄλλο καὶ ἔπρεπεν οὔνομα χώρῳ,
πάντοθεν ἱμερτῶν πληθομένῳ Χαρίτων;

## IV.

Εἰς λουτρὸν ὀνομαζόμενον Ἔρωτα.

Μητέρα Κύπριν ἔλουσεν Ἔρως ποτὲ τῷδε λοετρῷ,
αὐτὸς ὑποφλέξας λαμπάδι καλὸν ὕδωρ.
ἱδρὼς δ' ἀμβροσίοιο χυθεὶς χροὸς ἄμμιγα λευκοῖς
ὕδασι, φεῦ, πνοιῆς ὅσσον ἀνῆψεν ἔαρ·
ἔνθεν ἀεὶ ῥοδόεσσαν ἀναζείουσιν ἀϋτμήν, p. 513.
ὡς ἔτι τῆς χρυσῆς λουομένης Παφίης.

## V.

Εἰς τὸ αὐτό.

Τᾷδ' ὑπὸ τὰς πλατάνους ἁπαλῷ τετρυμένος ὕπνῳ
εὗδεν Ἔρως, Νύμφαις λαμπάδα παρθέμενος.
Νύμφαι δ' ἀλλήλῃσι, Τί μέλλομεν; αἴθε δὲ τούτῳ
σβέσσαμεν, εἶπον, ὁμοῦ πῦρ κραδίης μερόπων.
λαμπὰς δ' ὡς ἔφλεξε καὶ ὕδατα, θερμὸν ἐκεῖθεν
Νύμφαι Ἐρωτιάδες λουτροχοεῦσιν ὕδωρ.

T. II. κεῖται σιγαλέη· τόσον ἔσθενε νήματα Μοίρης,
ὡς λιγυρὰ κλεῖσαι χείλεα Καλλιόπης.

p. 503. XLII.

Οὔτι φύσις θήλεια, καὶ ἐ πολιοῖο καρήνε
ἀδρανίη φωνῆς σῆς κατέλυσε βίην·
ἀλλὰ μόλις ξυνοῖσι νόμοις εἴξασα τελευτῆς,
ψυχῇ, Καλλιόπη, συγκατέλυσας ὄπα.

XLIII.

Ηδέα πάντα κέλευθα λάχεν βίος. ἄστεϊ μέσσῳ
εὖχος ἑταιρεῖαι· κρυπτὰ δόμοισιν ἄχη·
ἀγρὸς τέρψιν ἄγει, κέρδος πλόος, ἀλλοδαπὴ χθὼν
γνώσιας. ἐκ δὲ γάμων οἶκος ὁμοφρονέει·
τοῖς δ᾽ ἀγάμοις ἄφροντις ἀεὶ βίος. ἕρκος ἐτύχθη
πατρὶ τέκος· φρεῦδος τοῖς ἀγόνοισι φόβος.
ἠνορέην νεότης, πολιὴ φρένας οἶδεν ὀπάσσαι.
ἔνθεν θάρσος ἔχων, ζῶε, φύτευε γένος.

XLIV.

Οἶκος καὶ πάτρη, βιότε χάρις· αἱ δὲ περισσαὶ
φροντίδες ἀνθρώποις, ἐ βίος, ἀλλὰ πόνος.

XLV.

Ολκὰς ὕδωρ προφυγῦσα πολυφλοίσβοιο θαλάσσης
ἐν χθονὸς ἀγκοίναις ὤλετο μητριάσιν.
ἱσταμένην γὰρ πυρσὸς ἐπέφλεγε· καιομένη δὲ
δυσμενέων ὑδάτων συμμαχίην ἐκάλει.

XLII. 4. Vulgo: φεῦ, φεῦ, Κ., σὺν κατέλ.

## XLVI. T. II.

Μύγδων τέρμα βίοιο λαχὼν, αὐτόστολος ἦλθεν
εἰς Αΐδην, νεκύων πορθμίδος οὐ χατέων.
ἣν γὰρ ἔχε ζώων βιοδώτορα, μάρτυρα μόχθων, p. 504.
ἄγραις εἰναλίαις πολλάκι βριθομένην,
τήνδε καὶ ἐν θανάτῳ λάχε σύνδρομον, εὖτε τελευτὴν
εὕρετο, συλλήξας ὁλκάδι καιομένῃ.
οὕτω πιστὸν ἄνακτι πέλε σκάφος, οἶκον ἀέξον
Μύγδονι, καὶ σύμπλουν ἐς βίον, ἐς θάνατον.

## XLVII.

Μήτηρ υἷα λιπόντα μάχην μετὰ πότμον ἑταίρων
ἔκτανεν, ὠδίνων μνῆστιν ἀνῃναμένη.
καὶ γὰρ γνήσιον αἷμα διακρίνει Λακεδαίμων
ἀλκῇ μαρναμένων, οὐ γενεῇ βρεφέων.

## XLVIII.

Εἴς τινα ὑπὸ λῃστῶν πεφονευμένον, καὶ ὑπ' αὐτῶν θαπτόμενον.

Οὔποτ' ἐμὲ κρύψεις ὑπὸ πυθμένα νείατον αἴης
τόσσον, ὅσον κρύψαι πάνσκοπον ὄμμα Δίκης.
ἀντὶ φόνου τάφον ἄμμι χαρίζεαι· ἀλλὰ καὶ αὐτὸς
ἴσων ἀντιτύχοις οὐρανόθεν χαρίτων.

## XLIX.

Οὔτι σε πόντος ἀπώλεσεν, οὐ πνείοντες ἀῆται,
ἀλλ' ἀκόρητος ἔρως φοιτάδος ἐμπορίης.
εἴη μοι γαίης ὀλίγος βίος· ἐκ δὲ θαλάσσης
ἄλλοισιν μελέτω κέρδος ἀελλομάχον.

T. II.

## L.

Εἰς Τίμωνα τὸν μισάνθρωπον.

Ὅστις μὲ τριόδοισι μέσαις τάρχυσε θανόντα,
  λυγρὰ παθὼν τύμβου μηδ' ὀλίγοιο τύχοι,
P. 505. πάντες ἐπεὶ Τίμωνα νέκυν καλέουσιν ὁδῖται,
  καὶ μόρος ἄμμι μόνοις ἄμμορος ἡσυχίης.

## LI.

Οὔνομα μὲν ΚΑΛΗ, φρεσὶ δὲ πλέον ἢ προσώπῳ,
  κάτθανε· φεῦ, Χαρίτων ἐξαπόλωλεν ἔαρ.
καὶ γὰρ ἔην Παφίῃ πανομοίϊος, ἀλλὰ συνεύνῳ
  μούνῳ· τοῖς δ' ἑτέροις Παλλὰς ἐρυμνοτάτη.
τίς λίθος οὐκ ἐγόησεν ὅτ' ἐξήρπαξεν ἐκείνην
  εὐρυβίης Αΐδης ἀνδρὸς ἀπ' ἀγκαλίδων;

## LII.

Εἰς Ροδὼ τὴν γυναῖκα Διοφάνους νέαν τελευτήσασαν.

Σοὶ σορὸν εὐλάϊγγα, Ροδοῖ, καὶ τύμβον ἐγείρει,
  ῥύσιά τε ψυχῆς δῶρα πένησι νέμει,
ἀντ' εὐεργεσίης, γλυκερὸς πόσις· ὅττι θανοῦσα
  ὠκύμορος, κείνῳ δῶκας ἐλευθερίην.

## LIII.

Εἰς ναυηγόν τινα ἀπὸ τῆς θαλάσσης ἐκβρασθέντα πρὸς τὴν αὐτοῦ πατρίδα.

Χαῖρέ μοι, ὦ ναυηγὲ, καὶ εἰς Αΐδαο περήσας
  μέμφεο μὴ πόντου κύμασιν, ἀλλ' ἀνέμοις.
κεῖνοι μέν σ' ἐδάμασσαν· ἁλὸς δέ σε μείλιχον ὕδωρ
  ἐς χθόνα καὶ πατέρων ἐξεκύλισσε τάφους.

## LIV. T.II. p.506.

Εἴς τινα ναυαγήσαντα, καὶ ὑπὸ ναυτῶν ἐκ τῆς θαλάσσης νεκρὸν ἀναληφθέντα καὶ τάφου εὐμοιρήσαντα.

Πλώεις ναυηγόν με λαβὼν, καὶ σήματι χώσας;
 πλῶε, Μαλειάων ἄκρα φυλασσόμενρς.
αἰεὶ δ' εὐπλοΐην μεθέποις φίλος· ἢν δέ τι ῥέξῃ
 ἄλλο Τύχη, τοίων ἀντιάσαις χαρίτων.

## LV.

Εἰς Πάμφιλον φιλόσοφον ἐν ναυαγίῳ τελευτήσαντα.

Χθών σ' ἔτεκε, πόντος δὲ διώλεσε, δέκτο δὲ θῶκος
 Πλȣτῆος· κεῖθεν δ' ȣ̓ρανὸν εἰσανέβης.
ȣ̓χ ὡς ναυηγὸς δὲ βυθῷ θάνες, ἀλλ' ἵνα πάντων
 κλήροις ἀθανάτων, Πάμφιλε, κόσμον ἄγῃς.

## LVI.

Ὤριος εἷλέ σε παστὰς, ἀώριος εἷλέ σε τύμβος,
 εὐθαλέων Χαρίτων ἄνθος, Αναστασίη.
σοὶ γενέτης, σοὶ πικρὰ πόσις κατὰ δάκρυα λείβει,
 σοὶ τάχα καὶ πορθμεὺς δακρυχέει νεκύων.
ȣ̓ γὰρ ὅλον λυκάβαντα διήνυσας ἄγχι συνεύνȣ,
 ἀλλ' ἑκκαιδεκέτιν, φεῦ, κατέχει σε τάφος.

## LVII.

Φεῦ φεῦ, ἀμετρήτων χαρίτων ἔαρ ἡδὺ μαραίνει
 ἀμφὶ σοὶ ὠμοφάγων χεῖμα τὸ νερτερίων.
καί σε μὲν ἥρπασε τύμβος ἀπ' ἠελιώτιδος αἴγλης,
 πέμπτον ἐφ' ἑνδεκάτῳ πικρὸν ἄγȣσαν ἔτος·
σὸν δὲ πόσιν, γενέτην τε κακαῖς ἔλιπες ἀνίαις, p. 507.
 οἷς πλέον ἠελίȣ λάμπες, Αναστασίη.

T. II.

## LVIII.

Εἰς Ἰωάννην τινὰ νέον καὶ ἀτελῆ τελευτήσαντα.

α Ἄγριός ἐϛι Χάρων. β πλέον ἤπιος. α ἥρπασεν ἤδη
τὸν νέον. β ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον.
α τερπωλῆς ἀπέπαυσεν. β ἀπεϛυφέλιξε δὲ μόχθων.
α ὐκ ἐνόησε γάμυς. β ὐδὲ γάμων ὀδύνας.

## LIX.

Κέρβερε, δειμαλέην ὑλακὴν νεκύεσσιν ἰάλλων,
ἤδη φρικαλέον δείδιθι καὶ σὺ νέκυν.
Ἀρχίλοχος τέθνηκε. φυλάσσεο θυμὸν ἰάμβων
δριμὺν, πικροχόλυ τικτόμενον ϛόματος.
οἶσθα βοῆς κείνοιο μέγα σθένος, εὖτε Λυκάμβεω
νηῦς μία σοι τρισσὰς ἤγαγε θυγατέρας.

## LX.

Νῦν πλέον ἢ τοπάροιθε πύλας κρατεροῖο βερέθρυ
ὄμμασιν ἀγρύπνοις τρισσὲ φύλασσε κύον.
εἰ γὰρ φέγγος ἔλειπον ἀλυσκάζυσαι ἰάμβων
ἄγριον Ἀρχιλόχυ φλέγμα Λυκαμβιάδες,
πῶς ὐκ ἂν προλίποι σκοτίων πυλεῶνας ἐναύλων
νεκρὸς ἅπας, φεύγων τάρβος ἐπεσβολίης;

## LXI.

Εἰς Ἀνακρέοντα.

Πολλάκι μὲν τόδ᾽ ἄεισα, καὶ ἐκ τύμβυ δὲ βοήσω·
Πίνετε, πρὶν ταύτην ἀμφιβάλησθε κόνιν.

P. 508.

## LXII.

Κάτθανε μὲν Θεόδωρος· λοιδοπόλων δὲ παλαιῶν
πληθὺς οἰχομένη νῦν θάνεν ἀτρεκέως.

πᾶσι

πᾶσα μὲν ἀμπνείοντι συνέπνεε, πᾶσα δ' ἀπέσβη T. II.
σβεννυμένου· κρύφθη δ' εἰν ἑνὶ πάντα τάφῳ.

## LXIII.

Μνῆμα σὸν, ὦ Θεόδωρε, πανατρεκὲς, οὐκ ἐπὶ τύμβῳ,
ἀλλ' ἐν βιβλιακῶν μυριάσιν σελίδων,
αἷσιν ἀνεζώγρησας ἀπολλυμένων, ἀπὸ λήθης
ἁρπάξας, νοερὸν μόχθον ἀριδοπόλων.

## LXIV.

Εἰς Κρατερὸν τὸν σοφιστήν.

Η Φύσις ὠδίνασα πολὺν χρόνον, ἀνέρ' ἔτικτεν
ἄξιον εἰς ἀρετὴν τῶν προτέρων ἐτέων,
τὸν Κρατερὸν, σοφίην τε καὶ οὔνομα, τὸν καὶ ἀνιγροῖς
κινήσαντα γόῳ δάκρυον ἀντιπάλοις.
εἰ δὲ νέος τέθνηκεν, ὑπέρτερα νήματα Μοίρης
μέμφεο, βουλομένης κόσμον ἄκοσμον ἔχειν.

## LXV.

Ω φθέγμα Κρατεροῖο, τί σοι πλέον, εἴ γε καὶ αὐδῆς
ἔπλεο καὶ σιγῆς αἴτιον ἀντιπάλοις;
ζῶντος μὲν γὰρ, ἅπαντες ἐφώνεον· ἐκ δὲ τελευτῆς
ὑμετέρης, ἰδίην αὖθις ἔδησαν ὄπα.
οὔτις γὰρ μετὰ σεῖο μόρον τέτληκε τανύσσαι
ὦτα λόγοις· Κρατερῷ δ' ἓν τέλος ἠδὲ λόγοις.

## LXVI. p. 509.

Ει καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις,
Φερσεφόνη, ψυχὴν δέχνυσο Δημοκρίτου
εὐμενέως γελόωσαν, ἐπεὶ καὶ σεῖο τεκοῦσαν
ἀχνυμένην ἐπὶ σοὶ, μοῦνος ἔκαμψε γέλως.

T. II.

## LXVII.

Πλούτων δέξο μάκαρ Δημόκριτον, ὥς κεν ἀνάσσων
αἰὲν ἀμειδήτων, καὶ γελόωντα λάχοις.

## LXVIII.

Εἰς Πύῤῥωνα τὸν Σκεπτικόν.

[α] Κάτθανες ὦ Πύῤῥων; [β] ἐπέχω. [α] πυμάτην μετὰ μοῖραν
φῂς ἐπέχειν; [β] ἐπέχω. [α] σκέψιν ἔπαυσε τάφος.

## LXIX.

[α] Κλεινὸς Ἰωάννης. [β] θνητός, λέγε. [α] γαμβρὸς ἀνάσσης.
[β] θνητὸς ὅμως. [α] γενεῆς ἄνθος Ἀναστασίου.
[β] θνητοῦ κἀκείνου. [α] βίον ἔνδικος. [β] οὐκ ἔτι τοῦτο
θνητὸν ἔφης. ΑΡΕΤΑΙ ΚΡΕΙΣΣΟΝΕΣ ΕΙΣΙ ΜΟΡΟΥ.

## LXX.

Εἰς Ὑπάτιον ἀδελφιδοῦν τοῦ βασιλέως Ἀναστασίου.

Ὑπατίου τάφος εἰμί· νέκυν δ' οὔ φημι καλύπτειν
τόσσου τόσσος ἐὼν Αὐσονίων προμάχου.
Γαῖα γὰρ αἰδομένη λιτῷ μέγαν ἀνέρα χῶσαι
σήματι, τῷ Πόντῳ μᾶλλον ἔδωκεν ἔχειν.

p. 510.

## LXXI.

Εἰς τὸν αὐτόν.

Αὐτὸς ἄναξ νεμέσησε πολυφλοίσβοιο θαλάσσης
κύμασιν, Ὑπατίου σῶμα καλυψαμένοις·
ἤθελε γάρ μιν ἔχειν γέρας ὕστατον, οἷα θανόντα,
καὶ μεγαλοφροσύνης κρύψε θάλασσα χάριν.
ἔνθεν, πρηΰνου κραδίης μέγα δεῖγμα, φαεινὸν
τίμησεν κενεῷ σήματι τῷδε νέκυν.

## ΜΗΝΕΣ ΑΙΓΥΠΤΙΩΝ.

Πρῶτος ΘΩΘ ἰδάη δρεπάνην ἐπὶ βότρυν ἐγείρειν.
ἰχθυβόλοισι ΠΑΩΦΙ φέρει πανδήμιον ἄγρην.
Πληϊάδων φαίνουσαν ΑΘΥΡ τεκμαίρεται ὥρην.
ΧΟΙΑΚ σπειρομένων ϛαχύων δείκνυσι γενέθλην.
ΤΥΒΙ δὲ πορφύρεον βουληφόρον εἷμα τιταίνει.
σημαίνει πλωτῆρσι ΜΕΧΕΙΡ πλόον ἀμφιπολεύειν.
Ἄρεος ὅπλα φέρειν ΦΑΜΕΝΩΘ δείκνυσι μαχηταῖς.
εἰαρινῶν ΦΑΡΜΟΥΘΙ ῥόδων πρωτάγγελός ἐϛι.
λήϊα δ' ἀυανθέντα ΠΑΧΩΝ δρεπάνοισι φυλάσσει.
εὐκάρπου δὲ ΠΑΥΝΙ προάγγελός ἐϛιν ὀπώρης.
καὶ ϛαφυλὴν κατέχων εὐάμπελός ἐϛιν ΕΠΙΦΙ.
καὶ ΜΕΣΟΡΙ Νείλοιο φέρει φυσίζοον ὕδωρ.

---

# ΜΑΡΙΑΝΟΥ p. 511.

## ΣΧΟΛΑΣΤΙΚΟΥ.

### I.

#### Εἰς Ἔρωτα ἐσεφανωμένον.

α Ποῦ σοι τόξον ἐκεῖνο παλίντονον, οἵ τ' ἀπὸ σεῖο
πηγνύμενοι μεσάτην ἐς κραδίην δόνακες;
ποῦ πτερά; ποῦ λαμπὰς πολυώδυνος; ἐς τί δὲ τρισσὰ
ϛέμματα χερσὶν ἔχεις, κρατὶ δ' ἐπ' ἄλλο φέρεις;

β Οὐκ ἀπὸ πανδήμου, ξένε, Κύπριδος, οὐκ ἀπὸ γαίης
εἰμὶ, καὶ ὑλαίης ἔκγονος εὐφροσύνης.

T. II. ἀλλ' ἐγὼ ἐς καθαρὴν μερόπων φρένα πυρσὸν ἀνάπτω
εὐμαθίης, ψυχὴν δ' οὐρανὸν εἰσανάγω.
ἐκ δ' ἀρετῶν στεφάνους πισύρων πλέκω· ὧν ἀφ' ἑκάστης
τούσδε φέρων, πρώτῳ τῷ σοφίης στέφομαι.

## II.

Εἰς προάστειον ὀνομαζόμενον Ἔρωτα, ἐν Ἀμασείᾳ.

Ἡ καλὸν ἄλσος Ἔρωτος, ὅπου καλὰ δένδρεα ταῦτα
πρηῢς ἐπιπνείων ἀμφιδονεῖ Ζέφυρος·
ἧχι καὶ ἑρσήεις ἀμαρύσσεται ἄνθεσι λειμὼν,
πουλὺν ἰοστεφάνων κόσμον ἀνεὶς καλύκων·
καὶ γλυκερῆς τρίστοιχος ἐπεμβαδὸν ἄλλος ἐπ' ἄλλῳ
μαστὸς ἀναθλίβει χεύματα Νηϊάδος·
p. 512. ὁππόθι δενδρήεντα γέρων παρανήχεται Ἶρις
χῶρον, Ἀμαδρυάδων ἔνδιον ἀβροκόμων,
καὶ λιπαρῆς εὔβοτρυν ἀν' ὀργάδα καρπὸς ἐλαίης
θάλλει ἐριστάφυλων πάντοσε θειλοπέδων·
αἱ δὲ πέριξ λαλαγεῦσιν ἀηδόνες· ὃς δὲ μελίζει
ἀντῳδὸν τέττιξ φθέγματος ἁρμονίαν.
ἀλλὰ τὸν ἀκλήϊστον ὅπως, ξένε, μή με παρέλθῃς
τόνδε δόμον, λιτῆς δ' ἀντίασον ξενίης.

## III.

Εἰς τὸ αὐτό.

Δεῦρ' ἴθι, βαιὸν ὁδῖτα πεσὼν ὑπὸ δάσκιον ἄλσος,
ἄμπαυσον καμάτου γυῖα πολυπλανέος,
χῶρον ὅπου πλατάνων αὐτόῤῥυτον ἐς μέσον ὕδωρ
καλὰ πολυκρούνων ἐκπρορέει στομάτων·
ὁππόθι πορφυρέης ὑπὲρ αὔλακος εἴαρι θάλλει
ὑγρὸν ἴον ῥοδέῃ κιρνάμενον κάλυκι.

ἤνιδε πῶς δροσεροῖο πέδον λειμῶνος ἐρέψας T. II.
ἔκχυτον εὐχαίτης κισσὸς ἔπλεξε κόμην.
ἐνθάδε καὶ ποταμὸς λασίην παραμείβεται ὄχθην,
πέζαν ὑποξύων αὐτοφύτοιο νάπης.
οὗτος ΕΡΩΣ. τί γὰρ ἄλλο καὶ ἔπρεπεν οὔνομα χώρῳ,
πάντοθεν ἱμερτῶν πληθομένῳ Χαρίτων;

## IV.

Εἰς λουτρὸν ὀνομαζόμενον Ἔρωτα.

Μητέρα Κύπριν ἔλουσεν Ἔρως ποτὲ τῷδε λοετρῷ,
αὐτὸς ὑποφλέξας λαμπάδι καλὸν ὕδωρ.
ἱδρὼς δ' ἀμβροσίοιο χυθεὶς χροὸς ἄμμιγα λευκοῖς
ὕδασι, φεῦ, πνοιῆς ὅσσον ἀνῆψεν ἔαρ·
ἔνθεν ἀεὶ ῥοδόεσσαν ἀναζείουσιν ἀϋτμήν, p. 513.
ὡς ἔτι τῆς χρυσῆς λουομένης Παφίης.

## V.

Εἰς τὸ αὐτό.

Τᾷδ' ὑπὸ τὰς πλατάνους ἁπαλῷ τετρυμένος ὕπνῳ
εὗδεν Ἔρως, Νύμφαις λαμπάδα παρθέμενος.
Νύμφαι δ' ἀλλήλῃσι, Τί μέλλομεν; αἴθε δὲ τούτῳ
σβέσσαμεν, εἶπον, ὁμοῦ πῦρ κραδίης μερόπων.
λαμπὰς δ' ὡς ἔφλεξε καὶ ὕδατα, θερμὸν ἐκεῖθεν
Νύμφαι Ἐρωτιάδες λουτροχοεῦσιν ὕδωρ.

---

T. II. κεῖται σιγαλέη· τόσον ἔσθενε νήματα Μοίρης,
ὡς λιγυρὰ κλεῖσαι χείλεα Καλλιόπης.

p. 503. XLII.

Οὔτι φύσις θήλεια, καὶ ὀ πολιοῖο καρήνου
ἀδρανίη φωνῆς σῆς κατέλυσε βίην·
ἀλλὰ μόλις ξυνοῖσι νόμοις εἴξασα τελευτῆς,
ψυχῇ, Καλλιόπη, συγκατέλυσας ὄπα.

XLIII.

Ηδέα πάντα κέλευθα λάχεν βίος. ἀστεϊ μέσσῳ
εὖχος ἑταιρείαι· κρυπτὰ δόμοισιν ἄχη·
ἀγρὸς τέρψιν ἄγει, κέρδος πλόος, ἀλλοδαπὴ χθὼν
γνώσιας. ἐκ δὲ γάμων οἶκος ὁμοφρονέει·
τοῖς δ' ἀγάμοις ἄφροντις ἀεὶ βίος. ἕρκος ἐτύχθη
πατρὶ τέκος· φροῦδος τοῖς ἀγόνοισι φόβος.
ἠνορέην νεότης, πολιὴ φρένας οἶδεν ὀπάσσαι.
ἔνθεν θάρσος ἔχων, ζῶε, φύτευε γένος.

XLIV.

Οἶκος καὶ πάτρη, βιότου χάρις· αἱ δὲ περισσαὶ
φροντίδες ἀνθρώποις, οὐ βίος, ἀλλὰ πόνος.

XLV.

Ολκὰς ὕδωρ προφυγοῦσα πολυφλοίσβοιο θαλάσσης
ἐν χθονὸς ἀγκοίναις ὤλετο μητριάσιν.
ἱσταμένην γὰρ πυρσὸς ἐπέφλεγε· καιομένη δὲ
δυσμενέων ὑδάτων συμμαχίην ἐκάλει.

XLII. 4. Vulgo: φεῦ, φεῦ, Κ., σὴν κατέλ.

## XLVI. T. II.

Μύγδων τέρμα βίοιο λαχὼν, αὐτόστολος ἦλθεν
εἰς Αΐδην, νεκύων πορθμίδος οὐ χατέων.
ἣν γὰρ ἔχε ζωὸν βιοδώτορα, μάρτυρα μόχθων, p. 504.
ἄγραις εἰναλίαις πολλάκι βριθομένην,
τήνδε καὶ ἐν θανάτῳ λάχε σύνδρομον, εὖτε τελευτὴν
εὕρετο, συλλήξας ὁλκάδι καιομένῃ.
οὕτω πιστὸν ἄνακτι πέλε σκάφος, οἶκον ἀέξον
Μύγδονι, καὶ σύμπλουν ἐς βίον, ἐς θάνατον.

## XLVII.

Μήτηρ υἷα λιπόντα μάχην μετὰ πότμον ἑταίρων
ἔκτανεν, ὠδίνων μνῆστιν ἀνηναμένη.
καὶ γὰρ γνήσιον αἷμα διακρίνει Λακεδαίμων
ἀλκῇ μαρναμένων, οὐ γενεῇ βρεφέων.

## XLVIII.

Εἴς τινα ὑπὸ λῃστῶν πεφονευμένον, καὶ ὑπ' αὐτῶν θαπτόμενον.

Οὔποτ' ἐμὲ κρύψεις ὑπὸ πυθμένα νείατον αἴης
τόσσον, ὅσον κρύψαι πάνσκοπον ὄμμα Δίκης.
ἀντὶ φόνου τάφον ἄμμι χαρίζεαι· ἀλλὰ καὶ αὐτὸς
ἴσων ἀντιτύχοις οὐρανόθεν χαρίτων.

## XLIX.

Οὔτι σε πόντος ἀπώλεσεν, οὐ πνείοντες ἀῆται,
ἀλλ' ἀκόρητος ἔρως φοιτάδος ἐμπορίης.
εἴη μοι γαίης ὀλίγος βίος· ἐκ δὲ θαλάσσης
ἄλλοισιν μελέτω κέρδος ἀελλομάχον.

T. II. κεῖται σιγαλέη· τόσον ἔσθενε νήματα Μοίρης,
ὡς λιγυρὰ κλεῖσαι χείλεα Καλλιόπης.

p. 503. 

## XLII.

Οὔτι φύσις θήλεια, καὶ οὐ πολιοῖο καρήνου
ἀδρανίη φωνῆς σῆς κατέλυσε βίην·
ἀλλὰ μόλις ξυνοῖσι νόμοις εἴξασα τελευτῆς,
ψυχῇ, Καλλιόπη, συγκατέλυσας ὄπα.

## XLIII.

Ἡδέα πάντα κέλευθα λάχεν βίος. ἄστει μέσσῳ
εὖχος ἑταιρεῖαι· κρυπτὰ δόμοισιν ἄχη·
ἀγρὸς τέρψιν ἄγει, κέρδος πλόος, ἀλλοδαπὴ χθὼν
γνώσιας. ἐκ δὲ γάμων οἶκος ὁμοφρονέει·
τοῖς δ' ἀγάμοις ἄφροντις ἀεὶ βίος. ἔρκος ἐτύχθη
πατρὶ τέκος· φροῦδος τοῖς ἀγόνοισι φόβος.
ἠνορέην νεότης, πολιὴ φρένας οἶδεν ὀπάσσαι.
ἔνθεν θάρσος ἔχων, ζῶε, φύτευε γένος.

## XLIV.

Οἶκος καὶ πάτρη, βιότου χάρις· αἱ δὲ περισσαὶ
φροντίδες ἀνθρώποις, οὐ βίος, ἀλλὰ πόνος.

## XLV.

Ὀλκὰς ὕδωρ προφυγοῦσα πολυφλοίσβοιο θαλάσσης
ἐν χθονὸς ἀγκοίναις ὤλετο μητριάσιν.
ἱσταμένην γὰρ πυρσὸς ἐπέφλεγε· καιομένη δὲ
δυσμενέων ὑδάτων συμμαχίην ἐκάλει.

XLII. 4. Vulgo: φεῦ, φεῦ, Κ., σὴν κατέλ.

## XLVI. T. II.

Μύγδων τέρμα βίοιο λαχὼν, αὐτόστολος ἦλθεν
  εἰς Αἴδην, νεκύων πορθμίδος οὐ χατέων.
ἣν γὰρ ἔχε ζωὸν βιοδώτορα, μάρτυρα μόχθων, p. 504.
  ἄγραις εἰναλίαις πολλάκι βριθομένην,
τήνδε καὶ ἐν θανάτῳ λάχε σύνδρομον, εὖτε τελευτὴν
  εὕρετο, συλλήξας ὁλκάδι καιομένῃ.
οὕτω πιστὸν ἄνακτι πέλε σκάφος, οἶκον ἀέξον
  Μύγδονι, καὶ σύμπλουν ἐς βίον, ἐς θάνατον.

## XLVII.

Μήτηρ υἷα λιπόντα μάχην μετὰ πότμον ἑταίρων
  ἔκτανεν, ὠδίνων μνῆστιν ἀνηναμένη.
καὶ γὰρ γνήσιον αἷμα διακρίνει Λακεδαίμων
  ἀλκῇ μαρναμένων, οὐ γενεῇ βρεφέων.

## XLVIII.

Εἴς τινα ὑπὸ λῃστῶν πεφονευμένον, καὶ ὑπ' αὐτῶν θαπτόμενον.

Οὔποτ' ἐμὲ κρύψεις ὑπὸ πυθμένα νείατον αἴης
  τόσσον, ὅσον κρύψαι πάνσκοπον ὄμμα Δίκης.
ἀντὶ φόνου τάφον ἄμμι χαρίζεαι· ἀλλὰ καὶ αὐτὸς
  ἴσων ἀντιτύχοις οὐρανόθεν χαρίτων.

## XLIX.

Οὔτι σε πόντος ἀπώλεσεν, οὐ πνείοντες ἀῆται,
  ἀλλ' ἀκόρητος ἔρως φοιτάδος ἐμπορίης.
εἴη μοι γαίης ὀλίγος βίος· ἐκ δὲ θαλάσσης
  ἄλλοισιν μελέτω κέρδος ἀελλομάχον.

T. II.

## L.

Εἰς Τίμωνα τὸν μισάνθρωπον.

Ὅςις μὲ τριόδοισι μέσαις τάρχυσε θανόντα,
λυγρὰ παθὼν τύμβυ μηδ' ὀλίγοιο τύχοι,
p. 505. πάντες ἐπεὶ Τίμωνα νέκυν καλέυσιν ὁδῖται,
καὶ μόρος ἄμμι μόνοις ἄμμορος ἡσυχίης.

## LI.

Οὔνομα μὲν ΚΑΛΗ, φρεσὶ δὲ πλέον ἠὲ προσώπῳ,
κάτθανε· φεῦ, Χαρίτων ἐξαπόλωλεν ἔαρ.
καὶ γὰρ ἔην Παφίῃ πανομοίϊος, ἀλλὰ συνεύνῳ
μύνῳ· τοῖς δ' ἑτέροις Παλλὰς ἐρυμνοτάτη.
τίς λίθος ὐκ ἐγόησεν ὅτ' ἐξήρπαξεν ἐκείνην
εὐρυβίης Αἴδης ἀνδρὸς ἀπ' ἀγκαλίδων;

## LII.

Εἰς Ροδὼ τὴν γυναῖκα Διοφάνυς νέαν τελευτήσασαν.

Σοὶ σορὸν εὐλάϊγγα, Ροδοῖ, καὶ τύμβον ἐγείρει,
ῥύσιά τε ψυχῆς δῶρα πένησι νέμει,
ἀντ' εὐεργεσίης. γλυκερὸς πόσις· ὅττι θανῦσα
ὠκύμορος, κείνῳ δῶκας ἐλευθερίην.

## LIII.

Εἰς ναυηγόν τινα ἀπὸ τῆς θαλάσσης ἐκβρασθέντα πρὸς τὴν αὐτῦ πατρίδα.

Χαῖρέ μοι, ὦ ναυηγὲ, καὶ εἰς Αΐδαο περήσας
μέμφεο μὴ πόντυ κύμασιν, ἀλλ' ἀνέμοις.
κεῖνοι μέν σ' ἐδάμασσαν· ἀλὸς δέ σε μείλιχον ὕδωρ
ἐς χθόνα καὶ πατέρων ἐξεκύλισσε τάφυς.

## LIV.

T.II. p.506.

Εἴς τινα ναυαγήσαντα, καὶ ὑπὸ ναυτῶν ἐκ τῆς θαλάσσης νεκρὸν ἀναληφθέντα καὶ τάφου εὐμοιρήσαντα.

Πλώεις ναυηγόν με λαβὼν, καὶ σήματι χώσας;
πλῶε, Μαλειάων ἄκρα φυλασσόμενος.
αἰεὶ δ' εὐπλοΐην μεθέποις. φίλος· ἢν δέ τι ῥέξῃ
ἄλλο Τύχη, τοίων ἀντιάσαις χαρίτων.

## LV.

Εἰς Πάμφιλον φιλόσοφον ἐν ναυαγίῳ τελευτήσαντα.

Χθών σ' ἔτεκε, πόντος δὲ διώλεσε, δέκτο δὲ θῶκος
Πλουτῆος· κεῖθεν δ' οὐρανὸν εἰσανέβης.
οὐχ ὡς ναυηγὸς δὲ βυθῷ θάνες, ἀλλ' ἵνα πάντως
κλήροις ἀθανάτων, Πάμφιλε, κόσμον ἄγῃς.

## LVI.

Ὤριος εἷλέ σε παστὰς, ἀώριος εἷλέ σε τύμβος,
εὐθαλέων Χαρίτων ἄνθος, Ἀναστασίη.
σοὶ γενέτης, σοὶ πικρὰ πόσις κατὰ δάκρυα λείβει,
σοὶ τάχα καὶ πορθμεὺς δακρυχέει νεκύων.
οὐ γὰρ ὅλον λυκάβαντα διήνυσας ἄγχι συνεύνου,
ἀλλ' ἑκκαιδεκέτιν, φεῦ, κατέχει σε τάφος.

## LVII.

Φεῦ φεῦ, ἀμετρήτων χαρίτων ἔαρ ἡδὺ μαραίνει
ἀμφὶ σοὶ ὠμοφάγων χεῖμα τὸ νερτερίων.
καί σε μὲν ἥρπασε τύμβος ἀπ' ἠελιώτιδος αἴγλης
πέμπτον ἐφ' ἑνδεκάτῳ πικρὸν ἄγουσαν ἔτος·
σὸν δὲ πόσιν, γενέτην τε κακαῖς ἀλάωσας ἀνίαις,
οἷς πλέον ἠελίου λάμπες, Ἀναστασίη. p. 507.

T. II.

## LVIII.

Εἰς Ἰωάννην τινὰ νέον καὶ ἀτελῆ τελευτήσαντα.

α Ἄγριός ἐστι Χάρων. β πλέον ἤπιος. α ἥρπασεν ἤδη
τὸν νέον. β ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον.
α τερπωλῆς ἀπέπαυσεν. β ἀπεστυφέλιξε δὲ μόχθων.
α οὐκ ἐνόησε γάμους. β οὐδὲ γάμων ὀδύνας.

## LIX.

Κέρβερε, δειμαλέην ὑλακὴν νεκύεσσιν ἰάλλων,
ἤδη φρικαλέον δείδιθι καὶ σὺ νέκυν.
Ἀρχίλοχος τέθνηκε. φυλάσσεο θυμὸν ἰάμβων
δριμὺν, πικροχόλου τικτόμενον στόματος.
οἶσθα βοῆς κείνοιο μέγα σθένος, εὖτε Λυκάμβεω
νηῦς μία σοι τρισσὰς ἤγαγε θυγατέρας.

## LX.

Νῦν πλέον ἢ τοπάροιθε πύλας κρατεροῖο βερέθρου
ὄμμασιν ἀγρύπνοις τρισσὲ φύλασσε κύον.
εἰ γὰρ φέγγος ἔλειπον ἀλυσκάζουσαι ἰάμβων
ἄγριον Ἀρχιλόχου φλέγμα Λυκαμβιάδες,
πῶς οὐκ ἂν προλίποι σκοτίων πυλεῶνας ἐναύλων
νεκρὸς ἅπας, φεύγων τάρβος ἐπεσβολίης;

## LXI.

Εἰς Ἀνακρέοντα.

Πολλάκι μὲν τόδ' ἄεισα, καὶ ἐκ τύμβου δὲ βοήσω·
Πίνετε, πρὶν ταύτην ἀμφιβάλησθε κόνιν.

p. 508.

## LXII.

Κάτθανε μὲν Θεόδωρος· ἀοιδοπόλων δὲ παλαιῶν
πληθὺς οἰχομένη νῦν θάνεν ἀτρεκέως.

πᾶσα μὲν ἀμπνείοντι συνέπνεε, πᾶσα δ' ἀπέσβη T. II.
σβεννυμένῳ· κρύφθη δ' εἰν ἑνὶ πάντα τάφῳ.

LXIII.

Μνῆμα σὸν, ὦ Θεόδωρε, πανατρεκὲς, οὐκ ἐπὶ τύμβῳ,
ἀλλ' ἐν βιβλιακῶν μυριάσιν σελίδων,
αἷσιν ἀνεζώγρησας ἀπολλυμένων, ἀπὸ λήθης
ἁρπάξας, νοερὸν μόχθον ἀριδοπόλων.

LXIV.

Εἰς Κρατερὸν τὸν σοφιστήν.

Η Φύσις ὠδίνασα πολὺν χρόνον, ἀνέρ' ἔτικτεν
ἄξιον εἰς ἀρετὴν τῶν προτέρων ἐτέων,
τὸν Κρατερὸν, σοφίην τε καὶ οὔνομα, τὸν καὶ ἀνιγροῖς
κινήσαντα γόῳ δάκρυον ἀντιπάλοις.
εἰ δὲ νέος τέθνηκεν, ὑπέρτερα νήματα Μοίρης
μέμφεο, βουλομένης κόσμον ἄκοσμον ἔχειν.

LXV.

Ω φθέγμα Κρατεροῖο, τί σοι πλέον, εἴ γε καὶ αὐδῆς
ἔπλεο καὶ σιγῆς αἴτιον ἀντιπάλοις;
ζῶντος μὲν γὰρ, ἅπαντες ἐφώνεον· ἐκ δὲ τελευτῆς
ὑμετέρης, ἰδίην αὖθις ἔδησαν ὄπα.
οὔτις γὰρ μετὰ σεῖο μόρον τέτληκε τανύσσαι
οὔατα λόγοις· Κρατερῷ δ' ἓν τέλος ἠδὲ λόγοις.

LXVI. p. 509.

Εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις,
Φερσεφόνη, ψυχὴν δέχνυσο Δημοκρίτου
εὐμενέως γελόωσαν, ἐπεὶ καὶ σεῖο τεκοῦσαν,
ἀχνυμένην ἐπὶ σοὶ, μοῦνος ἔκαμψε γέλως.

T. II.

## LVIII.

Εἰς Ἰωάννην τινὰ νέον καὶ ἀτελῆ τελευτήσαντα.

α Ἄγριός ἐςι Χάρων. β πλέον ἤπιος. α ἥρπασεν ἤδη
τὸν νέον. β ἀλλὰ νόῳ τοῖς πολιοῖσιν ἴσον.
α τερπωλῆς ἀπέπαυσεν. β ἀπετυφέλιξε δὲ μόχθων.
α οὐκ ἐνόησε γάμους. β οὐδὲ γάμων ὀδύνας.

## LIX.

Κέρβερε, δειμαλέην ὑλακὴν νεκύεσσιν ἰάλλων,
ἤδη φρικαλέον δείδιθι καὶ σὺ νέκυν.
Ἀρχίλοχος τέθνηκε. φυλάσσεο θυμὸν ἰάμβων
δριμὺν, πικροχόλου τικτόμενον ςόματος.
οἶσθα βοῆς κείνοιο μέγα σθένος, εὖτε Λυκάμβεω
νηῦς μία σοι τρισσὰς ἤγαγε θυγατέρας.

## LX.

Νῦν πλέον ἢ τοπάροιθε πύλας κρατεροῖο βερέθρου
ὄμμασιν ἀγρύπνοις τρισσὲ φύλασσε κύον.
εἰ γὰρ φέγγος ἔλειπον ἀλυσκάζουσαι ἰάμβων
ἄγριον Ἀρχιλόχου φλέγμα Λυκαμβιάδες,
πῶς οὐκ ἂν προλίποι σκοτίων πυλεῶνας ἐναύλων
νεκρὸς ἅπας, φεύγων τάρβος ἐπεσβολίης;

## LXI.

Εἰς Ἀνακρέοντα.

Πολλάκι μὲν τόδ᾽ ἄεισα, καὶ ἐκ τύμβου δὲ βοήσω·
Πίνετε, πρὶν ταύτην ἀμφιβάλησθε κόνιν.

p. 508.

## LXII.

Κάτθανε μὲν Θεόδωρος· ἀοιδοπόλων δὲ παλαιῶν
πληθὺς οἰχομένη νῦν θάνεν ἀτρεκέως.

πᾶσα

πᾶσα μὲν ἀμπνείοντι συνέπνεε, πᾶσα δ' ἀπέσβη T. II.
σβεννυμένου· κρύφθη δ' εἰν ἑνὶ πάντα τάφῳ.

## LXIII.

Μνῆμα σὸν, ὦ Θεόδωρε, πανατρεκὲς, οὐκ ἐπὶ τύμβῳ,
ἀλλ' ἐν βιβλιακῶν μυριάσιν σελίδων,
αἷσιν ἀνεζώγρησας ἀπολλυμένων, ἀπὸ λήθης
ἁρπάξας, νοερὸν μόχθον ἀοιδοπόλων.

## LXIV.

Εἰς Κρατερὸν τὸν σοφιστήν.

Η φύσις ὠδίνασα πολὺν χρόνον, ἀνέρ' ἔτικτεν
ἄξιον εἰς ἀρετὴν τῶν προτέρων ἐτέων,
τὸν Κρατερὸν, σοφίην τε καὶ οὔνομα, τὸν καὶ ἀνιγροῖς
κινήσαντα γόῳ δάκρυον ἀντιπάλοις.
εἰ δὲ νέος τέθνηκεν, ὑπέρτερα νήματα Μοίρης
μέμφεο, βουλομένης κόσμον ἄκοσμον ἔχειν.

## LXV.

Ω φθέγμα Κρατεροῖο, τί σοι πλέον, εἴ γε καὶ αὐδῆς
ἔπλεο καὶ σιγῆς αἴτιον ἀντιπάλοις;
ζῶντος μὲν γὰρ, ἅπαντες ἐφώνεον· ἐκ δὲ τελευτῆς
ὑμετέρης, ἰδίην αὖθις ἔδησαν ὄπα.
οὔτις γὰρ μετὰ σεῖο μόρον τέτληκε τανύσσαι
ὦτα λόγοις· Κρατερῷ δ' ἓν τέλος ἠδὲ λόγοις.

## LXVI. p. 509.

Εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις,
Φερσεφόνη, ψυχὴν δέχνυσο Δημοκρίτου
εὐμενέως γελόωσαν, ἐπεὶ καὶ σεῖο τεκοῦσαν,
ἀχνυμένην ἐπὶ σοὶ, μοῦνος ἔκαμψε γέλως.

T. II. LXVII.

Πλούτων δέξο μάκαρ Δημόκριτον, ὥς κεν ἀνάσσων
αἰὲν ἀμειδήτων, καὶ γελόωντα λάχοις.

LXVIII.

Εἰς Πύῤῥωνα τὸν Σκεπτικόν.

α Κάτθανες ὦ Πύῤῥων; β ἐπέχω. α πυμάτην μετὰ μοῖραν
φὴς ἐπέχειν; β ἐπέχω. α σκέψιν ἔπαυσε τάφος.

LXIX.

α Κλεινὸς Ιωάννης. β θνητὸς, λέγε. α γαμβρὸς ἀνάσσης.
β θνητὸς ὅμως. α γενεῆς ἄνθος Αναςασίου.
β θνητοῦ κἀκείνου. α βίον ἔνδικος. β οὐκ. ἔτι τοῦτο
θνητὸν ἔφης. ΑΡΕΤΑΙ ΚΡΕΙΣΣΟΝΕΣ ΕΙΣΙ ΜΟΡΟΥ.

LXX.

Εἰς Υπάτιον ἀδελφιδοῦν τοῦ βασιλέως Αναςασίου.

Υπατίου τάφος εἰμί· νέκυν δ᾽ οὔ φημι καλύπτειν
τόσσου τόσσος ἐὼν Αὐσονίων προμάχου.
Γαῖα γὰρ αἰδομένη λιτῷ μέγαν ἀνέρα χῶσαι
σήματι, τῷ Πόντῳ μᾶλλον ἔδωκεν ἔχειν.

p. 510. LXXI.

Εἰς τὸν αὐτόν.

Αὐτὸς ἄναξ νεμέσησε πολυφλοίσβοιο θαλάσσης
κύμασιν, Υπατίου σῶμα καλυψαμένοις·
ἤθελε γάρ μιν ἔχειν γέρας ὕςατον, οἷα θανόντα,
καὶ μεγαλοφροσύνης κρύψε θάλασσα χάριν.
ἔνθεν, πρηΰνου κραδίης μέγα δεῖγμα, φαεινὸν
τίμησεν κενεῷ σήματι τῷδε νέκυν.

### ΜΗΝΕΣ ΑΙΓΥΠΤΙΩΝ. T. II.

Πρῶτος ΘΩΘ ἰδάη δρεπάνην ἐπὶ βότρυν ἐγείρειν.
ἰχθυβόλοισι ΠΑΩΦΙ φέρει πανδήμιον ἄγρην.
Πληϊάδων φαίνουσαν ΑΘΥΡ τεκμαίρεται ὥρην.
ΧΟΙΑΚ σπειρομένων ϛαχύων δείκνυσι γενέθλην.
ΤΥΒΙ δὲ πορφύρεον βουληφόρον εἷμα τιταίνει.
σημαίνει πλωτῆρσι ΜΕΧΕΙΡ πλόον ἀμφιπολεύειν.
Ἄρεος ὅπλα φέρειν ΦΑΜΕΝΩΘ δείκνυσι μαχηταῖς.
εἰαρινῶν ΦΑΡΜΟΥΘΙ ῥόδων πρωτάγγελός ἐϛι.
λήϊα δ' ἀυανθέντα ΠΑΧΩΝ δρεπάνοισι φυλάσσει.
εὐκάρπου δὲ ΠΑΫΝΙ προάγγελός ἐϛιν ὀπώρης.
καὶ ϛαφυλὴν κατέχων εὐάμπελός ἐϛιν ΕΠΙΦΙ.
καὶ ΜΕΣΟΡΙ Νείλοιο φέρει φυσίζοον ὕδωρ.

---

## ΜΑΡΙΑΝΟΥ p. 511.

### ΣΧΟΛΑΣΤΙΚΟΥ.

---

### I.

Εἰς Ἔρωτα ἐϛεφανωμένον.

α Ποῦ σοι τόξον ἐκεῖνο παλίντονον, οἵ τ' ἀπὸ σεῖο
πηγνύμενοι μεσάτην ἐς κραδίην δόνακες;
ποῦ πτερά; ποῦ λαμπὰς πολυώδυνος; ἐς τί δὲ τρισσὰ
ϛέμματα χερσὶν ἔχεις, κρατὶ δ' ἐπ' ἄλλο φέρεις;

β Οὐκ ἀπὸ πανδήμου, ξεῖνε, Κύπριδος, οὐκ ἀπὸ γαίης
εἰμὶ, καὶ ὑλαίης ἔκγονος εὐφροσύνης.

T. II. ἀλλ' ἐγὼ ἐς καθαρὴν μερόπων φρένα πυρσὸν ἀνάπτω
εὐμαθίης, ψυχὴν δ' οὐρανὸν εἰσανάγω.
ἐκ δ' ἀρετῶν στεφάνους πισύρων πλέκω· ὧν ἀφ' ἑκάστης
τούσδε φέρων, πρώτῳ τῷ σοφίης στέφομαι.

## II.

Εἰς προάστειον ὀνομαζόμενον Ερωτα, ἐν Αμασείᾳ.

Η καλὸν ἄλσος Ερωτος, ὅπου καλὰ δένδρεα ταῦτα
πρηῢς ἐπιπνείων ἀμφιδονεῖ Ζέφυρος·
ἧχι καὶ ἑρσήεις ἀμαρύσσεται ἄνθεσι λειμὼν,
πουλὺν ἰοστεφάνων κόσμον ἀνεὶς καλύκων·
καὶ γλυκερῆς τρίστοιχος ἐπεμβαδὸν ἄλλος ἐπ' ἄλλῳ
μαστὸς ἀναθλίβει χεύματα Νηϊάδος·
p. 512. ὁππόθι δενδρήεντα γέρων παρανήχεται Ἶρις
χῶρον, Αμαδρυάδων ἔνδιον ἁβροκόμων,
καὶ λιπαρῆς εὔβοτρυν ἀν' ὀργάδα καρπὸς ἐλαίης
θάλλει ἐρισταφύλων πάντοσε θειλοπέδων·
αἱ δὲ πέριξ λαλαγεῦσιν ἀηδόνες· ὃς δὲ μελίζει
ἀντῳδὸν τέττιξ φθέγματος ἁρμονίαν.
ἀλλὰ τὸν ἀκλήϊστον ὅπως, ξένε, μή με παρέλθῃς
τόνδε δόμον, λιτῆς δ' ἀντίασον ξενίης.

## III.

Εἰς τὸ αὐτό.

Δεῦρ' ἴθι, βαιὸν ὁδῖτα πεσὼν ὑπὸ δάσκιον ἄλσος,
ἄμπαυσον καμάτου γυῖα πολυπλανέος,
χῶρον ὅπου πλατάνων αὐτόῤῥυτον ἐς μέσον ὕδωρ
καλὰ πολυκρούνων ἐκπρορέει στομάτων·
ὁππόθι πορφυρέης ὑπὲρ αὔλακος εἴαρι θάλλει
ὑγρὸν ἴον ῥοδέῃ κιρνάμενον κάλυκι.

ἤνιδε πῶς δροσεροῖο πέδον λειμῶνος ἐρέψας T. II.
ἔκχυτον εὐχαίτης κισσὸς ἔπλεξε κόμην.
ἐνθάδε καὶ ποταμὸς λασίην παραμείβεται ὄχθην,
πέζαν ὑποξύων αὐτοφύτοιο νάπης.
οὗτος ΕΡΩΣ. τί γὰρ ἄλλο καὶ ἔπρεπεν οὔνομα χώρῳ,
πάντοθεν ἱμερτῶν πληθομένῳ Χαρίτων;

## IV.

Εἰς λουτρὸν ὀνομαζόμενον Ἔρωτα.

Μητέρα Κύπριν ἔλουσεν Ερως ποτὲ τῷδε λοετρῷ,
αὐτὸς ὑποφλέξας λαμπάδι καλὸν ὕδωρ.
ἱδρὼς δ' ἀμβροσίοιο χυθεὶς χροὸς ἄμμιγα λευκοῖς
ὕδασι, φεῦ, πνοιῆς ὅσσον ἀνῆψεν ἔαρ·
ἔνθεν ἀεὶ ῥοδόεσσαν ἀναζείουσιν ἀϋτμήν, p. 513.
ὡς ἔτι τῆς χρυσῆς λουομένης Παφίης.

## V.

Εἰς τὸ αὐτό.

Τᾷδ' ὑπὸ τὰς πλατάνους ἁπαλῷ τετρυμένος ὕπνῳ
εὗδεν Ερως, Νύμφαις λαμπάδα παρθέμενος.
Νύμφαι δ' ἀλλήλοισι, Τί μέλλομεν; αἴθε δὲ τούτῳ
σβέσσαμεν, εἶπον, ὁμοῦ πῦρ κραδίης μερόπων.
λαμπὰς δ' ὡς ἔφλεξε καὶ ὕδατα, θερμὸν ἐκεῖθεν
Νύμφαι Ἐρωτιάδες λουτροχοοῦσιν ὕδωρ.

---

T. II. ΤΩΝ ΜΟΥΣΩΝ ΕΥΡΗΜΑΤΑ.

Καλλιόπη σοφίην ἡρωΐδος εὗρεν ἀοιδῆς·
Κλειὼ καλλιχόρε κιθάρης μελιηδέα μολπήν·
Εὐτέρπη τραγικοῖο χορῦ πολυηχέα φωνήν.
Μελπομένη θνητοῖσι μελίφρονα βάρβιτον εὗρε.
Τερψιχόρη χαρίεσσα πόρεν τεχνήμονας αὐλές.
ὕμνες ἀθανάτων Ἐρατὼ πολυτερπέας εὗρε.
τέρψιας ὀρχηθμοῖο Πολύμνια πάνσοφος εὗρεν.
Οὐρανίη πόλον εὗρε καὶ ὐρανίων χορὸν ἄστρων.
κωμικὸν εὗρε Θάλεια βίον τε καὶ ἤθεα κεδνά.

---

P. 514. ΘΕΑΙΤΗΤΟΥ
ΣΧΟΛΑΣΤΙΚΟΥ.

---

I.

Ἰχθυβόλον πολυωπὸν ἀπ' εὐθήρε λίνον ἄγρης,
τῶν τ' ἀγκιστροδέτων συζυγίην δονάκων,
καὶ πιστὸν βυθίων παγίδων σημάντορα φελλὸν,
καὶ λίθον ἀντιτύπῳ κρέσματι πυρσοτόκον,
ἄγκυράν τ' ἐπὶ τοῖς ἐχενηίδα, δεσμὸν ἀέλλης,
στρεπτῶν τ' ἀγκίστρων ἰχθυπαγῆ στόματα,
δαίμοσιν ἀγροδότησι θαλασσοπόρος πόρε Βαίτων,
γήραϊ νεσοφόρῳ βριθομένης παλάμης.

II.

Ἤδη καλλιπέτηλον ἐπ' εὐκάρποισι λοχείαις
λήϊον ἐκ ῥοδέων ἀνθοφορεῖ καλύκων.

ἤδη ἐπ᾽ ἀκρεμόνεσσιν ἰσοζυγέων κυπαρίσσων T. II.
μυσομανὴς τέττιξ θέλγει ἀμαλλοδέτην·
καὶ φιλόπαις ὑπὸ γεῖσα δόμους τεύξασα χελιδὼν,
ἔκγονα πηλοχύτοις ξεινοδοκεῖ θαλάμοις.
ὑπνώει δὲ θάλασσα, φιλοζεφύροιο γαλήνης
νηοφόροις νώτοις εὔδια πεπταμένης,
οὐκ ἐπὶ πρυμναίοισι καταιγίζουσα κορύμβοις,
οὐκ ἐπὶ ῥηγμίνων ἀφρὸν ἐρευγομένη.
ναυτίλε, ποντομέδοντι καὶ ὁρμοδοτῆρι Πριήπῳ p. 515.
τευθίδος ἢ τρίγλης ἀνθεμόεσσαν ἴτυν,
ἢ σκάρον αὐδήεντα παραὶ βωμοῖσι πυρώσας,
ἄτρομος Ἰονίου τέρμα θαλασσοπόρει.

### III.

Ὑλοβάτας, φιλόδενδρος, ὀρεσσαύλου πόσις Ἀχοῦς,
πάνσκοπος, εὐκεράου μαλοφύλαξ ἀγέλας,
Πὰν ὁ δασυκνάμων, ὁ πολύσπορος, ὃς μετανάστας
ἔδραμον αἰχματᾶν ἐς δάϊν Ἀσσυρίων,
Μιλτιάδου στήσαντος ὁμάσπιδα περσοδιώκτην,
ἵσταμαι, ἀκλήτου ξείνια συμμαχίης.
ἄλλοις ἀκροπόληες· ὁ μηδοφόνος δὲ δέδασται
ξυνὸς ἐμὶν Μαραθὼν καὶ μαραθωνομάχαις.

### IV.

Εἰς τὸ ἐν Ῥαμνοῦντι Νεμέσεως ἄγαλμα.

Χιονέην με λίθον παλιναυξέος ἐκ περιωπῆς
λαοτύπος τμήξας πετροτόμοις ἀκίσι
Μῆδος ἐποντοπόρευσεν, ὅπως ἀνδρείκελα τεύξῃ,
τῆς κατ᾽ Ἀθηναίων σύμβολα καμμονίης.

T. II. ὡς δὲ θαϊζομένοις Μαραθὼν ἀντέκτυπε Πέρσαις,
καὶ νέες ὑγροπόρου χεύμασιν αἱμαλέοις,
ἔξεσαν Αδρήστειαν ἀριστώδινες Αθῆναι,
δαίμον᾽ ὑπερφιάλοις ἀντίπαλον μερόπων.
ἀντιταλαντεύω τὰς ἐλπίδας· εἰμὶ δὲ καὶ νῦν
ΝΙΚΗ Ερεχθείδαις, Ασσυρίοις ΝΕΜΕΣΙΣ.

p. 516.

## V.

Εἰς τὸ μέγα Πραιτώριον καλλωπισθέν.

Ως ἀγαθὸν καὶ παῖς ἐπὶ γήραϊ· φαιδροτέρους γὰρ
Δομνῖνος θαλάμους μητρὸς ἔτευξε Δίκης.
λάμπω ἐγὼ διὰ παιδὸς, ὁ παῖς δι᾽ ἐμεῖο φαείνει·
κύδεα δ᾽ ἀλλήλοις ἀντιχαριζόμεθα.

## VI.

Τοῦτον Ιουλιανὸν, νόμικῆς φάος, εἶπον ἰδοῦσαι
Ρώμη καὶ Βερόη· ΠΑΝΤΑ ΦΥΣΙΣ ΔΥΝΑΤΑΙ.

## ΥΜΝΟΣ ΕΙΣ ΒΑΚΧΟΝ.

Μέλπωμεν βασιλῆα φιλεύϊον, εἰραφιώτην,
Ἀβροκόμην, ἀγραῖκον, ἀοίδιμον, ἀγλαόμορφον,
Βοιωτὸν, βρόμιον, βακχεύτορα, βοτρυοχαίτην,
Γηθόσυνον, γονόεντα, γιγαντολέτην, γελόωντα,
Διογενῆ, δίγονον, διθυραμβογενῆ, Διόνυσον,
Εὔϊον, εὐχαίτην, εὐάμπελον, ἐγρεσίκωμον,
Ζηλαῖον, ζάχολον, ζηλήμονα, ζηλοδοτῆρα,
Ἤπιον, ἡδυπότην, ἡδύθροον, ἠπεροπῆα,
Θρήϊκα, θυρσοφόρον, θιασώτην, θυμολέοντα,
Ἰνδολέτην, ἱμερτὸν, ἰοπλόκον, ἰραφιώτην,
Κωμαστὴν, κεραὸν, κισσοστέφανον, κελαδεινὸν,
Λυδὸν, ληναῖον, λαθικηδέα, λυσιμέριμνον,
Μύστην, μαινόλιον, μεθυδώτην, μυριόμορφον,
Νυκτέλιον, νόμιον, νεβρώδεα, νεβριδόπεπλον,
Ξυστοβόλον, ξυνὸν, ξενοδώτην, ξανθοκάρηνον,
Ὀργίλον, ὀβριμόθυμον, ὀρέσκιον, οὐρεσιφοίτην,
Πολυπότην, πλαγκτῆρα, πολυστέφανον, πολύκωμον,
Ῥηξίνοον, ῥαδινὸν, ῥικνώδεα, ῥηνοφορῆα,
Σκιρτητὴν, Σάτυρον, σεμεληγενέτην, Σεμελῆα,
Τερπνὸν, ταυρωπὸν, τυῤῥηνολέτην, ταχύμηνιν,
Ὑπνοφόβην, ὑγρὸν, ὑμενήϊον, ὑλήεντα,
Φηρομανῆ, φρικτὸν, φιλομειδέα, φοιταλιώτην,
Χρυσόκερων, χαρίεντα, χαλίφρονα, χρυσεομίτρην,
Ψυχοπλάνην, ψεύστην, ψοφομήδεα, ψυχοδαΐκτην,
Ὤριον, ὠμηστὴν, ὠρείτροφον, ὠρεσίδουπον.

15. In marg. cod. ξενιδώτην.

T.II. p.518.

# ΥΜΝΟΣ ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Υμνείω Παιᾶνα μέγαν θεὸν Απόλλωνα,
Αμβροτον, ἀγλαόμορφον, ἀκερσεκόμην, ἁβροχαίτην,
Βριθύνοον, βασιλῆα, βελεσσιχαρῆ, βιοδώτην,
Γηθόσυνον, γελόωντα, γιγαντολέτην, γλυκύθυμον,
Διογενῆ, Διόπαιδα, δρακοντολέτην, δαφνογηθῆ,
Εὔλαλον, εὐρυβίην, ἑκατηβόλον, ἐλπιδοδώτην,
Ζωογόνον, ζάθεον, ζηνόφρονα, ζηνοδοτῆρα,
Ηπιον, ἡδυεπῆ, ἡδύφρονα, ἠπιόχειρα,
Θηροφόνον, θαλερὸν, θελξίφρονα, θελγεσίμυθον,
Ιαφέτην, ἱμερτὸν, ἰήϊον, ἱπποκορύστην,
Κοσμοπλόκον, Κλάριον, κρατερόφρονα, καρπογένεθλον,
Λητογενῆ, λαρὸν, λυρογηθέα, λαμπετόωντα,
Μυστιπόλον, μάντιν, μεγαλήτορα, μυριόμορφον,
Νευροχαρῆ, νοερὸν, νηπενθέα, νηφαλιῆα,
Ξυνοχαρῆ, ξυνὸν, ξυνόφρονα, ξυνοδοτῆρα,
Ολβιον, ὀλβιοεργὸν, Ολύμπιον, οὐρεσιφοίτην,
Πρηῢν, πανδερκῆ, πανάπήμονα, πλουτοδοτῆρα,
Ρυσίπονον, ῥοδόχρουν, ῥηξήνορα, ῥηξικέλευθον,
Σιγαλόεντα, σοφὸν, σελαηγενέτην, σωτῆρα,
Τερψίχορον, Τιτᾶνα, τελέστορα, τιμήεντα,
Υμναγόρην, ὕπατον, ὑψαύχενα, ὑετόεντα,
Φοῖβον, φοιβάζοντα, φιλοστέφανον, φρενογηθῆ,
Χρησμαγόρην, χρύσεον, χρυσόχροα, χρυσοβέλεμνον,
Ψαλμοχαρῆ, ψάλτην, ψευσίστυγα, ψυχοδοτῆρα,
Ωκυπον, ὠκυεπῆ, ὠκύσκοπον, ὠρεσιδώτην.

1. Scr. ὑμνέωμεν. In Cod. ſcriptum ὑμνέομεν. 14. Vulgo νεβροχαρῆ. 21. Cod Vat. ὑψόεντα. Fort. ὑψήεντα. ſive ὑψιμέδοντα. In Planud. Codd. reperitur ὑετόωντα et ὑετόεντα.

## ΜΗΝΕΣ ΡΩΜΑΙΩΝ. 

Ἐξ ἐμέθεν λυκάβαντος ἀνοιγομένοιο θυρέτρου,
  Αὐσονίης ὕψος δέρκεται Ἠέλιος.
Αὐτὰρ ἐγὼ θαμινῇσι γύην νιφάδεσσι διαίνω,
  τεύχων εἰαρινῆς ἔγκυον ἀγλαΐης.
Ἄρχετ' Ἄρης ἀπ' ἐμεῖο, καὶ ἄνθεα, καὶ γλάγος ἡδύ·
  ἴση δ' εἰκοστῷ ἤματι νὺξ τελέθει.
Ἐντύνοι τῆμοσδε φυτοσκάφος, ἔρνεα τάμνων,
  ῥίζῃ ἐπ' ἀγροτέρῃ ἥμερον ἀκρέμονα.
Οἴγεται ἄρτι θάλασσα. ἐφοπλίζοιτε δὲ νῆας·
  ὥριον ἀκλύστων ἐκτὸς ἄγειν λιμένων.
Μεσσάτιος ῥόδου εἰμὶ καὶ ἀργεννοῖο κρίνοιο,
  καὶ ξανθῆς κεράσου βρίθομαι ἀκρέμοσιν.
Καρκίνον Ἠέλιος μετανείσεται· ἀστάχυας δὲ
  καρφαλέους κείρει γειοπόνος δρεπάνῃ.
Κρίνω ἐγὼ πυρὸν καὶ ἀχυρμιάς· ἐν δὲ λέοντι
  ἀτρεκέα τελέθει χεύματα Νηϊάδων.
Βρίθω ἐγὼ σταφυλῇ, βρίθω δ' ἔτι πάσῃ ὀπώρῃ·
  αὖθις δ' ἰσοπαλὴς γίνεται ἤματι νύξ.
Τίς δέ κ' ἐμεῖο πέλει γλυκερώτερος, ὃς μέθυ ληνῷ,
  ἡδυεπῆ κατάγω Βάκχον ἀπ' οἰνοπέδου;
Εἴ τοι Ἀθηναίης πέλει ἔρνεα, ὥριον ἤδη
  καρπὸν ἀποθλίβειν, μνῆστιν ἔχειν καμάτων.
Παύεσθαι νειοῦ κέλομαι· γλαγόωντι γὰρ ἤδη
  σπέρματι ῥιγεδανὴ πηγυλὶς ἀντιάσει.

19. Scr. πέλοι. 20. Cod. Vat. ληνῷ ἐπικατάγω. et v. ληνῷ in fine praec. verſ. deeſt.

T.II. p.520.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΤΩΝ ΜΟΥΣΩΝ.

Οὐκ ἴδε ΤΕΡΨΙΧΟΡΗΝ ὁ ζωγράφος, ἀλλ᾽ ὑπὸ τέχνας
ψεύδεται ὀφθαλμοὺς δείκελον ἀτρεκίῃ.

---

Εἴ ποτε τερψινόοιο, φίλος, φόρμιγγος ἀκούσεις,
τὴν ΕΡΑΤΩ θαύμαζε τόσης εὑρήτορα τέχνης.

---

ΕΥΤΕΡΠΗ δονάκεσσι πολυτρήτοισι λιγαίνει,
πνεῦμα σοφῆς ὀχετηγὸν ἐπισπείρουσα μελίσσῃ.

---

Κωμικὸν ἀμφιέπω ΘΑΛΕΙΑ μέλος, ἔργα δὲ φωτῶν
οὐχ ὁσίων θυμέλῃσι φιλοκροτάλοισιν ἀθύρω.

---

Εἰκόνα τῆς σοφίης ποτιδέρκεο· ΚΑΛΛΙΟΠΗΣ γὰρ
εἰκόνα σῇ κραδίῃ λάμβανε τὴν σοφίην.

---

Δαφνοκόμοις Φοίβοιο παρὰ τριπόδεσσι κελεύω
ΚΛΕΙΩ, μαντοσύνης Μοῦσα καὶ ἱστορίης.

---

ΟΥΡΑΝΙΗ ψήφοιο θεοῤῥήτῳ τινὶ μέτρῳ
ἀστερίην ἐδίδαξα παλινδίνητον ἀνάγκην. 'Τ.II. p.521.

---

Σκέπτεο χαλκεόφωνον ἐπισπέρχουσαν ἀοιδὴν
ΜΕΛΠΟΜΕΝΗΝ, ἐρατῆς ἴσορα εὐεπίης.

---

ΠΟΛΥΜΝΙΑ.

Σιγῶ, φθεγγομένη παλάμης θελξίφρονι παλμῷ,
νεύματι φωνήεσσαν ἀπαγγέλλουσα σιωπήν.

Polyh. 1. Cod. Vat. φθεγγομένη παλάμης θελξίφρονα παλμόν.

---

T. III. p. 1.

# ΟΡΦΕΩΣ

## ΠΕΡΙ ΣΕΙΣΜΩΝ.

Φράζεο δὴ καὶ τόνδε λόγον, τέκος, ὁππότε κεν δὴ
γαῖαν κινήσῃ σεισίχθων Κυανοχαίτης,
ὅ ττι βροτοῖς ἐπί τ᾽ εὐτυχίην, κακότητά τε φράζει.

Ὁππόταν εἰαρινὴν ἐπ᾽ ἰσημερίην ἀφίκηται
ἠέλιος, κριόν τε διεκτρέχῃ, ἐν δ᾽ ἄρα τῷδε
γαῖαν νυκτερινὸς Γαιήοχος ἀμφελελίξῃ,
σῆμα τόδ᾽ ἐςὶ πόληος ἀπόςασις ἐκ ἀλαπαδνῆς·
εἰ δέ κεν ἡμερινὸς, φράζει τόδε λυγρὰ καὶ ἄτας
πήματος ὁρμήσαντος ἐπ᾽ ἀλλοδαπὲς ἀνθρώπες
ἔσσεσθαι, σφετέραις ἐπὶ πημοσύναις ἰδὲ λύπαις.

Εἰ δ᾽, ἀνὰ ταῦρον ἰόντος, ἐφορμήσει διὰ νύκτα
σεισμὸς, πήματα μέν τε καταφθινύθεσιν ὀπίσσω,
εὐφροσύνη δ᾽ ἀνὰ ἄςυ καὶ εἰρήνη τεθαλυῖα·
ἡμερινὸς δὲ φέρει πολέμε μεγάλοιο πόληϊ
ἔργον ἐπερχομένε τοῖς κρείττοσιν. ἀλλὰ φυλάσσε.

Εἰ δέ κεν, ἐν διδύμοις ςρωφωμένε ἠελίοιο,
νυκτερινὴ μῆνις ἐλελίζηται κατὰ γαῖαν,
[σημαίνει ὅτι] δυσμενέες βροτοὶ ἐγχεσίχειρες
p. 2. ὑμετέρην πελάσεσιν ἐπ᾽ ἄλγεσι γαῖαν ἅπασαν·
εἰ δέ κεν ἡμερινὴ, τότε κεν βασιλῆες ἄτιμοι
ἔσσονθ᾽, ἡγεμόνες τε, θεῶν διομηνίῃ ἐχθρῶν.

Εἰ δ', ἀνὰ τὴν μοίρην τȣ̃ καρκίνȣ ἠελίοιο
στείχοντος, ὅθι δὴ θερινὴ τροπὴ, ἔννυχος ἔσται
γῆς ἔνοσις, τȣ̃το φράζει κακότητα βαρεῖαν
ἀργαλέην πενίην ἀλλαξέμεν· ἡμερινὸς δὲ
φράζει πῆμ' αὐτοῖς καὶ ἀνάστασιν ὠλεσίοικον.

Εἰ δέ κεν, ἠελίοιο λέοντος μοῖραν ἰόντος,
νύκτερος ὁρμηθῇ γαίης σάλος, αὐτίκα πένθη,
κλαυθμοί τε, στοναχαί τε πόλιν καὶ λαὸν ἅπαντα
ἕξȣσ'· ἡμερινὸς δὲ φανεὶς καὶ ταῦτα πιφαύσκει.

Εἰ δέ κεν, ἠελίȣ σὺν παρθένῳ ἐρχομένοιο,
ἑσπερινὸς σεισμὸς, λαοῖς τότε λοιμὸς ἅπασιν
ἔσσεται· ἡμερινὸς δὲ φανεὶς καρπȣ̀ς καταβλάψει.

Εἰ δ' ἂν ὀπωρινὴν ἐπ' ἰσημερίην ἀφίκηται
ἠέλιος, χηλαῖς διαφαίνων, νυκτερινὸς δὲ
κινήσῃ, καρπῶν δηλοῖ φθόρον ἐξαναφύντων
γαίης· ὥραις δ' ἡμερ̣ιναῖς, χαλεπῆς τόδε φράζει
ἔργα μάχης· πολλȣ̀ς δ' αὐτῶν κατὰ γαῖα καλύψει.

Εἰ δέ κεν, ἠελίȣ τὸν σκορπίον ἀμφιθέοντος,
νύκτερος ὁρμηθῇ γαίης σάλος, ἔργα μάταια
ἀνδράσιν ἔσσονται, κακοφραδμοσύνῃσι νόοιο·
ἡμερινὸς δὲ φανεὶς, τότε δὴ τότε ἄλγεα φράζει
ἔσσεσθαι πολίεσσιν ἀπὸ πτολέμȣ κρυεροῖο,
ἔργα ματαιότατα, Ζηνὸς μεγάλȣ διὰ βȣλάς.

Εἰ δέ κεν, ἐν μοίρῃ τȣ̃ τοξότȣ ἠελίοιο
στρωφῶντος, γαῖαν κινήσῃ Κυανοχαίτης
νυκτερινὸς, σημεῖον ὀλέθριον ἔσσεται ἀνδρῶν

T. III. πολλῶν· ἡμερινὸς δὲ φανεὶς, πόλεων βασιλῆϊ
σημαίνει μεγάλην τιμὴν καὶ σκῆπτρα λιπόντα
ἄλλῃ ἐποίχεσθαι φεύγοντ' ἀπὸ πατρίδος αἴης.

Εἰ δ' ἂν, ἐν αἰγοκέρωτι, ὅθι τροπαὶ ἠελίοιο
χειμεριναὶ, στείχοντος, ἕδος χθονὸς ἔννυχος ἐλθὼν
Σεισίχθων γαῖαν κινήσῃ πνεύματι λάβρῳ,
φράζεο δὴ πόλεμον καὶ δάκρυα τοῖσι γενέσθαι
καὶ στάσιν· ἡμερινὸς δὲ φανεὶς καρποφθόρος ἔσται.

Εἰ δ' ἂν, ὅθ' ὑδροχόον διανίσσεται ἠελίοιο
φέγγος, νυκτερίη ἐλελιχθῇ γαῖα περιχθὼν,
ἁρπαγαὶ ὠλεσίοικοι ἀνὰ πτόλιν εὐρυάγυιαν
ἔσσονται, δήμου τε κακοφροσύναι τε καὶ ὕβρεις·
εἰ δέ κεν ἡμερινὴ, δήμου κράτος ἔμπεδον ἔσται.

Εἰ δ', ἀνὰ τοὺς ἰχθῦς στρωφωμένου ἠελίοιο,
γῆς ἔνοσις γίνοιτο θοὴν διὰ νύκτα, τότ' ἔσται
πάσαις ἐν πολίεσσι περίστασις· εἰ δέ κεν ἠοῖ
γῆς κινηθείη πέδον ἱερὸν, αὐτίκα πάσαις
εὐφόρβοισι βοῶν ἀγέλαις, οἵων τε καὶ ἄλλων
τετραπόδων φθόρος ἔσται ἀν' ἄστεα καὶ κατὰ χώρας.

---

ΘΕΩΝΟΣ

# ΘΕΩΝΟΣ T. III. p. 4.

## ΑΛΕΞΑΝΔΡΕΩΣ.

### II.

Εἰς τοὺς ἑπτὰ πλανήτας, καὶ τὰς ἐν ἡμῖν δυνάμεις καὶ πάθη.

Ἑπτὰ πολυπλανέες κατ' Ολύμπιον ἀςέρες ὁδὸν
εἱλεῦνται, καὶ τοῖσιν ἀεὶ κανονίζεται αἰών·
νυκτιφανὴς Μήνη, συγνὸς Κρόνος, Ηλιος ἡδὺς,
παςοφόρος Παφίη, θρασὺς Αρης, εὔπτερος Ερμῆς,
καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ' οὗ φύσις ἐβλάςησεν.
οἱ δ' αὐτοὶ μερόπων ἔλαχον γένος· ἔςι δ' ἐν ἡμῖν
ΜΗΝΗ, ΖΕΤΣ, ΑΡΗΣ, ΠΑΦΙΗ, ΚΡΟΝΟΣ, ΗΛΙΟΣ, ΕΡΜΗΣ.
τοὔνεκ' ἀπ' αἰθερίου μεμερίσμεθα πνεύματος ἕλκειν
δάκρυ, γέλωτα, χολὴν, γένεσιν, λόγον, ὕπνον, ὄρεξιν.
δάκρυ μὲν ἔςι Κρόνος· Ζεὺς δὲ, γένεσις· λόγος, Ερμῆς·
θυμὸς, Αρης· Μήνη δ' ἄρ', ὕπνος· Κυθέρεια δ', ὄρεξις·
Ηέλιος δὲ, γέλως. τούτῳ γὰρ ἅπασα δικαίως
καὶ θνητὴ διάνοια γελᾷ, καὶ κόσμος ἀπείρων.

### IV.

Εἰς Πτολεμαῖον τὸν ἀςρονόμον.

Γαίης ἐν νώτοισιν ὀχούμενος ὦ Πτολεμαῖε,
καὶ βροτέης φύσιος δεσμούμενος ἔνδοθι τεθμῶν,
οὐκ ἄςρων δὴ μοῦνον ἀειδίνητον ἀνάγκην,
οὐδὲ πόλοιο φορὰν σὺ διέγνως ἀςατέουσαν·
ἀλλὰ καὶ αὐτά περ ὅ ττι τελεῖ σημήϊα φαίνεις.

T. III. τοὔνεκα δὴ χρειὼ καλέειν σέ τιν' οὐρανιώνων,
p. 5. αἰθέριόν τε νόον φορέειν, οὐ γήϊνον ἔμπης.
εἰ γὰρ καὶ μερόπεσσι χαμερπέσι συμβιότευσας,
καὶ φύσιος θνητῶν περ ἀλυκτοπέδῃσιν ἐδέσμου,
ἀλλὰ νόον παθέων ἐν τοῖσι πόνοις ἐκάθηρας,
ἔξω σαρκὸς ἔβης δὲ καὶ ἀχλύος ἰλυοέσσης,
καὶ τελέσεις προέειπας ἐσύστερα τέρμα λαχοῦσας.

# ΣΕΚΟΥΝΔΟΥ.

## I.

Εἰς ἀγάλματα Ερώτων.

Σκυλοχαρεῖς ἴδ' Ερωτας, ἴδ' ὡς βριαροῖσιν ἐπ' ὤμοις
ὅπλα φέρουσι θεῶν νήπι' ἀγαλλόμενοι,
τύμπανα καὶ θύρσον Βρομίου, Ζηνὸς δὲ κεραυνὸν,
ἀσπίδ' Ενυαλίου καὶ κόρυν ἠΰκομον,
Φοίβου δ' εὔτοξον φαρέτρην, Αλίου δὲ τρίαιναν,
καὶ σθεναρῶν χειρῶν Ηρακλέους ῥόπαλον.
τί πλέον ἀνθρώποισιν, Ερως ὅτε καὶ πόλον εἷλε,
τεύχεα δ' ἀθανάτων Κύπρις ἐληΐσατο;

## II.

Τίπτε τὸν ὀγκηστὴν βραδύπουν ὄνον ἄμμιγ' ἐν ἵπποις
γυρὸν ἀλωειναῖς ἐξελάατε δρόμον;
οὐχ ἅλις ὅ ττι μύλοιό περίδρομον ἄχθος ἀνάγκης
σπειρηδὸν σκοτόεις κυκλοδίωκτος ἔχω;

ἀλλ᾽ ἔτι καὶ πώλοισιν ἐρίζομεν. ἡ δ᾽ ἔτι λοιπὸν
νῦν μοι τὴν σκολιὴν αὐχένι-γαῖαν ἀρῶν. T. III.

III. p. 6.

Ὁλκὰς ἀμετρήτου πελάγευς ἀνύσασα κέλευθον,
καὶ τοσάκις χαροποῖς κύμασι νηξαμένη,
ἣν ὁ μέλας οὔτ᾽ Εὖρος ἐπόντισεν, οὔτ᾽ ἐπὶ χέρσου
ἤλασε χειμερίων ἄγριον οἶδμα Νότων,
ἐν πυρὶ νῦν ναυηγὸς ἐγὼ χθονὶ μέμφομ᾽ ἀπίστῳ,
νῦν ἁλὸς ἡμετέρης ὕδατα διζομένη.

---

# ΘΕΟΔΩΡΟΥ
## ΑΝΘΥΠΑΤΟΥ.

---

I.

Ἑρμοκράτης τῆς ῥινός· ἐπεὶ τὴν ῥῖνα λέγοντες
Ἑρμοκράτους, μικροῖς μακρὰ χαριζόμεθα.

II.

Εἰς μίμον.

Νηλειὴς Ἀΐδης· ἐπὶ σοὶ δ᾽ ἐγέλασσε θανόντι,
Τίτυρε, καὶ νεκύων θῆκέ σε μιμολόγον.

---

T. III. p. 7. ΓΑΒΡΙΗΛΙΟΥ,

ΕΠΑΡΧΟΥ.

Εἰς Ἔρωτα καθεύδοντα ἐν πιπεροπάστῳ.

Οὐδὲ κατακνώσσων, οὐδ' ἄπνοος, οὐδ' ἐνὶ δαιτὶ
νόσφι πυριστάρτου δήγματός ἐστιν Ἔρως.

# ΤΙΒΕΡΙΟΥ

ΙΛΛΟΥΣΤΡΙΟΥ.

I.

Κεμμαδὸς ἀρτιτόκου μαζοῖς βρίθουσι γάλακτος
ἡ φονίη δακέτων ἰὸν ἐνῆκεν ἔχις.
φαρμαχθὲν δ' ἰῷ μητρὸς γάλα νεβρὸς ἀμέλξας
χείλεσι, τὸν κείνης ἐξέπιεν θάνατον.

II.

Οὐ κύνες, οὐ σταλικές με κατήνυσαν, οὐχὶ κυνηγοὶ
δορκάδα· τὸν δ' ἀπὸ γῆς εἶν ἁλὶ πλῆσα μόρον.
ἐξ ὕλης πόντῳ γὰρ ἐπέδραμον· εἶτ' ἐμὲ πλεκταὶ
εἷλξαν ἐπ' αἰγιαλοὺς δικτυβόλων παγίδες.
ἤλιτον ἡ χέρσοιο μάτην φυγάς· οὐκ ἀδίκως με
εἷλε σαγηνευτὴς τἀμὰ λιποῦσαν ὄρη.
οὔποτ' ἄγρης ἁλιῆες ἔτ' ἄστοχον οἴσετε χεῖρα,
χέρσῳ καὶ πελάγει κοινὰ πλέκοντες ὕφη.

# ΕΥΤΟΛΜΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

T. III. p. 8.

## I.

Κνημῖδας, θώρηκα, σάκος, κόρυν, ἔγχος Ἀθήνῃ
Ροῦφος Μεμμιάδης Γέλλιος ἐκρέμασε.

## II.

Εἰς θερμοχύτην.

Βάκχῳ καὶ Νύμφαις μέσος ἵσταμαι· ἐν δὲ κυπέλλοις
αἰεὶ τόνδε χέω τὸν παραλειπόμενον.

## III.

Υἱέος ὠκυμόρου θανάτοις πενθοῦσα Μενίππη
κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν·
οὐδ' ἔσχεν παλίνορσον ἀναπνεύσασα γοῆσαι,
ἀλλ' ἅμα καὶ θρήνου παύσατο καὶ βιότου.

## IV.

Παρθενικὴν Ἑλένην μετ' ἀδελφεὸν ἄρτι θανόντα
δειλαίη μήτηρ κόψατο διπλασίως.
μνηστῆρες δ' ἐγόησαν ἴσον γόον. ἦν γὰρ ἑκάστῳ
θρηνεῖν τὴν μήπω μηδενὸς, ὡς ἰδίην.

T. III. p. 9.

# ΙΟΥΛΙΑΝΟΥ

## ΑΝΤΙΚΕΝΣΟΡΟΣ.

I.

Ὄψιν ἔχεις ϛρουθῷ πανομοίϊον. ἦ ῥά σε Κίρκη
ἐς πτηνὴν μετέθηκε φύσιν, κυκεῶνα πιόντα.

II.

Ἀμητὸς πολύς ἐϛι τεὴν κατὰ δάσκιον ὄψιν·
τῷ σε χρὴ δρεπάνοισι, καὶ οὐ ψαλίδεσσι καρῆναι.

III.

Εἴς τινα μικρόν.

Ἀσφαλέως οἴκησον ἐν ἄϛεϊ, μή σε κολάψῃ
αἵματι Πυγμαίων ἡδομένη γέρανος.

## ΕΙΡΗΝΑΙΟΥ ΡΕΦΕΡΕΝΔΑΡΙΟΥ. T.III. p.10.

I.

Ω σοβαρὴ Ῥοδόπη, Παφίης εἴξασα βελέμνοις
καὶ τὸν ὑπερφίαλον κόμπον ἀπωσαμένη,
ἀγκὰς ἑλοῦσά μ᾽ ἔχεις παρὰ σὸν λέχος· ἐν δ᾽ ἄρα δεσμοῖς
κεῖμαι, ἐλευθερίης οὐκ ἐπιδευόμενος.
οὕτως ἂρ ψυχή τε καὶ ἔνχυτα σώματα φωτῶν
συμφέρεται, φιλίης ῥεύμασι μιγνύμενα.

II.

Τίπτε πέδον, Χρυσίλλα, κάτω νεύουσα δοκεύεις,
καὶ ζώνην παλάμαις οἷά περ ἀκρολυτεῖς;
αἰδὼς νόσφι πέλει τῆς Κύπριδος· εἰ δ᾽ ἄρα σιγᾷς,
νεύματι τὴν Παφίην δεῖξον ὑπερχομένη.

III.

Ομματα δινεύεις κρυφίων ἰνδάλματα πυρσῶν,
χείλεα δ᾽ ἀκροβαφῆ λοξὰ παρεκτανύεις,
καὶ πολὺ κιχλίζουσα σοβεῖς εὐβόστρυχον αἴγλην,
ἐκχυμένας δ᾽ ὁρόω τὰς σοβαρὰς παλάμας.
ἀλλ᾽ οὐ σῆς κραδίης ὑψαύχενος ὤκλασεν ὄγκος·
οὔπω ἐθηλύνθης, οὐδὲ μαραινομένη.

T. III. p. 11. **ΣΥΝΕΣΙΟΥ**

**ΣΧΟΛΑΣΤΙΚΟΥ.**

Εἰς εἰκόνα Ἱπποκράτους.

Ὁππόθεν ὁ στήσας; β Βυζάντιος. α οὔνομα δὴ τίς;
β Εὐσέβιος. α σὺ δὲ, τίς; β Κώϊος Ἱπποκράτης.
α τοῦ δ' ἕνεκεν γέγραφέν σε; β λόγων χάριν ἡ πόλις αὐτῷ
τῶν ἐς ἐμὲ γραφίδων ἀντιδέδωκε γέρας.
α καὶ τί μὴ αὐτὸς ἑὸν τύπον ἔγραφεν; β ὅττι γεραίρων
ἡμέας ἀνθ' αὐτοῦ, κρέσσονα δόξαν ἔχει.

**ΙΩΑΝΝΟΥ ΠΟΙΗΤΟΥ**

**ΤΟΥ ΒΑΡΒΟΥΚΑΛΛΟΥ.**

I.

Εἰς εἰκόνα Καλλιόπης.

Ἤθελε Μελπομένην ὁ ζωγράφος εἰκόνι γράψαι,
ἀλλ' ἀπολειπομένης, ἔγραφε Καλλιόπην.

II.

Εἰς εἰκόνα Πολυμνίας.

Σεῖο μὲν εἰκὼν ἥδε Πολύμνια, καὶ σὺ δὲ, Μούσης.
ἓν γὰρ ἐπ' ἀμφοτέραις οὔνομα, καὶ τύπος εἷς.

### III.

T. III. p. 12.

Πειθοῖ καὶ Παφίᾳ πακτὰν καὶ κηρία σίμβλων
τῆς καλυκοστεφάνου νυμφίος Εὐρυνόμας
Ερμοφίλας ἀνέθηκεν ὁ βωκόλος. ἀλλὰ δέχεσθε
ἀντ' αὐτᾶς πακτὰν, ἀντ' ἐμέθεν τὸ μέλι.

### IV.

Εἰς εἰκόνα Συνεσίου Σχολαστικοῦ ἐπὶ νίκῃ μάχης ἀνατεθεῖσαν ἐν Βηρυτῷ.

Οὐχὶ παρ' Εὐρώτᾳ μόνον ἀνέρες εἰσὶ μαχηταὶ,
οὐδὲ παρ' Ιλισσῷ μνάμονές εἰσι δίκας.
ὡς ἀπὸ τᾶς Σπάρτας, ὡς αὐτᾶς ἀστὸν Αθάνας
Συνέσιον Νίκα καὶ Θέμις ἠγάσατο.

### V.

Εἰς Πινδάρου ἄγαλμα ἐπὶ λουτρῷ τινι ἱδρυμένον.

Αἴθε σε, Πίνδαρε, μᾶλλον ἐμοῖς ἐκάθηρα ῥεέθροις,
καί κεν ἄριστον ὕδωρ τοὐμὸν ἔφησθα μόνον.

### VI.

Εἰς εἰκόνα Σωκράτους.

Ως σοφὸς ὁ γράψας. ζωὰν οὐκ ἔμβαλε κηρῷ,
Σωκράτεος ψυχᾷ τοῦτο χαριζόμενος.

### VII.

Εἰς τὸ αὐτό.

Ζωγράφε τὰν μορφὰν ἀπομάξας, αἴθ' ἐνὶ κηρῷ
καὶ ψυχὰν ἰδάης Σωκρατικὰν βαλέειν.

T. III. πολλῶν· ἠμερινὸς δὲ φανεὶς, πόλεων βασιλῆϊ
σημαίνει μεγάλην τιμὴν καὶ σκῆπτρα λιπόντα
ἄλλῃ ἐποίχεσθαι φεύγοντ' ἀπὸ πατρίδος αἴης.

Εἰ δ' ἂν, ἐν αἰγοκέρωτι, ὅθι τροπαὶ ἠελίοιο
χειμεριναὶ, στείχοντος, ἕδος χθονὸς ἔννυχος ἐλθὼν
Σεισίχθων γαῖαν κινήσῃ πνεύματι λάβρῳ,
φράζεο δὴ πόλεμον καὶ δάκρυα τοῖσι γενέσθαι
καὶ στάσιν· ἠμερινὸς δὲ φανεὶς καρποφθόρος ἔσται.

Εἰ δ' ἂν, ὅθ' ὑδροχόον διανίσσεται ἠελίοιο
φέγγος, νυκτερίη ἐλελιχθῇ γαῖα περιχθὼν,
ἁρπαγαὶ ὠλεσίοικοι ἀνὰ πτόλιν εὐρυάγυιαν
ἔσσονται, δήμου τε κακοφροσύναι τε καὶ ὕβρεις·
εἰ δέ κεν ἠμερινὴ, δήμου κράτος ἔμπεδον ἔσται.

Εἰ δ', ἀνὰ τοὺς ἰχθῦς στρωφωμένου ἠελίοιο,
γῆς ἔνοσις γίνοιτο θοὴν διὰ νύκτα, τότ' ἔσται
πάσαις ἐν πολίεσσι περίστασις· εἰ δέ κεν ἠοῖ
γῆς κινηθείη πέδον ἱερὸν, αὐτίκα πάσαις
εὐφόρβοισι βοῶν ἀγέλαις, οἴων τε καὶ ἄλλων
τετραπόδων φθόρος ἔσται ἀν' ἄστεα καὶ κατὰ χώρας.

---

# ΘΕΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ. T.III. p.4.

## II.

*Εἰς τοὺς ἑπτὰ πλανήτας, καὶ τὰς ἐν ἡμῖν δυνάμεις καὶ πάθη.*

Ἑπτὰ πολυπλανέες κατ' Ολύμπιον ἀςέρες ὐδὸν
εἰλεῦνται, καὶ τοῖσιν ἀεὶ κανονίζεται αἰών·
νυκτιφανὴς Μήνη, ςυγνὸς Κρόνος, Ηλιος ἡδὺς,
παςοφόρος Παφίη, θρασὺς Αρης, εὔπτερος Ερμῆς,
καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ' ὗ φύσις ἐβλάςησεν.
οἱ δ' αὐτοὶ μερόπων ἔλαχον γένος· ἔςι δ' ἐν ἡμῖν
ΜΗΝΗ, ΖΕΥΣ, ΑΡΗΣ, ΠΑΦΙΗ, ΚΡΟΝΟΣ, ΗΛΙΟΣ, ΕΡΜΗΣ.
τὔνεκ' ἀπ' αἰθερίυ μεμερίσμεθα πνεύματος ἕλκειν
δάκρυ, γέλωτα, χολὴν, γένεσιν, λόγον, ὕπνον, ὄρεξιν.
δάκρυ μέν ἐςι Κρόνος· Ζεὺς δὲ, γένεσις· λόγος, Ερμῆς·
θυμὸς, Αρης· Μήνη δ' ἄρ', ὕπνος· Κυθέρεια δ', ὄρεξις·
Ηέλιος δὲ, γέλως. τὔτῳ γὰρ ἅπασα δικαίως
καὶ θνητὴ διάνοια γελᾷ, καὶ κόσμος ἀπείρων.

## IV.

*Εἰς Πτολεμαῖον τὸν ἀςρονόμον.*

Γαίης ἐν νώτοισιν ὀχύμενος ὦ Πτολεμαῖε,
καὶ βροτέης φύσιος δεσμύμενος ἔνδοθι τεθμῶν,
ὐκ ἄςρων δὴ μῦνον ἀειδίνητον ἀνάγκην,
ὐδὲ πόλοιο φορὰν σὺ διέγνως ἀςατέυσαν·
ἀλλὰ καὶ αὐτά περ ὅ ττι τελεῖ σημήϊα φαίνεις.

T. III. τοὔνεκα δὴ χρειὼ καλέειν σέ τιν᾽ οὐρανιώνων,
p. 5. αἰθέριόν τε νόον φορέειν, οὐ γήϊνον ἔμπης.
εἰ γὰρ καὶ μερόπεσσι χαμερπέσι συμβιότευσας,
καὶ φύσιος θνητῶν περ ἀλυκτοπέδησιν ἐδέσμου,
ἀλλὰ νόον παθέων ἐν τοῖσι πόνοις ἐκάθηρας,
ἔξω σαρκὸς ἔβης δὲ καὶ ἀχλύος ἰλυοέσσης,
καὶ τελέσεις προέειπας ἐσύστερα τέρμα λαχούσας.

# ΣΕΚΟΥΝΔΟΥ.

## I.

### Εἰς ἀγάλματα Ἐρώτων.

Σκυλοχαρεῖς ἴδ᾽ Ἔρωτας, ἴδ᾽ ὡς βριαροῖσιν ἐπ᾽ ὤμοις
ὅπλα φέρουσι θεῶν νήπι᾽ ἀγαλλόμενοι,
τύμπανα καὶ θύρσον Βρομίου, Ζηνὸς δὲ κεραυνὸν,
ἀσπίδ᾽ Ἐνυαλίου καὶ κόρυν ἠύκομον,
Φοίβου δ᾽ εὔτοξον φαρέτρην, Ἁλίου δὲ τρίαιναν,
καὶ σθεναρῶν χειρῶν Ἡρακλέους ῥόπαλον.
τί πλέον ἀνθρώποισιν, Ἔρως ὅτε καὶ πόλον εἷλε,
τεύχεα δ᾽ ἀθανάτων Κύπρις ἐληΐσατο;

## II.

Τίπτε τὸν ὀγκηστὴν βραδύπουν ὄνον ἄμμιγ᾽ ἐν ἵπποις
γυρὸν ἀλωειναῖς ἐξελάατε δρόμον;
οὐχ ἅλις ὅ ττι μύλοιό περίδρομον ἄχθος ἀνάγκης
σπειρηδὸν σκοτόεις κυκλοδίωκτος ἔχω;

ἀλλ' ἔτι καὶ πώλοισιν ἐρίζομεν. ἢ ῥ' ἔτι λοιπὸν T. III.
νῦν μοι τὴν σκολιὴν αὐχένι-γαῖαν ἀρῶν.

III. p. 6.

Ολκὰς ἀμετρήτου πελάγευς ἀνύσασα κέλευθον,
καὶ τοσάκις χαροποῖς κύμασι νηξαμένη,
ἣν ὁ μέλας οὔτ' Εὖρος ἐπόντισεν, οὔτ' ἐπὶ χέρσον
ἤλασε χειμερίων ἄγριον οἶδμα Νότων,
ἐν πυρὶ νῦν ναυηγὸς ἐγὼ χθονὶ μέμφομ' ἀπίστῳ,
νῦν ἁλὸς ἡμετέρης ὕδατα διζομένη.

# ΘΕΟΔΩΡΟΥ

## ΑΝΘΥΠΑΤΟΥ.

I.

Ερμοκράτης τῆς ῥινός· ἐπεὶ τὴν ῥῖνα λέγοντες
Ερμοκράτους, μικροῖς μακρὰ χαριζόμεθα.

II.

Εἰς μῖμον.

Νηλειὴς Αΐδης· ἐπὶ σοὶ δ' ἐγέλασσε θανόντι,
Τίτυρε, καὶ νεκύων θῆκέ σε μιμολόγον.

T. III. p. 7.

# ΓΑΒΡΙΗΛΙΟΥ,
## ΕΠΑΡΧΟΥ.

Εἰς Ἔρωτα καθεύδοντα ἐν περιστερεῶνι.

Οὐδὲ κατακνώσσων, ἐδ᾽ ἄπνοος, ἐδ᾽ ἐνὶ δαιτὶ
νόσφι πυρισπάρτε δήγματός ἐστιν Ἔρως.

# ΤΙΒΕΡΙΟΥ
## ΙΛΛΟΥΣΤΡΙΟΥ.

I.

Κέμμαδος ἀρτιτόκε μαζοῖς βρίθεσι γάλακτος
ἡ φονίη δακέτων ἰὸν ἐνῆκεν ἔχις.
φαρμαχθὲν δ᾽ ἰῷ μητρὸς γάλα νεβρὸς ἀμέλξας
χείλεσι, τὸν κείνης ἐξέπιεν θάνατον.

II.

Οὐ κύνες, ἐ σάλικές με κατήνυσαν, ἐχὶ κυνηγοὶ
δορκάδα· τὸν δ᾽ ἀπὸ γῆς εἶν ἁλὶ πλῆσα μόρον.
ἐξ ὕλης πόντῳ γὰρ ἐπέδραμον· εἶτ᾽ ἐμὲ πλεκταὶ
ἕλξαν ἐπ᾽ αἰγιαλὲς δικτυβόλων παγίδες.
ἤλιτον ἡ χέρσοιο μάτην φυγάς· ἐκ ἀδίκως με
εἷλε σαγηνευτὴς τἀμὰ λιπῦσαν ὄρη.
ἔποτ᾽ ἀγρης ἁλιῆες ἔτ᾽ ἄστοχον οἴσετε χεῖρα,
χέρσῳ καὶ πελάγει κοινὰ πλέκοντες ὕφη.

# ΕΥΤΟΛΜΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

T. III. p. 8.

I.

Κνημῖδας, θώρηκα, σάκος, κόρυν, ἔγχος Ἀθήνῃ
Ροῦφος Μεμμιάδης Γέλλιος ἐκρέμασε.

II.

Εἰς Θερμοχύτην.

Βάκχῳ καὶ Νύμφαις μέσος ἵσταμαι· ἐν δὲ κυπέλλοις
αἰεὶ τόνδε χέω τὸν παραλειπόμενον.

III.

Υἱέος ὠκυμόρου θάνατον πενθοῦσα Μενίππη
κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν·
οὐδ' ἔσχεν παλίνορσον ἀναπνεύσασα γοῆσαι,
ἀλλ' ἅμα καὶ θρήνου παύσατο καὶ βιότου.

IV.

Παρθενικὴν Ἑλένην μετ' ἀδελφεὸν ἄρτι θανόντα
δειλαίη μήτηρ κόψατο διπλασίως.
μνηστῆρες δ' ἐγόησαν ἴσον γόον. ἦν γὰρ ἑκάστῳ
θρηνεῖν τὴν μήπω μηδενὸς, ὡς ἰδίην.

T. III. p. 9.

# ΙΟΥΛΙΑΝΟΥ

## ΑΝΤΙΚΕΝΣΟΡΟΣ.

### I.

Οψιν ἔχεις στρουθῷ πανομοίϊον. ἦ ῥά σε Κίρκη
ἐς πτηνὴν μετέθηκε φύσιν, κυκεῶνα πιόντα.

### II.

Αμητὸς πολύς ἐστι τεὴν κατὰ δάσκιον ὄψιν·
τῷ σε χρὴ δρεπάνοισι, καὶ οὐ ψαλίδεσσι καρῆναι.

### III.

Εἴς τινα μικρόν.

Ασφαλέως οἴκησον ἐν ἄστεϊ, μή σε κολάψῃ
αἵματι Πυγμαίων ἡδομένη γέρανος.

## ΕΙΡΗΝΑΙΟΥ T.III. p.10.

### ΡΕΦΕΡΕΝΔΑΡΙΟΥ.

I.

Ὦ σοβαρὴ Ῥοδόπη, Παφίης εἴξασα βελέμνοις
καὶ τὸν ὑπερφίαλον κόμπον ἀπωσαμένη,
ἀγκὰς ἑλοῦσά μ' ἔχεις παρὰ σὸν λέχος· ἐν δ' ἄρα δεσμοῖς
κεῖμαι, ἐλευθερίης οὐκ ἐπιδευόμενος.
οὕτως ἄρ ψυχή τε καὶ ἔγχυτα σώματα φωτῶν
συμφέρεται, φιλίης ῥεύμασι μιγνύμενα.

II.

Τίπτε πέδον, Χρυσίλλα, κάτω νεύουσα δοκεύεις,
καὶ ζώνην παλάμαις οἷά περ ἀκρολυτεῖς;
αἰδὼς νόσφι πέλει τῆς Κύπριδος· εἰ δ' ἄρα σιγᾷς,
νεύματι τὴν Παφίην δεῖξον ὑπερχομένη.

III.

Ὄμματα δινεύεις κρυφίων ἰνδάλματα πυρσῶν,
χείλεα δ' ἀκροβαφῆ λοξὰ παρεκτανύεις,
καὶ πολὺ κιχλίζουσα σοβεῖς εὐβόστρυχον αἴγλην,
ἐκχυμένας δ' ὁρόω τὰς σοβαρὰς παλάμας.
ἀλλ' οὐ σῆς κραδίης ὑψαύχενος ὤκλασεν ὄγκος·
οὔπω ἐθηλύνθης, οὐδὲ μαραινομένη.

T.III.p.11.

# ΣΥΝΕΣΙΟΥ
## ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰς εἰκόνα Ἱπποκράτους.

Ὁππόθεν ὁ ϛήσας; ^β Βυζάντιος. ^α οὔνομα δὴ τίς;
^β Εὐσέβιος. ^α σὺ δὲ, τίς; ^β Κῷος Ἱπποκράτης.
^α τοῦ δ' ἕνεκεν γέγραφέν σε; ^β λόγων χάριν ἡ πόλις αὐτῷ
τῶν ἐς ἐμὲ γραφίδων ἀντιδέδωκε γέρας.
^α καὶ τί μὴ αὐτὸς ἑὸν τύπον ἔγραφεν; ^β ὅττι γεραίρων
ἡμέας ἀνθ' αὐτοῦ, κρέσσονα δόξαν ἔχει.

# ΙΩΑΝΝΟΥ ΠΟΙΗΤΟΥ
## ΤΟΥ ΒΑΡΒΟΥΚΑΛΛΟΥ.

I.

Εἰς εἰκόνα Καλλιόπης.

Ἤθελε Μελπομένην ὁ ζωγράφος εἰκόνι γράψαι,
ἀλλ' ἀπολειπομένης, ἔγραφε Καλλιόπην.

II.

Εἰς εἰκόνα Πολυμνίας.

Σεῖο μὲν εἰκὼν ἥδε Πολύμνια, καὶ σὺ δὲ, Μούσης.
ἓν γὰρ ἐπ' ἀμφοτέραις οὔνομα, καὶ τύπος εἷς.

III.

T. III. p. 12.

Πειθοῖ καὶ Παφίᾳ πακτὰν καὶ κηρία σίμβλων
τῆς καλυκοστεφάνȣ νυμφίος Εὐρυνόμας
Ερμοφίλας ἀνέθηκεν ὁ βωκόλος. ἀλλὰ δέχεσθε
ἀντ' αὐτᾶς πακτὰν, ἀντ' ἐμέθεν τὸ μέλι.

IV.

Εἰς εἰκόνα Συνεσίȣ Σχολαςικȣ ἐπὶ νίκῃ μάχης ἀνατιθεῖσαν ἐν Βηρυτῷ.

Οὐχὶ παρ' Εὐρώτᾳ μόνον ἀνέρες εἰσὶ μαχηταὶ,
ȣ̓δὲ παρ' Ιλισσῷ μνάμονές εἰσι δίκας.
ὡς ἀπὸ τᾶς Σπάρτας, ὡς αὐτᾶς ἄςδν Αθάνας
Συνέσιον Νίκα καὶ Θέμις ἠγάσατο.

V.

Εἰς Πινδάρȣ ἄγαλμα ἐπὶ λȣτρῷ τινι ἱδρυμένον.

Αἴθε σε, Πίνδαρε, μᾶλλον ἐμοῖς ἐκάθηρα ῥεέθροις,
καί κεν ἄριςον ὕδωρ τȣ̓μὸν ἔφησθα μόνον.

VI.

Εἰς εἰκόνα Σωκράτȣς.

Ως σοφὸς ὁ γράψας. ζωὰν ȣ̓κ ἔμβαλε κηρῷ,
Σωκράτεος ψυχᾷ τȣ̃το χαριζόμενος.

VII.

Εἰς τὸ αὐτό.

Ζωγράφε τὰν μορφὰν ἀπομάξας, αἴθ' ἐνὶ κηρῷ
καὶ ψυχὰν ἐδάης Σωκρατικὰν βαλέειν.

T. III. πολλῶν· ἡμερινὸς δὲ φανεὶς, πόλεων βασιλῆϊ
σημαίνει μεγάλην τιμὴν καὶ σκῆπτρα λιπόντα
ἄλλῃ ἐποίχεσθαι φεύγοντ᾽ ἀπὸ πατρίδος αἴης.

Εἰ δ᾽ ἂν, ἐν αἰγοκέρωτι, ὅθι τροπαὶ ἠελίοιο
χειμεριναὶ, ςείχοντος, ἕδος χθονὸς ἔννυχος ἐλθὼν
Σεισίχθων γαῖαν κινήσῃ πνεύματι λάβρῳ,
φράζεο δὴ πόλεμον καὶ δάκρυα τοῖσι γενέσθαι
καὶ ςάσιν· ἡμερινὸς δὲ φανεὶς καρποφθόρος ἔςαι.

Εἰ δ᾽ ἂν, ὅθ᾽ ὑδροχόον διανίσσεται ἠελίοιο
φέγγος, νυκτερίη ἐλελιχθῇ γαῖα περιχθὼν,
ἁρπαγαὶ ὠλεσίοικοι ἀνὰ πτόλιν εὐρυάγυιαν
ἔσσονται, δήμου τε κακοφροσύναι τε καὶ ὕβρεις·
εἰ δέ κεν ἡμερινὴ, δήμου κράτος ἔμπεδον ἔςαι.

Εἰ δ᾽, ἀνὰ τοὺς ἰχθῦς ςρωφωμένου ἠελίοιο,
γῆς ἔνοσις γίνοιτο θοὴν διὰ νύκτα, τότ᾽ ἔςαι
πάσαις ἐν πολίεσσι περίςασις· εἰ δέ κεν ἠοῖ
γῆς κινηθείη πέδον ἱερὸν, αὐτίκα πάσαις
εὐφόρβοισι βοῶν ἀγέλαις, οἴων τε καὶ ἄλλων
τετραπόδων φθόρος ἔςαι ἀν᾽ ἄςεα καὶ κατὰ χώρας.

# ΘΕΩΝΟΣ T.III. p.4.

## ΑΛΕΞΑΝΔΡΕΩΣ.

### II.

Εἰς τοὺς ἑπτὰ πλανήτας, καὶ τὰς ἐν ἡμῖν δυνάμεις καὶ πάθη.

Ἑπτὰ πολυπλανέες κατ' Ολύμπιον ἀςέρες οὐδὸν
εἱλεῦνται, καὶ τοῖσιν ἀεὶ κανονίζεται αἰών·
νυκτιφανὴς Μήνη, ςυγνὸς Κρόνος, Ηλιος ἡδὺς,
παςοφόρος Παφίη, θρασὺς Αρης, εὔπτερος Ερμῆς,
καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ' οὗ φύσις ἐβλάςησεν.
οἱ δ' αὐτοὶ μερόπων ἔλαχον γένος· ἔςι δ' ἐν ἡμῖν
ΜΗΝΗ, ΖΕΥΣ, ΑΡΗΣ, ΠΑΦΙΗ, ΚΡΟΝΟΣ, ΗΛΙΟΣ, ΕΡΜΗΣ.
τοὔνεκ' ἀπ' αἰθερίου μεμερίσμεθα πνεύματος ἕλκειν
δάκρυ, γέλωτα, χολὴν, γένεσιν, λόγον, ὕπνον, ὄρεξιν.
δάκρυ μέν ἐςι Κρόνος· Ζεὺς δὲ, γένεσις· λόγος, Ερμῆς·
θυμὸς, Αρης· Μήνη δ' ἄρ', ὕπνος· Κυθέρεια δ', ὄρεξις·
Ηέλιος δὲ, γέλως. τούτῳ γὰρ ἅπασα δικαίως
καὶ θνητὴ διάνοια γελᾷ, καὶ κόσμος ἀπείρων.

### IV.

Εἰς Πτολεμαῖον τὸν ἀςρονόμον.

Γαίης ἐν νώτοισιν ὀχούμενος ὦ Πτολεμαῖε,
καὶ βροτέης φύσιος δεσμούμενος ἔνδοθι τεθμῶν,
οὐκ ἄςρων δὴ μοῦνον ἀειδίνητον ἀνάγκην,
οὐδὲ πόλοιο φορὰν σὺ διέγνως ἀςατέουσαν·
ἀλλὰ καὶ αὐτά περ ὅττι τελεῖ σημήϊα φαίνεις.

T. III. τοὔνεκα δὴ χρειὼ καλέειν σέ τιν' οὐρανιώνων,
p. 5. αἰθέριόν τε νόον φορέειν, οὐ γήϊνον ἔμπης.
εἰ γὰρ καὶ μερόπεσσι χαμερπέσι συμβιότευσας,
καὶ φύσιος θνητῶν περ ἀλυκτοπέδῃσιν ἐδέσμου,
ἀλλὰ νόον παθέων ἐν τοῖσι πόνοις ἐκάθηρας,
ἔξω σαρκὸς ἔβης δὲ καὶ ἀχλύος ἰλυοέσσης,
καὶ τελέσεις προέειπας ἐσύστερα τέρμα λαχούσας.

---

# ΣΕΚΟΥΝΔΟΥ.

---

## I.

### Εἰς ἀγάλματα Ἐρώτων.

Σκυλοχαρεῖς ἴδ' Ἔρωτας, ἴδ' ὡς βριαροῖσιν ἐπ' ὤμοις
ὅπλα φέρουσι θεῶν νήπι' ἀγαλλόμενοι,
τύμπανα καὶ θύρσον Βρομίου, Ζηνὸς δὲ κεραυνὸν,
ἀσπίδ' Ἐνυαλίου καὶ κόρυν ἠΰκομον,
Φοίβου δ' εὔτοξον φαρέτρην, Ἁλίου δὲ τρίαιναν,
καὶ σθεναρῶν χειρῶν Ἡρακλῆος ῥόπαλον.
τί πλέον ἀνθρώποισιν, Ἔρως ὅτε καὶ πόλον εἷλε,
τεύχεα δ' ἀθανάτων Κύπρις ἐληΐσατο;

## II.

Τίπτε τὸν ὀγκηστὴν βραδύπουν ὄνον ἄμμιγ' ἐν ἵπποις
γυρὸν ἀλωειναῖς ἐξελάατε δρόμον;
οὐχ ἅλις ὅ ττι μύλοιο περίδρομον ἄχθος ἀνάγκης
σπειρηδὸν σκοτόεις κυκλοδίωκτος ἔχω;

ἀλλ᾽ ἔτι καὶ πώλοισιν ἐρίζομεν. ἤ ῥ᾽ ἔτι λοιπὸν T. III.
νῦν μοι τὴν σκολιὴν αὐχένι-γαῖαν ἀρῶν.

III. p. 6.

Ὁλκὰς ἀμετρήτου πελάγευς ἀνύσασα κέλευθον,
καὶ τοσάκις χαροποῖς κύμασι νηξαμένη,
ἣν ὁ μέλας οὔτ᾽ Εὖρος ἐπόντισεν, οὔτ᾽ ἐπὶ χέρσον
ἤλασε χειμερίων ἄγριον οἶδμα Νότων,
ἐν πυρὶ νῦν ναυηγὸς ἐγὼ χθονὶ μέμφομ᾽ ἀπίστῳ,
νῦν ἁλὸς ἡμετέρης ὕδατα διζομένη.

## ΘΕΟΔΩΡΟΥ
### ΑΝΘΥΠΑΤΟΥ.

I.

Ἑρμοκράτης τῆς ῥινός· ἐπεὶ τὴν ῥῖνα λέγοντες
Ἑρμοκράτους, μικροῖς μακρὰ χαριζόμεθα.

II.

Εἰς μῖμον.

Νηλειὴς Ἀΐδης· ἐπὶ σοὶ δ᾽ ἐγέλασσε θανόντι,
Τίτυρε, καὶ νεκύων θῆκέ σε μιμολόγον.

T. III. p. 7.

## ΓΑΒΡΙΗΛΙΟΥ

### ΕΠΑΡΧΟΥ.

Εἰς Ἔρωτα καθεύδοντα ἐν πιπεροπάτῳ.

Οὐδὲ κατακνώσσων, οὐδ' ἄπνοος, οὐδ' ἐνὶ δαιτὶ
νόσφι πυρισπάρτου δήγματός ἐστιν Ἔρως.

## ΤΙΒΕΡΙΟΥ

### ΙΛΛΟΥΣΤΡΙΟΥ.

I.

Κεμμαδὸς ἀρτιτόκου μαζοῖς βρίθουσι γάλακτος
ἡ φονίη δακέτων ἰὸν ἐνῆκεν ἔχις.
Φαρμαχθὲν δ' ἰῷ μητρὸς γάλα νεβρὸς ἀμέλξας
χείλεσι, τὸν κείνης ἐξέπιεν θάνατον.

II.

Οὐ κύνες, οὐ σάλικές με κατήνυσαν, οὐχὶ κυνηγοὶ
δορκάδα· τὸν δ' ἀπὸ γῆς εἶν ἁλὶ πλῆσα μόρον.
ἐξ ὕλης πόντῳ γὰρ ἐπέδραμον· εἶτ' ἐμὲ πλεκταὶ
ἕλξαν ἐπ' αἰγιαλοὺς δικτυβόλων παγίδες.
ἤλιτον ἡ χέρσοιο μάτην φυγάς· οὐκ ἀδίκως με
εἶλε σαγηνευτὴς τἀμὰ λιποῦσαν ὄρη.
οὔποτ' ἄγρης ἁλιῆες ἔτ' ἄστοχον οἴσετε χεῖρας,
χέρσῳ καὶ πελάγει κοινὰ πλέκοντες ὕφη.

# ΕΥΤΟΛΜΙΟΥ
## ΣΧΟΛΑΣΤΙΚΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

T.III. p. 8.

I.

Κνημῖδας, θώρηκα, σάκος, κόρυν, ἔγχος Ἀθήνῃ
Ῥῦφος Μεμμιάδης Γέλλιος ἐκρέμασε.

II.

Εἰς θερμοχύτην.

Βάκχῳ καὶ Νύμφαις μέσος ἵσταμαι· ἐν δὲ κυπέλλοις
αἰεὶ τόνδε χέω τὸν παραλειπόμενον.

III.

Υἱέος ὠκυμόρου θάνατον πενθοῦσα Μενίππη
κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν·
οὐδ' ἔσχεν παλίνορσον ἀναπνεύσασα γοῆσαι,
ἀλλ' ἅμα καὶ θρήνου παύσατο καὶ βιότου.

IV.

Παρθενικὴν Ἑλένην μετ' ἀδελφεὸν ἄρτι θανόντα
δειλαίη μήτηρ κόψατο διπλασίως.
μνηστῆρες δ' ἐγόησαν ἴσον γόον. ἦν γὰρ ἑκάστῳ
θρηνεῖν τὴν μήπω μηδενὸς, ὡς ἰδίην.

T.II. p.520.

## ΕΙΣ ΕΙΚΟΝΑΣ ΤΩΝ ΜΟΥΣΩΝ.

Οὐκ ἴδε ΤΕΡΨΙΧΟΡΗΝ ὁ ζωγράφος, ἀλλ' ὑπὸ τέχνας
ψεύδεται ὀφθαλμοὺς δείκελον ἀτρεκίῃ.

Εἴ ποτε τερψινόοιο, φίλος, φόρμιγγος ἀκούσεις,
τὴν ΕΡΑΤΩ θαύμαζε τόσης εὑρήτορα τέχνης.

ΕΥΤΕΡΠΗ δονάκεσσι πολυτρήτοισι λιγαίνει,
πνεῦμα σοφῆς ὀχετηγὸν ἐπισπείρουσα μελίσσης.

Κωμικὸν ἀμφιέπω ΘΑΛΕΙΑ μέλος, ἔργα δὲ φωτῶν
οὐχ ὁσίων θυμέλῃσι φιλοκροτάλοισιν ἀθύρω.

Εἰκόνα τῆς σοφίης ποτιδέρκεο· ΚΑΛΛΙΟΠΗΣ γὰρ
εἰκόνα σῇ κραδίῃ λάμβανε τὴν σοφίην.

Δαφνοκόμοις Φοίβοιο παρὰ τριπόδεσσι κελεύω
ΚΛΕΙΩ, μαντοσύνης Μοῦσα καὶ ἱστορίης.

ΟΥΡΑΝΙΗ ψήφοιο θεοῤῥήτῳ τινὶ μέτρῳ ἀστερόην ἐδίδαξα παλινδίνητον ἀνάγκην. 'Γ.II. p.521.

---

Σκέπτεο χαλκεόφωνον ἐπισπέρχουσαν ἀοιδὴν
ΜΕΛΠΟΜΕΝΗΝ, ἐρατῆς ἴσορα εὐεπίης.

---

ΠΟΛΥΜΝΙΑ.

Σιγῶ, φθεγγομένη παλάμης θελξίφρονι παλμῷ,
νεύματι φωνήεσσαν ἀπαγγέλλουσα σιωπήν.

Polyh. 1. Cod. Vat. φθεγγομένη παλάμης θελξίφρονα παλμόν.

---

T.III. p. 1. 

# ΟΡΦΕΩΣ

## ΠΕΡΙ ΣΕΙΣΜΩΝ.

Φράζεο δὴ καὶ τόνδε λόγον, τέκος, ὁππότε κεν δὴ
γαῖαν κινήσῃ σεισίχθων Κυανοχαίτης,
ὅ ττι βροτοῖς ἐπί τ' εὐτυχίην, κακότητά τε φράζει.

Οππόταν εἰαρινὴν ἐπ' ἰσημερίην ἀφίκηται
ἠέλιος, κριόν τε διεκτρέχῃ, ἐν δ' ἄρα τῷδε
γαῖαν νυκτερινὸς Γαιήοχος ἀμφελελίξῃ,
σῆμα τόδ' ἐςὶ πόληος ἀπόςασις ἐκ ἀλαπαδνῆς
εἰ δέ κεν ἡμερινὸς, φράζει τόδε λυγρὰ καὶ ἄτας
πήματος ὁρμήσαντος ἐπ' ἀλλοδαπὲς ἀνθρώπες
ἔσσεσθαι, σφετέραις ἐπὶ πημοσύναις ἰδὲ λύπαις.

Εἰ δ', ἀνὰ ταῦρον ἰόντος, ἐφορμήσει διὰ νύκτα
σεισμὸς, πήματα μέν τε καταφθινύθεσιν ὀπίσσω,
εὐφροσύνη δ' ἀνὰ ἄςυ καὶ εἰρήνη τεθαλυῖα·
ἡμερινὸς δὲ φέρει πολέμε μεγάλοιο πόληϊ
ἔργον ἐπερχομένε τοῖς κρείττοσιν. ἀλλὰ φυλάσσε.

Εἰ δέ κεν, ἐν διδύμοις ςρωφωμένε ἠελίοιο,
νυκτερινὴ μῆνις ἐλελίζηται κατὰ γαῖαν,
[σημαίνει ὅτι] δυσμενέες βροτοὶ ἐγχεσίχειρες
p. 2. ὑμετέρην πελάσεσιν ἐπ' ἄλγεσι γαῖαν ἅπασαν·
εἰ δέ κεν ἡμερινὴ, τότε κεν βασιλῆες ἄτιμοι
ἔσσονθ', ἡγεμόνες τε, θεῶν διομηνίῃ ἐχθρῶν.

Εἰ δ', ἀνὰ τὴν μοίρην τῦ καρκίνυ ἠελίοιο
στείχοντος, ὅθι δὴ θερινὴ τροπὴ, ἔννυχος ἔσαι
γῆς ἔνοσις, τῦτο φράζει κακότητα βαρεῖαν
ἀργαλέην πενίην ἀλλαξέμεν· ἠμερινὸς δὲ
φράζει πῆμ' αὐτοῖς καὶ ἀνάστασιν ὠλεσίοικον.

Εἰ δέ κεν, ἠελίοιο λέοντος μοῖραν ἰόντος,
νύκτερος ὁρμηθῇ γαίης σάλος, αὐτίκα πένθη,
κλαυθμοί τε, στοναχαί τε πόλιν καὶ λαὸν ἅπαντα
ἕξυσ'· ἠμερινὸς δὲ φανεὶς καὶ ταῦτα πιφαύσκει.

Εἰ δέ κεν, ἠελίυ σὺν παρθένῳ ἐρχομένοιο,
ἑσπερινὸς σεισμὸς, λαοῖς τότε λοιμὸς ἅπασιν
ἔσσεται· ἠμεριγὸς δὲ φανεὶς καρπὺς καταβλάψει.

Εἰ δ' ἂν ὀπωρινὴν ἐπ' ἰσημερίην ἀφίκηται
ἠέλιος, χηλαῖς διαφαίνων, νυκτερινὸς δὲ
κινήσῃ, καρπῶν δηλοῖ φθόρον ἐξαναφύντων
γαίης· ὥραις δ' ἠμεριναῖς, χαλεπῆς τόδε φράζει
ἔργα μάχης· πολλὺς δ' αὐτῶν κατὰ γαῖα καλύψει.

Εἰ δέ κεν, ἠελίυ τὸν σκορπίον ἀμφιθέοντος,
νύκτερος ὁρμηθῇ γαίης σάλος, ἔργα μάταια
ἀνδράσιν ἔσσονται, κακοφραδμοσύνῃσι νόοιο·
ἠμερινὸς δὲ φανεὶς, τότε δὴ τότε ἄλγεα φράζει
ἔσσεσθαι πολέεσσιν ἀπὸ πτολέμυ κρυεροῖο,
ἔργα ματαιότατα, Ζηνὸς μεγάλυ διὰ βυλάς.

Εἰ δέ κεν, ἐν μοίρῃ τῦ τοξότυ ἠελίοιο
στρωφῶντος, γαῖαν κινήσῃ Κυανοχαίτης
νυκτερινὸς, σημεῖον ὀλέθριον ἔσσεται ἀνδρῶν

T. III. πολλῶν· ἡμερινὸς δὲ φανεὶς, πόλεων βασιλῆϊ
σημαίνει μεγάλην τιμὴν καὶ σκῆπτρα λιπόντα
ἄλλῃ ἐποίχεσθαι φεύγοντ' ἀπὸ πατρίδος αἴης.

Εἰ δ' ἂν, ἐν αἰγοκέρωτι, ᾗχι τροπαὶ ἠελίοιο
χειμεριναὶ, στείχοντος, ἕδος χθονὸς ἔννυχος ἐλθὼν
Σεισίχθων γαῖαν κινήσῃ πνεύματι λάβρῳ,
φράζεο δὴ πόλεμον καὶ δάκρυα τοῖσι γενέσθαι
καὶ στάσιν· ἡμερινὸς δὲ φανεὶς καρποφθόρος ἔσται.

Εἰ δ' ἂν, ὅθ' ὑδροχόον διανίσσεται ἠελίοιο
φέγγος, νυκτερίῃ ἐλελιχθῇ γαῖα περιχθὼν,
ἁρπαγαὶ ὠλεσίοικοι ἀνὰ πτόλιν εὐρυάγυιαν
ἔσσονται, δήμου τε κακοφροσύναι τε καὶ ὕβρεις·
εἰ δέ κεν ἡμερινὴ, δήμου κράτος ἔμπεδον ἔσται.

Εἰ δ', ἀνὰ τοὺς ἰχθῦς στρωφωμένου ἠελίοιο,
γῆς ἔνοσις γίνοιτο θοὴν διὰ νύκτα, τότ' ἔσται
πάσαις ἐν πολίεσσι περίστασις· εἰ δέ κεν ἠοῖ
γῆς κινηθείη πέδον ἱερὸν, αὐτίκα πάσαις
εὐφόρβοισι βοῶν ἀγέλαις, οἴων τε καὶ ἄλλων
τετραπόδων φθόρος ἔσται ἀν' ἄστεα καὶ κατὰ χώρας.

---

# ΘΕΩΝΟΣ T. III. p. 4.

## ΑΛΕΞΑΝΔΡΕΩΣ.

### II.

Εἰς τὰς ἑπτὰ πλανήτας, καὶ τὰς ἐν ἡμῖν δυνάμεις καὶ πάθη.

Ἑπτὰ πολυπλανέες κατ' Ολύμπιον ἀςέρες ὁδὸν
εἱλεῦνται, καὶ τοῖσιν ἀεὶ κανονίζεται αἰών·
νυκτιφανὴς Μήνη, ςυγνὸς Κρόνος, Ηλιος ἡδὺς,
πατοφόρος Παφίη, θρασὺς Αρης, εὔπτερος Ερμῆς,
καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ' ὃ φύσις ἐβλάςησεν.
οἱ δ' αὐτοὶ μερόπων ἔλαχον γένος· ἔςι δ' ἐν ἡμῖν
ΜΗΝΗ, ΖΕΥΣ, ΑΡΗΣ, ΠΑΦΙΗ, ΚΡΟΝΟΣ, ΗΛΙΟΣ, ΕΡΜΗΣ.
τῦνεκ' ἀπ' αἰθερίȣ μεμερίσμεθα πνεύματος ἕλκειν
δάκρυ, γέλωτα, χολὴν, γένεσιν, λόγον, ὕπνον, ὄρεξιν.
δάκρυ μὲν ἐςι Κρόνος· Ζεὺς δὲ, γένεσις· λόγος, Ερμῆς·
θυμὸς, Αρης· Μήνη δ' ἄρ', ὕπνος· Κυθέρεια δ', ὄρεξις·
Ηέλιος δὲ, γέλως. τȣτῳ γὰρ ἅπασα δικαίως
καὶ θνητὴ διάνοια γελᾷ, καὶ κόσμος ἀπείρων.

### IV.

Εἰς Πτολεμαῖον τὸν ἀςρονόμον.

Γαίης ἐν νώτοισιν ὀχȣ́μενος ὦ Πτολεμαῖε,
καὶ βροτέης φύσιος δεσμȣ́μενος ἔνδοθι τεθμῶν,
ȣ̓κ ἄςρων δὴ μȣ̃νον ἀειδίνητον ἀνάγκην,
ȣ̓δὲ πόλοιο φορὰν σὺ διέγνως ἀςατέȣσαν·
ἀλλὰ καὶ αὐτά περ ὃ ττι τελεῖ σημήϊα φαίνεις.

T. III. τοὔνεκα δὴ χρειὼ καλέειν σέ τιν᾽ οὐρανιώνων,
p. 5. αἰθέριόν τε νόον φορέειν, οὐ γήϊνον ἔμπης.
εἰ γὰρ καὶ μερόπεσσι χαμερπέσι συμβιότευσας,
καὶ φύσιος θνητῶν περ ἀλυκτοπέδῃσιν ἐδέσμου,
ἀλλὰ νόον παθέων ἐν τοῖσι πόνοις ἐκάθηρας,
ἔξω σαρκὸς ἔβης δὲ καὶ ἀχλύος ἰλυοέσσης,
καὶ τελέσεις προὔειπας ἑσύστερα τέρμα λαχούσας.

# ΣΕΚΟΥΝΔΟΥ.

## I.

Εἰς ἀγάλματα Ἐρώτων.

Σκυλοχαρεῖς ἴδ᾽ Ἔρωτας, ἴδ᾽ ὡς βριαροῖσιν ἐπ᾽ ὤμοις
ὅπλα φέρουσι θεῶν νήπι᾽ ἀγαλλόμενοι,
τύμπανα καὶ θύρσον Βρομίου, Ζηνὸς δὲ κεραυνὸν,
ἀσπίδ᾽ Ἐνυαλίου καὶ κόρυν ἠΰκομον,
Φοίβου δ᾽ εὔτοξον φαρέτρην, Ἁλίου δὲ τρίαιναν,
καὶ σθεναρῶν χειρῶν Ἡρακλέους ῥόπαλον.
τί πλέον ἀνθρώποισιν, Ἔρως ὅτε καὶ πόλον εἷλε,
τεύχεα δ᾽ ἀθανάτων Κύπρις ἐληΐσατο;

## II.

Τίπτε τὸν ὀγκηστὴν βραδύπουν ὄνον ἄμμιγ᾽ ἐν ἵπποις
γυρὸν ἀλωειναῖς ἐξελάατε δρόμον;
οὐχ ἅλις ὅ ττι μύλοιό περίδρομον ἄχθος ἀνάγκης
σπειρηδὸν σκοτόεις κυκλοδίωκτος ἔχω;

ἀλλ' ἔτι καὶ πώλοισιν ἐρίζομεν. ἡ δ' ἔτι λοιπὸν T. III.
νῦν μοι τὴν σκολιὴν αὐχένι-γαῖαν ἀρῶν.

III. p. 6.

Ὀλκὰς ἀμετρήτυ πελάγευς ἀνύσασα κέλευθον,
καὶ τοσάκις χαροποῖς κύμασι νηξαμένη,
ἣν ὁ μέλας ὗτ' Εὖρος ἐπόντισεν, ὗτ' ἐπὶ χέρσον
ἤλασε χειμερίων ἄγριον οἶδμα Νότων,
ἐν πυρὶ νῦν ναυηγὸς ἐγὼ χθονὶ μέμφομ' ἀπίσῳ,
νῦν ἀλὸς ἡμετέρης ὕδατα διζομένη.

## ΘΕΟΔΩΡΟΥ
### ΑΝΘΥΠΑΤΟΥ.

I.

Ἑρμοκράτης τῆς ῥινός· ἐπεὶ τὴν ῥῖνα λέγοντες
Ἑρμοκράτευς, μικροῖς μακρὰ χαριζόμεθα.

II.

Εἰς μῖμον.

Νηλειὴς Ἀΐδης· ἐπὶ σοὶ δ' ἐγέλασσε θανόντι,
Τίτυρε, καὶ νεκύων θῆκέ σε μιμολόγον.

T. III. p. 7.

# ΓΑΒΡΙΗΛΙΟΥ ΕΠΑΡΧΟΥ.

Εἰς Ἔρωτα καθεύδοντα ἐν πιπερεπάτῳ.

Οὐδὲ κατακνώσσων, ὐδ' ἄπνοος, ὐδ' ἐνὶ δαιτὶ
νόσφι πυριστπάρτυ δήγματός ἐςιν Ερως.

# ΤΙΒΕΡΙΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

I.

Κέμμαδος ἀρτιτόκυ μαζοῖς βρίθυσι γάλακτος
ἡ φονίη δακέτων ἰὸν ἐνῆκεν ἔχις.
φαρμαχθὲν δ' ἰῷ μητρὸς γάλα νεβρὸς ἀμέλξας
χείλεσι, τὸν κείνης ἐξέπιεν θάνατον.

II.

Οὐ κύνες, ὐ τάλικές με κατήνυσαν, ὐχὶ κυνηγοὶ
δορκάδα· τὸν δ' ἀπὸ γῆς εἰν ἁλὶ πλῆσα μόρον.
ἐξ ὕλης πόντῳ γὰρ ἐπέδραμον· εἶτ' ἐμὲ πλεκταὶ
ἕλξαν ἐπ' αἰγιαλὺς δικτυβόλων παγίδες.
ἤλιτον ἡ χέρσοιο μάτην φυγάς· ὐκ ἀδίκως με
εἷλε σαγηνευτὴς τἀμὰ λιπῦσαν ὄρη.
ὗποτ' ἄγρης ἁλιῆες ἔτ' ἄςοχον οἴσετε χεῖρας,
χέρσῳ καὶ πελάγει κοινὰ πλέκοντες ὕφη.

# ΕΥΤΟΛΜΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

T. III. p. 8.

## I.

Κνημῖδας, θώρηκα, σάκος, κόρυν, ἔγχος Ἀθήνῃ
Ροῦφος Μεμμιάδης Γέλλιος ἐκρέμασε.

## II.

Εἰς θερμοχύτην.

Βάκχῳ καὶ Νύμφαις μέσος ἵσταμαι· ἐν δὲ κυπέλλοις
αἰεὶ τόνδε χέω τὸν παραλειπόμενον.

## III.

Υἱέος ὠκυμόρου θάνατον πενθοῦσα Μενίππη
κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν·
οὐδ᾽ ἔσχεν παλίνορσον ἀναπνεύσασα γοῆσαι,
ἀλλ᾽ ἅμα καὶ θρήνου παύσατο καὶ βιότου.

## IV.

Παρθενικὴν Ἑλένην μετ᾽ ἀδελφεὸν ἄρτι θανόντα
δειλαίη μήτηρ κόψατο διπλασίως.
μνηστῆρες δ᾽ ἐγόησαν ἴσον γόον. ἦν γὰρ ἑκάστῳ
θρηνεῖν τὴν μήπω μηδενὸς, ὡς ἰδίην.

T. III. p. 7.

# ΓΑΒΡΙΗΛΙΟΥ,
## ΕΠΑΡΧΟΥ.

Εἰς Ἐρωτα καθεύδοντα ἐν πιπεροπάςῳ.

Οὐδὲ κατακνώσσων, οὐδ᾽ ἄϋπνοος, οὐδ᾽ ἐνὶ δαιτὶ
νόσφι πυρισπάρτου δήγματός ἐςιν Ἐρως.

# ΤΙΒΕΡΙΟΥ
## ΙΛΛΟΥΣΤΡΙΟΥ.

I.

Κέμμαδος ἀρτιτόκου μαζοῖς βρίθουσι γάλακτος
ἡ φονίη δακέτων ἰὸν ἐνῆκεν ἔχις.
φαρμαχθὲν δ᾽ ἰῷ μητρὸς γάλα νεβρὸς ἀμέλξας
χείλεσι, τὸν κείνης ἐξέπιεν θάνατον.

II.

Οὐ κύνες, οὐ ςάλικές με κατήνυσαν, οὐχὶ κυνηγοὶ
δορκάδα· τὸν δ᾽ ἀπὸ γῆς εἰν ἁλὶ πλῆσα μόρον.
ἐξ ὕλης πόντῳ γὰρ ἐπέδραμον· εἶτ᾽ ἐμὲ πλεκταὶ
ἕλξαν ἐπ᾽ αἰγιαλοὺς δικτυβόλων παγίδες.
ἤλιτον ἡ χέρσοιο μάτην φυγάς· οὐκ ἀδίκως με
εἷλε σαγηνευτὴς τἀμὰ λιποῦσαν ὄρη.
οὔποτ᾽ ἄγρης ἁλιῆες ἔτ᾽ ἄςοχον οἴσετε χεῖρας,
χέρσῳ καὶ πελάγει κοινὰ πλέκοντες ὕφη.

# ΕΥΤΟΛΜΙΟΥ
## ΣΧΟΛΑΣΤΙΚΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

T. III. p. 8.

I.

Κνημῖδας, θώρηκα, σάκος, κόρυν, ἔγχος Ἀθήνῃ
Ῥοῦφος Μεμμιάδης Γέλλιος ἐκρέμασε.

II.

Εἰς θερμοχύτην.

Βάκχῳ καὶ Νύμφαις μέσος ἵσταμαι· ἐν δὲ κυπέλλοις
αἰεὶ τόνδε χέω τὸν παραλειπόμενον.

III.

Υἱέος ὠκυμόρου θάνατον πενθοῦσα Μενίππη
κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν·
οὐδ' ἔσχεν παλίνορσον ἀναπνεύσασα γοῆσαι,
ἀλλ' ἅμα καὶ θρήνου παύσατο καὶ βιότου.

IV.

Παρθενικὴν Ἑλένην μετ' ἀδελφεὸν ἄρτι θανόντα
δειλαίη μήτηρ κόψατο διπλασίως.
μνηστῆρες δ' ἐγόησαν ἴσον γόον. ἦν γὰρ ἑκάστῳ
θρηνεῖν τὴν μήπω μηδενὸς, ὡς ἰδίην.

T. III. p. 9.

# ΙΟΥΛΙΑΝΟΥ

## ΑΝΤΙΚΕΝΣΟΡΟΣ.

I.

Ὄψιν ἔχεις στρουθῷ πανομοίϊον. ἦ ῥά σε Κίρκη
ἐς πτηνὴν μετέθηκε φύσιν, κυκεῶνα πιόντα.

II.

Ἀμητὸς πολύς ἐστι τεὴν κατὰ δάσκιον ὄψιν·
τῷ σε χρὴ δρεπάνοισι, καὶ οὐ ψαλίδεσσι καρῆναι.

III.

Εἴς τινα μικρόν.

Ἀσφαλέως οἴκησον ἐν ἄστεϊ, μή σε κολάψῃ
αἵματι Πυγμαίων ἡδομένη γέρανος.

# ΕΙΡΗΝΑΙΟΥ T.III. p.10.

## ΡΕΦΕΡΕΝΔΑΡΙΟΥ.

### I.

Ὦ σοβαρὴ Ῥοδόπη, Παφίης εἴξασα βελέμνοις
καὶ τὸν ὑπερφίαλον κόμπον ἀπωσαμένη,
ἀγκὰς ἑλοῦσά μ' ἔχεις παρὰ σὸν λέχος· ἐν δ' ἄρα δεσμοῖς
κεῖμαι, ἐλευθερίης οὐκ ἐπιδευόμενος.
οὕτως ἄρ ψυχή τε καὶ ἔγχυτα σώματα φωτῶν
συμφέρεται, φιλίης ῥεύμασι μιγνύμενα.

### II.

Τίπτε πέδον, Χρυσίλλα, κάτω νεύουσα δοκεύεις,
καὶ ζώνην παλάμαις οἷά περ ἀκρολυτεῖς;
αἰδὼς νόσφι πέλει τῆς Κύπριδος· εἰ δ' ἄρα σιγᾷς,
νεύματι τὴν Παφίην δεῖξον ὑπερχομένη.

### III.

Ὄμματα δινεύεις κρυφίων ἰνδάλματα πυρσῶν,
χείλεα δ' ἀκροβαφῆ λοξὰ παρεκτανύεις,
καὶ πολὺ κιχλίζουσα σοβεῖς εὐβόστρυχον αἴγλην,
ἐκχυμένας δ' ὁρόω τὰς σοβαρὰς παλάμας.
ἀλλ' οὐ σῆς κραδίης ὑψαύχενος ὤκλασεν ὄγκος·
οὔπω ἐθηλύνθης, οὐδὲ μαραινομένη.

T.III.p.11. **ΣΥΝΕΣΙΟΥ**

ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰς εἰκόνα Ἱπποκράτους.

Ὁππόθεν ὁ στήσας; β Βυζάντιος. α οὔνομα δὴ τίς;
β Εὐσέβιος. α σὺ δὲ, τίς; β Κῶϊος Ἱπποκράτης.
α τοῦ δ' ἕνεκεν γέγραφέν σε; β λόγων χάριν ἡ. πόλις αὐτῷ
τῶν ἐς ἐμὲ γραφίδων ἀντιδέδωκε γέρας.
α καὶ τί μὴ αὐτὸς ἑὸν τύπον ἔγραφεν; β ὅττι γεραίρων
ἡμέας ἀνθ' αὐτοῦ, κρέσσονα δόξαν ἔχει.

---

**ΙΩΑΝΝΟΥ ΠΟΙΗΤΟΥ**

ΤΟΥ ΒΑΡΒΟΥΚΑΛΛΟΥ.

I.

Εἰς εἰκόνα Καλλιόπης.

Ἤθελε Μελπομένην ὁ ζωγράφος εἰκόνι γράψαι,
ἀλλ' ἀπολειπομένης, ἔγραφε Καλλιόπην.

II.

Εἰς εἰκόνα Πολυμνίας.

Σεῖο μὲν εἰκὼν ἥδε Πολύμνια, καὶ σὺ δὲ, Μούσης.
ἓν γὰρ ἐπ' ἀμφοτέραις οὔνομα, καὶ τύπος εἷς.

### III.

T. III. p. 12.

Πειθοῖ καὶ Παφίᾳ πακτὰν καὶ κηρία σίμβλων
τῆς καλυκοϛεφάνȣ νυμφίος Εὐρυνόμας
Ερμοφίλας ἀνέθηκεν ὁ βωκόλος. ἀλλὰ δέχεσθε
ἀντ' αὐτᾶς πακτὰν, ἀντ' ἐμέθεν τὸ μέλι.

### IV.

Εἰς εἰκόνα Συνεσίȣ Σχολαϛικȣ ἐπὶ νίκῃ μάχης ἀνατεθεῖσαν ἐν Βηρυτῷ.

Οὐχὶ παρ' Εὐρώτᾳ μόνον ἀνέρες εἰσὶ μαχηταὶ,
ȣ̓δὲ παρ' Ιλισσῷ μνάμονές εἰσι δίκας.
ὡς ἀπὸ τᾶς Σπάρτας, ὡς αὐτᾶς ἀϛὸν Αθάνας
Συνέσιον Νίκα καὶ Θέμις ἠγάσατο.

### V.

Εἰς Πινδάρȣ ἄγαλμα ἐπὶ λȣτρῷ τινι ἱδρυμένον.

Αἴθε σε, Πίνδαρε, μᾶλλον ἐμοῖς ἐκάθηρα ῥεέθροις,
καί κεν ἄριϛον ὕδωρ τȣμὸν ἔφησθα μόνον.

### VI.

Εἰς εἰκόνα Σωκράτȣς.

Ως σοφὸς ὁ γράψας. ζωὰν ȣ̓κ ἔμβαλε κηρῷ,
Σωκράτεος ψυχᾷ τȣ̃το χαριζόμενος.

### VII.

Εἰς τὸ αὐτό.

Ζωγράφε τὰν μορφὰν ἀπομάξας, αἴθ' ἐνὶ κηρῷ
καὶ ψυχὰν ἐδάης Σωκρατικὰν βαλέειν.

T. III. πολλῶν· ἠμερινὸς δὲ φανεὶς, πόλεων βασιλῆϊ
σημαίνει μεγάλην τιμὴν καὶ σκῆπτρα λιπόντα
ἄλλη ἐποίχεσθαι φεύγοντ᾽ ἀπὸ πατρίδος αἴης.

Εἰ δ᾽ ἂν, ἐν αἰγοκέρωτι, ὅθι τροπαὶ ἠελίοιο
χειμεριναὶ, στείχοντος, ἕδος χθονὸς ἔννυχος ἐλθὼν
Σεισίχθων γαῖαν κινήσῃ πνεύματι λάβρῳ,
φράζεο δὴ πόλεμον καὶ δάκρυα τοῖσι γενέσθαι
καὶ στάσιν· ἠμερινὸς δὲ φανεὶς καρποφθόρος ἔσται.

Εἰ δ᾽ ἂν, ὅθ᾽ ὑδροχόον διανίσσεται ἠελίοιο
φέγγος, νυκτερίη ἐλελιχθῇ γαῖα περιχθὼν,
ἁρπαγαὶ ὠλεσίοικοι ἀνὰ πτόλιν εὐρυάγυιαν
ἔσσονται, δήμου τε κακοφροσύναι τε καὶ ὕβρεις·
εἰ δέ κεν ἠμερινὴ, δήμου κράτος ἔμπεδον ἔσται.

Εἰ δ᾽, ἀνὰ τοὺς ἰχθῦς στρωφωμένου ἠελίοιο,
γῆς ἔνοσις γίνοιτο θοὴν διὰ νύκτα, τότ᾽ ἔσται
πάσαις ἐν πολίεσσι περίστασις· εἰ δέ κεν ἠοῖ
γῆς κινηθείη πέδον ἱερὸν, αὐτίκα πάσαις
εὐφόρβοισι βοῶν ἀγέλαις, οἴων τε καὶ ἄλλων
τετραπόδων φθόρος ἔσται ἀν᾽ ἄστεα καὶ κατὰ χώρας.

---

# ΘΕΩΝΟΣ

T. III. p. 4.

## ΑΛΕΞΑΝΔΡΕΩΣ.

### II.

Εἰς τοὺς ἑπτὰ πλανήτας, καὶ τὰς ἐν ἡμῖν δυνάμεις καὶ πάθη.

Ἑπτὰ πολυπλανέες κατ' Ολύμπιον ἀστέρες οὐδὸν
εἱλεῦνται, καὶ τοῖσιν ἀεὶ κανονίζεται αἰών·
νυκτιφανὴς Μήνη, στυγνὸς Κρόνος, Ηλιος ἡδὺς,
παστοφόρος Παφίη, θρασὺς Αρης, εὔπτερος Ερμῆς,
καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ' οὗ φύσις ἐβλάστησεν.
οἱ δ' αὐτοὶ μερόπων ἔλαχον γένος· ἔστι δ' ἐν ἡμῖν
ΜΗΝΗ, ΖΕΥΣ, ΑΡΗΣ, ΠΑΦΙΗ, ΚΡΟΝΟΣ, ΗΛΙΟΣ, ΕΡΜΗΣ.
τοὔνεκ' ἀπ' αἰθερίου μεμερίσμεθα πνεύματος ἕλκειν
δάκρυ, γέλωτα, χολὴν, γένεσιν, λόγον, ὕπνον, ὄρεξιν.
δάκρυ μέν ἐστι Κρόνος· Ζεὺς δὲ, γένεσις· λόγος, Ερμῆς·
θυμὸς, Αρης· Μήνη δ' ἄρ', ὕπνος· Κυθέρεια δ', ὄρεξις·
Ηέλιος δὲ, γέλως. τούτῳ γὰρ ἅπασα δικαίως
καὶ θνητὴ διάνοια γελᾷ, καὶ κόσμος ἀπείρων.

### IV.

Εἰς Πτολεμαῖον τὸν ἀστρονόμον.

Γαίης ἐν νώτοισιν ὀχούμενος ὦ Πτολεμαῖε,
καὶ βροτέης φύσιος δεσμούμενος ἔνδοθι τεθμῶν,
οὐκ ἄστρων δὴ μοῦνον ἀειδίνητον ἀνάγκην,
οὐδὲ πόλοιο φορὰν σὺ διέγνως ἀστατέουσαν·
ἀλλὰ καὶ αὐτά περ ὅ ττι τελεῖ σημήϊα φαίνεις.

T. III. τοὔνεκα δὴ χρειὼ καλέειν σέ τιν' οὐρανιώνων,
p. 5. αἰθέριόν τε νόον φορέειν, οὐ γήϊνον ἔμπης.
εἰ γὰρ καὶ μερόπεσσι χαμερπέσι συμβιότευσας,
καὶ φύσιος θνητῶν περ ἀλυκτοπέδησιν ἐδέσμου,
ἀλλὰ νόον παθέων ἐν τοῖσι πόνοις ἐκάθηρας,
ἔξω σαρκὸς ἔβης δὲ καὶ ἀχλύος ἰλυοέσσης,
καὶ τελέσεις προέειπας ἐσύστερα τέρμα λαχοῦσας.

---

# ΣΕΚΟΥΝΔΟΥ.

---

## I.

### Εἰς ἀγάλματα Ἐρώτων.

Σκυλοχαρεῖς ἴδ' Ἔρωτας, ἴδ' ὡς βριαροῖσιν ἐπ' ὤμοις
ὅπλα φέρουσι θεῶν νήπι' ἀγαλλόμενοι,
τύμπανα καὶ θύρσον Βρομίου, Ζηνὸς δὲ κεραυνὸν,
ἀσπίδ' Ἐνυαλίου καὶ κόρυν ἠΰκομον,
Φοίβου δ' εὔτοξον φαρέτρην, Ἀλίου δὲ τρίαιναν,
καὶ σθεναρῶν χειρῶν Ἡρακλέους ῥόπαλον.
τί πλέον ἀνθρώποισιν, Ἔρως ὅτε καὶ πόλον εἷλε,
τεύχεα δ' ἀθανάτων Κύπρις ἐληΐσατο;

## II.

Τίπτε τὸν ὀγκηστὴν βραδύπουν ὄνον ἄμμιγ' ἐν ἵπποις
γυρὸν ἀλωειναῖς ἐξελάκατε δρόμον;
οὐχ ἅλις ὅ ττι μύλοιό περίδρομον ἄχθος ἀνάγκης
σπειρηδὸν σκοτόεις κυκλοδίωκτος ἔχω;

ἀλλ᾽ ἔτι καὶ πώλοισιν ἐρίζομεν. ἥ ῥ᾽ ἔτι λοιπὸν T. III.
νῦν μοι τὴν σκολιὴν αὐχένι-γαῖαν ἀρῶν.

III. p. 6.

Ὁλκὰς ἀμετρήτου πελάγευς ἀνύσασα κέλευθον,
καὶ τοσάκις χαροποῖς κύμασι νηξαμένη,
ἣν ὁ μέλας οὔτ᾽ Εὖρος ἐπόντισεν, οὔτ᾽ ἐπὶ χέρσον
ἤλασε χειμερίων ἄγριον οἶδμα Νότων,
ἐν πυρὶ νῦν ναυηγὸς ἐγὼ χθονὶ μέμφομ᾽ ἀπίστῳ,
νῦν ἁλὸς ἡμετέρης ὕδατα διζομένη.

## ΘΕΟΔΩΡΟΥ

### ΑΝΘΥΠΑΤΟΥ.

I.

Ἑρμοκράτης τῆς ῥινός· ἐπεὶ τὴν ῥῖνα λέγοντες
Ἑρμοκράτους, μικροῖς μακρὰ χαριζόμεθα.

II.

Εἰς μῖμον.

Νηλειὴς Ἀΐδης· ἐπὶ σοὶ δ᾽ ἐγέλασσε θανόντι,
Τίτυρε, καὶ νεκύων θῆκέ σε μιμολόγον.

T. III. p. 7.

# ΓΑΒΡΙΗΛΙΟΥ, ΕΠΑΡΧΟΥ.

Εἰς Ερωτα καθεύδοντα ἐν πιπερόπάστῳ.

Οὐδὲ κατακνώσσων, ὐδ᾽ ἄπνοος, ὐδ᾽ ἐνὶ δαιτὶ
νόσφι πυριςπάρτυ δήγματός ἐςιν Ερως.

# ΤΙΒΕΡΙΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

I.

Κέμμαδὸς ἀρτιτόκυ μαζοῖς βρίθυσι γάλακτος
ἡ φονίη δακέτων ἰὸν ἐνῆκεν ἔχις.
φαρμαχθὲν δ᾽ ἰῷ μητρὸς γάλα νεβρὸς ἀμέλξας
χείλεσι, τὸν κείνης ἐξέπιεν θάνατον.

II.

Οὐ κύνες, ὐ ςάλικές με κατήνυσαν, ὐχὶ κυνηγοὶ
δορκάδα· τὸν δ᾽ ἀπὸ γῆς εἰν ἁλὶ πλῆσα μόρον.
ἐξ ὕλης πόντῳ γὰρ ἐπέδραμον· εἶτ᾽ ἐμὲ πλεκταὶ
ἕλξαν ἐπ᾽ αἰγιαλὺς δικτυβόλων παγίδες.
ἤλιτον ἡ χέρσοιο μάτην φυγάς· ὐκ ἀδίκως με
εἷλε σαγηνευτὴς τἀμὰ λιπῦσαν ὄρη.
ὔποτ᾽ ἄγρης ἁλιῆες ἔτ᾽ ἄςοχον οἴσετε χεῖρας,
χέρσῳ καὶ πελάγει κοινὰ πλέκοντες ὕφη.

# ΕΥΤΟΛΜΙΟΥ

T. III. p. 8.

## ΣΧΟΛΑΣΤΙΚΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

### I.

Κνημῖδας, θώρηκα, σάκος, κόρυν, ἔγχος Ἀθήνῃ
Ῥοῦφος Μεμμιάδης Γέλλιος ἐκρέμασε.

### II.

Εἰς θερμοχόστην.

Βάκχῳ καὶ Νύμφαις μέσος ἵσταμαι· ἐν δὲ κυπέλλοις
αἰεὶ τόνδε χέω τὸν παραλειπόμενον.

### III.

Υἱέος ὠκυμόρου θάνατον πενθοῦσα Μενίππη
κωκυτῷ μεγάλῳ πνεῦμα συνεξέχεεν·
οὐδ' ἔσχεν παλίνορσον ἀναπνεύσασα γοῆσαι,
ἀλλ' ἅμα καὶ θρήνου παύσατο καὶ βιότου.

### IV.

Παρθενικὴν Ἑλένην μετ' ἀδελφεὸν ἄρτι θανόντα
δειλαίη μήτηρ κόψατο διπλασίως.
μνηστῆρες δ' ἐγόησαν ἴσον γόον. ἦν γὰρ ἑκάστῳ
θρηνεῖν τὴν μήπω μηδενός, ὡς ἰδίην.

T. III. p. 9.

# ΙΟΥΛΙΑΝΟΥ

## ΑΝΤΙΚΕΝΣΟΡΟΣ.

### I.

Οψιν ἔχεις στρουθῷ πανομοίϊον. ἦ ῥά σε Κίρκη
ἐς πτηνὴν μετέθηκε φύσιν, κυκεῶνα πιόντα.

### II.

Αμητὸς πολύς ἐστι τεὴν κατὰ δάσκιον ὄψιν·
τῷ σε χρὴ δρεπάνοισι, καὶ οὐ ψαλίδεσσι καρῆναι.

### III.

Εἴς τινα μικρόν.

Ασφαλέως οἴκησον ἐν ἄστεϊ, μή σε κολάψῃ
αἵματι Πυγμαίων ἡδομένη γέρανος.

# ΕΙΡΗΝΑΙΟΥ T.III. p.10.

## ΡΕΦΕΡΕΝΔΑΡΙΟΥ.

I.

Ὦ σοβαρὴ Ῥοδόπη, Παφίης εἴξασα βελέμνοις
καὶ τὸν ὑπερφίαλον κόμπον ἀπωσαμένη,
ἀγκὰς ἑλοῦσά μ' ἔχεις παρὰ σὸν λέχος· ἐν δ' ἄρα δεσμοῖς
κεῖμαι, ἐλευθερίης οὐκ ἐπιδευόμενος.
οὕτως ἄρ ψυχή τε καὶ ἔγχυτα σώματα φωτῶν
συμφέρεται, φιλίης ῥεύμασι μιγνύμενα.

II.

Τίπτε πέδον, Χρυσίλλα, κάτω νεύουσα δοκεύεις,
καὶ ζώνην παλάμαις οἷά περ ἀκρολυτεῖς;
αἰδὼς νόσφι πέλει τῆς Κύπριδος· εἰ δ' ἄρα σιγᾷς,
νεύματι τὴν Παφίην δεῖξον ὑπερχομένη.

III.

Ὄμματα δινεύεις κρυφίων ἰνδάλματα πυρσῶν,
χείλεα δ' ἀκροβαφῆ λοξὰ παρεκτανύεις,
καὶ πολὺ κιχλίζουσα σοβεῖς εὐβόστρυχον αἴγλην,
ἐκχυμένας δ' ὀρόω τὰς σοβαρὰς παλάμας.
ἀλλ' οὐ σῆς κραδίης ὑψαύχενος ὤκλασεν ὄγκος·
οὔπω ἐθηλύνθης, οὐδὲ μαραινομένη.

T. III. p. 11. # ΣΥΝΕΣΙΟΥ
## ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰς εἰκόνα Ἱπποκράτους.

Ὁππόθεν ὁ στήσας; β Βυζάντιος. α οὔνομα δὴ τίς;
β Εὐσέβιος. α σὺ δὲ, τίς; β Κῷος Ἱπποκράτης.
α τοῦ δ' ἕνεκεν γέγραφέν σε; β λόγων χάριν ἡ. πόλις αὐτῷ
τῶν ἐς ἐμὲ γραφίδων ἀντιδέδωκε γέρας.
α καὶ τί μὴ αὐτὸς ἑὸν τύπον ἔγραφεν; β ὅττι γεραίρων
ἡμέας ἀνθ' αὐτοῦ, κρέσσονα δόξαν ἔχει.

# ΙΩΑΝΝΟΥ ΠΟΙΗΤΟΥ
## ΤΟΥ ΒΑΡΒΟΥΚΑΛΛΟΥ.

I.

Εἰς εἰκόνα Καλλιόπης.

Ἤθελε Μελπομένην ὁ ζωγράφος εἰκόνι γράψαι,
ἀλλ' ἀπολειπομένης, ἔγραφε Καλλιόπην.

II.

Εἰς εἰκόνα Πολυμνίας.

Σεῖο μὲν εἰκὼν ἥδε Πολύμνια, καὶ σὺ δὲ, Μούσης.
ἓν γὰρ ἐπ' ἀμφοτέραις οὔνομα, καὶ τύπος εἷς.

III. T. III. p. 12.

Πειθοῖ καὶ Παφίᾳ πακτὰν καὶ κηρία σίμβλων
τῆς καλυκοστεφάνε νυμφίος Εὐρυνόμας
Ερμοφίλας ἀνέθηκεν ὁ βωκόλος. ἀλλὰ δέχεσθε
ἀντ' αὐτᾶς πακτὰν, ἀντ' ἐμέθεν τὸ μέλι.

IV.

Εἰς εἰκόνα Συνεσίε Σχολαστικε ἐπὶ νίκῃ μάχης ἀνατιθεῖσαν ἐν Εὐρώτᾳ.

Οὐχὶ παρ' Εὐρώτᾳ μόνον ἀνέρες εἰσὶ μαχηταὶ,
ὐδὲ παρ' Ιλισσῷ μνάμονές εἰσι δίκας.
ὡς ἀπὸ τᾶς Σπάρτας, ὡς αὐτᾶς ἄστὸν Αθάνας
Συνέσιον Νίκα καὶ Θέμις ἠγάσατο.

V.

Εἰς Πινδάρε ἄγαλμα ἐπὶ λετρῷ τινι ἱδρυμένον.

Αἴθε σε, Πίνδαρε, μᾶλλον ἐμοῖς ἐκάθηρα ῥεέθροις,
καί κεν ἄριστον ὕδωρ τεῦμὸν ἔφησθα μόνον.

VI.

Εἰς εἰκόνα Σωκράτες.

Ὡς σοφὸς ὁ γράψας. ζωὰν ὐκ ἔμβαλε κηρῷ,
Σωκράτεος ψυχᾷ τῦτο χαριζόμενος.

VII.

Εἰς τὸ αὐτό.

Ζωγράφε τὰν μορφὰν ἀπομάξας, αἴθ' ἐνὶ κηρῷ
καὶ ψυχὰν ἐδάης Σωκρατικὰν βαλέειν.

T.III. p.13.

## VIII.

Εἰς τὴν κατάπτωσιν Βηρυτȣ̃.

Αδ' ἐγὼ ἁ τλάμων ἄπολις πόλις, ἄμμιγα νεκροῖς
ἐνναέταις κεῖμαι ἁ πανυποτμοτάτα.
Ηφαιςός μ' ἐδάμασσε μετὰ κλόνον Ἐννοσιγαίȣ.
φεῦ, ἀπὸ τοσσατίȣ κάλλεος εἰμὶ κόνις.
ἀλλὰ παραςείχοντες ἐμὰν ςοναχήσετε μοῖραν·
σπείσατε Βηρυτῷ δάκρυα καὶ φθιμένᾳ.

## IX.

Εἰς τὸ αὐτό.

Πȣ̃ τελέθει Κύπρις πολιήοχος, ὄφρα νοήσῃ
ἔνδιον εἰδώλων τὴν πρὶν ἕδος χαρίτων;
τύμβος ἀταρχύτων μερόπων πόλις, ἧς ὑπὸ τέφρῃ
αἱ Βερόης πολλαὶ κείμεθα χιλιάδες.
γράψαθ' ἑνὸς καθύπερθε λίθȣ, φίλα λείψανα φωτῶν·
Βηρυτὸς γοερὴ κεῖται ὑπὲρ δαπέδων.

## X.

Εἰς τὸ αὐτό.

Ναυτίλε, μὴ ςήσῃς δρόμον ὁλκάδος εἵνεκ' ἐμεῖο,
λαίφεα μὴ λύσῃς· χέρσον ὁρᾷς λιμένα.
τύμβος ὅλη γενόμην· ἕτερον δ' ἐς ἀπενθέα χῶρον
δȣπήσεις κώπην νηὸς ἐπερχομένης.
τȣ̃το Ποσειδάωνι φίλον, ξενίμις τε θεαῖσι.
χαίρεθ' ἁλιπλανέες, χαίρεθ' ὁδοιπλανέες.

## XI.

T.III. p.14.

Εἴς τινα γυναῖκα σώφρονα καὶ φίλανδρον.

Ες πόσιν ἀθρήσασα παρ' ἐσχατίης λίνα μοίρης
  ἤνεσα καὶ χθονίυς, ἤνεσα καὶ ζυγίυς.
τὺς μὲν, ὅτι ζωὸν λίπον ἀνέρα· τὺς δ', ὅτι τοῖον.
  ἀλλὰ πατὴρ μίμνοι παισὶν ἐφ' ἡμετέροις.
τῦτο σαοφροσύνας ἀντάξιον εὔρεο, Νοσώ·
  δάκρυά σοι γαμέτας σπεῖσε καταφθιμένα.

# ΝΕΙΛΟΥ

## ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰς εἰκόνα Σατύρυ ἀπὸ ψηφῖδος ἐν Αντιοχείᾳ.

a Πάντες μὲν Σάτυροι φιλοκέρτομοι· εἰπὲ δὲ καὶ σὺ,
  τί πρὸς ἕκαστον ὁρῶν τόνδε γέλωτα χέεις;
β Θάμβος ἔχων γελόω, πῶς ἐκ λίθυ ἄλλοθεν ἄλλης
  συμφερτὸς, γενόμην ἐξαπίνης Σάτυρος.

T.III. p.15. ΚΟΜΗΤΑ ΣΧΟΛΑΣΤΙΚΟΥ
ΚΑΙ ΧΑΡΤΟΥΛΑΡΙΟΥ.

## I.

Εἰς κόρην αὐτὸν μὴ ἐνδεχομένην.

Ὄμματα Φυλλὶς ἔπεμπε κατὰ πλόον. ὅρκος ἀλήτης
πλάζετο, Δημοφόων δ' ἦεν ἄπιστος ἀνήρ.
νῦν δὲ, φίλη, πιστὸς μὲν ἐγὼ παρὰ θῖνα θαλάσσης
Δημοφόων· σὺ δὲ πῶς, Φυλλὶς, ἄπιστος ἔφυς;

## II.

Εἰς εἰκόνα Φιλίππου ἰατροῦ ἐν Ἀναζάρβῳ.

Νωθρὸς ἐγὼ τελέθεσκον ἀπ' ἰξύος ἐς πόδας ἄκρους,
τῆς πρὶν ἐνεργείης δηρὸν ἀτεμβόμενος,
ζωῆς καὶ θανάτοιο μεταίχμιον, Ἀΐδι γείτων,
μοῦνον ἀναπνείων, τἄλλα δὲ πάντα νέκυς.
ἀλλὰ σοφός με Φίλιππος, ὃν ἐν γραφίδεσσι δοκεύεις,
ζώγρησε, κρυερὴν νοῦσον ἀκεσσάμενος·
αὖθις δ' Ἀντωνῖνος, ἅπερ πάρος, ἐν χθονὶ βαίνω,
καὶ ποσὶ πεζεύω, καὶ ὅλος αἰσθάνομαι.

## III.

[α] Εἰπὲ νομεῦ, τίνος εἰσὶ φυτῶν στίχες; [β] αἱ μὲν ἐλαῖαι,
Παλλάδος· αἱ δὲ πέριξ ἡμερίδες, Βρομίου.
[α] καὶ τίνος οἱ στάχυες; [β] Δημήτερος. [α] ἄνθεα ποίων
εἰσὶ θεῶν; [β] Ἥρης καὶ ῥοδέης Παφίης.

Πὰν φίλε, πηκτίδα μίμνε τεοῖς ἐπὶ χείλεσι σύρων, T. III. p. 16.
Ηχὼ γὰρ δήεις τοῖσδ᾽ ἐνὶ θειλοπέδοις.

## IV.

Εἰς τὴν ὑπ᾽ αὐτȣ̃ διωρθωμένην Ομήρȣ ποίησιν.

Σεῖο βίβλȣς, μεγάθυμε, Κομητᾶς, Ομηρε, δύ᾽ ἄρδην
εὑρὼν γηραλέας τεύξατο ὁπλοτέρας.
γῆρας ἀποξύσας γὰρ ἀριπρεπέας μερόπεσσι
πάμπαν ἔδειξε σοφοῖς, οἷσιν ἔνεστι νόος.

## V.

Εἰς τὸ αὐτό.

Αμφοτέρας, πολύμυθε, Κομητᾶς σεῖο ἀθρήσας
κύρβεις γηραλέας, θῆκεν ἀειθαλέας.

## VI.

Εἰς τὸ αὐτό.

Εὑρὼν Κομητᾶς τὰς Ομηρείȣς βίβλȣς
ἐφθαρμένας τε, κȣ̓δαμῶς ἐστιγμένας,
στίξας διεσμίλευσα ταύτας ἐντέχνως,
τὴν σαπρίαν ῥήξας μὲν ὡς ἀχρηστίαν.
ἐντεῦθεν οἱ γράφοντες ȣ̓κ ἐσφαλμένως
μαθητιῶσιν, ὡς ἔοικε μανθάνειν.

T.III.p.17. # ΕΙΣ ΤΑΣ ΕΝ ΤΩι ΙΠΠΟΔΡΟΜΩι ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΣΤΗΛΑΣ ΤΩΝ ΑΘΛΗΤΩΝ.

## ΕΙΣ ΠΟΡΦΥΡΙΟΝ, ΤΟΝ ΚΑΙ ΚΑΛΛΙΟΠΑΝ ΟΝΟΜΑΖΟΜΕΝΟΝ, ΗΝΙΟΧΟΝ.

### I.

Πορφύριον Κάλχαντος ἄναξ καὶ δῆμος ἐγείρει
πολλοῖς εὐκαμάτοις βριθόμενον στεφάνοις,
πᾶσι μεθ' ἡνιόχοισι νεώτατον, ὅσσον ἄριστον,
ἀλλὰ τόσον νίκης κάρτος ἐνεγκάμενον.
ἔπρεπέ μιν χρυσέῳ ἐν ἀγάλματι, μηδ' ἐνὶ χαλκῷ
οὕτως τοῖς ἄλλοις εἴκελον, ἑστάμεναι.

### II.

Τέτραχα μὲν τὸ πάροιθε διακριδὸν ἴαχε δῆμος,
τὸν Καλχαντιάδην Πορφύριον ποθέων.
αὐτὰρ ὁ δεξιτεροῖσιν ἀνακτορέοιο θοώκου
ἡνία καὶ ζώνην ἱππότιν ἀνθέμενος
κεῖθεν ἐπισπέρχων ἐλάᾳ. μεσσηγὺ δ' ἀέθλων
χάλκεος ἱδρύνθη πρῶτον ἴουλον ἔχων.
εἰ δ' ἐτέων γέρας ἦλθε θοώτερον, ἀλλ' ἐπὶ νίκαις
ὕψιμον, ἀλλὰ μόλις πολλὰ μετὰ στέφεα.

### III.

T/III.

Ἀγχίσην Κυθέρεια, καὶ Ἐνδυμίωνα Σελήνη
φίλατο· καὶ Νίκη νῦν τάχα Πορφύριον,
ὃς καὶ ἑοὺς ἵππους καὶ ὁμόφρονος ἡνιοχῆος p. 18.
ἐξ ἑτέρων ἑτέρους αἰὲν ἀμειβόμενος,
πολλάκι κρᾶτα πύκασσε πανημερίοισιν ἀέθλοις,
οὐ μογέων, ἑτάρου μοῦνον ἐφεσπομένου.

### IV.

Τοῦτό σοι ἠϊθέῳ Νίκη γέρας, ὃ χρόνος ἄλλοις
ὀψὲ μόλις πολιοῖς, ὤπασε, Πορφύριε.
καὶ γὰρ ἀριθμήσασα πολυστεφέας σέο μόχθους
εὕρατο γηραλέων κρέσσονας ἡνιόχων.
τί πλέον, ὅ ττι καὶ αὐτὸς ἐπευφήμησεν ἀΰσας
σὸν κλέος ἀντιπάλων δῆμος ἀγασσάμενος;
ὀλβίη ἡ Βενέτων πανελεύθερός ἐστι γενέθλη,
ᾗ σε μέγας βασιλεὺς δῶρον ἔνευσεν ἔχειν.

### V.

Ἄλκιμοι ἀλκήεντα, σοφοὶ σοφὸν, υἱέα Νίκης
οἱ Νίκης παῖδες Πορφύριον Βένετοι
ἄνθεσαν, ἀμφοτέραις γὰρ ἀμειβομένοις ἐπὶ πώλοις
κυδιάει νίκαις, οἷς πόρεν, οἷς ἔλαβε.

### VI.

Ἄλλοις παυσαμένοισιν, ἀεθλεύοντι δὲ μούνῳ
Πορφυρίῳ βασιλεὺς τοῦτο δέδωκε γέρας.
πολλάκι νικήσας γὰρ, ἑοὺς πόρεν ὠκέας ἵππους,
λάζετο δ' ἀντιπάλων, καὶ πάλιν ἐστέφετο.

T. III. ἔνθεν ἔην Πρασίνοις ἔρις ἄσπετος, ἔνθεν αὐτή.
ὡς Βενέτους τέρψαις, Κοίρανε, καὶ Πρασίνους.

## VII.

Αἱ πάντων ψῆφοί με καὶ εἰσέτι διφρεύοντα
ἔστησαν Νίκης ἐγγύθι Πορφύριον,
p. 19. δῆμος μὲν γὰρ ἐμὸς γέρας ἤτεεν· οἱ δ' ἕτεροί με
δίζοντ' αὖτις ἔχειν, νεῖκος ἀπειπάμενοι.
μήτι δ' ἡνιόχων περιγίνομαι, οἷσι καὶ ἵππους
κρείσσονας ἀντιπορών, δεῖξα χερειοτέρους.

## VIII.

Αὐτὸν Πορφύριον μὲν ἀπηκριβώσατο χαλκῷ
ὁ πλάστης, ἔμπνουν οἷα τυπωσάμενος.
τίς δὲ χάριν, τίς ἄεθλα, τίς ἔνθεα δήνεα τέχνης
τεύξει, καὶ νίκην οὔποτ' ἀμειβομένην.

## IX.

Εἰκόνι χαλκείῃ τὸν χάλκεον ἡνιοχῆα
ἄνθετο νικητὴν κοίρανος Αὐσονίων,
ὡς σοφόν, ὡς Βενέτοις πεφιλημένον· ἀλλ' ἐπὶ νίκαις
Πορφυρίου πολλὰς εἰκόνας ὀψόμεθα.

## X.

Πορφύριος Λίβυς οὗτος· ἀεθλοφόρων δ' ἐπὶ δίφρων
μοῦνος παντοδαποὺς ἀμφέθετο στεφάνους.
Νίκη γὰρ βασίλεια μεριζομένη κατὰ δήμους
χρώμασι καὶ πέπλοις συμμετέβαλλε τύχας·

ἥρμοσε

ἤρμοσε δ' αὐτὸν ἔχειν Βενέτοις πλέον, ἔνθεν ἀπέστη T. III.
χρύσεος ἀντ' ἀρετῆς, χάλκεος ἀντὶ πόνων.

XI.

α Τίς τελέθεις, φίλε κοῦρε, γενειάδος ἄκρα χαράσσων;
β ὦ ξένε, Πορφύριος. α τίς πατρίς; β ἡ Λιβύη.
α τίς δέ σε νῦν τίμησεν; β ἄναξ, χάριν ἱπποσυνάων.
α τίς μάρτυς τελέθει; β δῆμος ὁ τῶν Βενέτων.
ἔπρεπέ σοι Λύσιππον ἔχειν ἐπιμάρτυρα νίκης p. 20.
τοσσατίης, πλάστην ἴδμονα, Πορφύριε.

XII.

Τοῦτον Πορφύριον Λιβύη τέκε, θρέψε δὲ Ῥώμη,
Νίκη δ' ἐστεφάνωσεν ἀμοιβαδὸν, ἄλλοτ' ἀπ' ἄλλου
χρώματος, ἄκρα φέροντα καρήατι σύμβολα νίκης.
πολλάκι γὰρ δήμους ἠλλάξατο, πολλάκι πώλους·
καί ῥ' ὅτε μὲν πρῶτος, ποτὲ δ' ὕστατος, ἄλλοτε μέσσος,
πάντας ὁμοῦ νίκησε καὶ ἀντιπάλους καὶ ἑταίρους.

XIII.

Ἐγγύθι τῆς Νίκης καὶ Ἀλεξάνδρου βασιλῆος
ἕστης, ἀμφοτέρων κύδεα δρεψάμενος.

XIV.

Πάντα Τύχης ὀφθαλμὸς ἐπέρχεται· ἀλλ' ἐπὶ μούνοις
Πορφυρίου καμάτοις ἕλκεται ὄμμα Τύχης.

XV.

Πορφύριον λήξαντα πόνων, λύσαντά τε μίτρην,
καὶ πάρος ἀντ' ἀρετῆς χάλκεον ἔστασαν,

T. III. τῇδε πάλιν χαλκοῦ τε καὶ ἀργύρου ἱδρύσαντο.
πρέσβυ, σὺ δὲ ξείνων ἀντιάσας γεράων,
δήμου μὲν βοόωντος ἕλες παλίνορσον ἱμάσθλην,
ὡς δὲ δὶς ἡβήσας, μαίνεαι ἐν σταδίοις.

## XVI.

Σὴν τροχαλὴν μάστιγα καὶ ἀσπίδα δῆμος ἀγασθεὶς
ἤθελέ σε στῆσαι διπλόον, ὥσπερ ἔδει
p. 21. ἡνίοχον κρατερὸν καὶ ἀριστέα· διχθὰ δὲ χαλκὸς
οὐκ ἐχύθη, ψυχὴν σεῖο τυπωσάμενος.

## XVII.

Ἐν γῇ κρατήσας παντὸς ἁρματηλάτου
καλῶς ἐπήρθη καὶ πρὸς αἰθέρα τρέχειν
Πορφύριος, τὸ θαῦμα δήμου Βενέτων.
νικῶν γὰρ οὗτος πάντα γῆς διφρηλάτην,
ἄνεισιν ὡς ἂν καὶ σὺν ἡλίῳ δράμῃ.

## XVIII.

Ιουλον ἀνθῶν πρῶτον οὗτος ἡνίας
Πορφύριος Κάλχαντος εἷλκε Βενέτου.
ἐκπλήττομαι δὲ πῶς γράφει χεὶρ ἐμπνόους
τούτου τις ἵππους. καὶ γάρ, ἂν πλήξῃ, πάλιν,
οἶμαι, δραμεῖται, νῖκος εὑρεῖν καὶ πάλιν.

## XIX.

Πορφύριον σταδίοισι τίνος χάριν ἡνιοχῆα
δῆμος ὁ πρῶτα φέρων ἄνθετο τῶν Πρασίνων;

XVIII. 2. Cod. Vat. βεννέτου.

αὐτὸς ἄναξ κήρυξε. τί γὰρ πλέον; ὃ ττι γεραίρει T. III.
 εἵνεκεν εὐνοίης, εἵνεκεν ἱπποσύνης.

## XX.

Πορφυρίῳ μετ' ἄεθλα γέρας πόρεν ἄξιον ἔργων
 κοίρανος ὁ Πρασίνοις τοῦτο χαριζόμενος.
πολλάκι γὰρ δῆμος προφερέστερα ἔργα κομίζων
 ἤνεσε Καλλιόπαν, καὶ πάλι Πορφύριον.
διπλόον οὔνομα τοῦτο, τόπερ λάχε χάλκεος ἥρως
 οὗτος, ὁ τεθρίπποις κῦδος ἑλὼν ἀρετῆς.

## XXI.

Ὤφελες ὅπλα φέρειν, οὐ φάρεα ταῦτα κομίζειν, p. 22.
 ὡς ἐλατὴρ τελέθων, καὶ πολέμων πρόμαχος.
εὖτε γὰρ ἦλθεν ἄνακτος ὀλεσσιτύραννος ἀκωκή,
 καὶ σὺ συναιχμάζων ἥψαο ναυμαχίης·
καὶ διπλῆς, πολύμητι, σοφῶς ἐδράξαο νίκης,
 τῆς μὲν, πωλομάχου, τῆς δὲ, τυραννοφόνου.

## XXII.

Οὐ μόνον ἐν ςαδίοις σε κατέςεφε πότνια Νίκη,
 ἀλλὰ καὶ ἐν πολέμοις δεῖξεν ἀεθλοφόρον,
εὖτε ἄναξ πολέμιζεν ἔχων Πρασίνους ὑποεργοὺς
 ἄγρια μαινομένῳ ἐχθρῷ ἀνακτορέῳ,
καὶ πέσεν αἰνοτύραννος ἐπιφθιμένης τότε Ῥώμης,
 ἦμαρ δ' Αὐσονίης ἦλθεν ἐλευθερίης.
τοὔνεκα τοῖς μὲν ἔδωκεν ἄναξ γέρας, ὡς πάρος εἶχον·
 σὸν δὲ τύπον τέχνη ἔξεσε, Πορφύριε.

T. III.

## XXIII.

Ὑμετέρων κήρυκες ἀμεμφέες εἰσὶν ἀγώνων
οἱ καὶ ἀπ᾽ ἀντιβίων, Πορφύριε, στέφανοι.
πάντας γὰρ σταδίοισιν ἀμοιβαδὸν αἰὲν ἐλέγχεις
ἀντιτέχνους, τῆς σῆς παίγνιον ἱπποσύνης.
τοὔνεκα καὶ ξεῖνον πρεσβήϊον εὕραο μοῦνος,
εἰκόνα χαλκείην δήμῳ ἐν ἀμφοτέρῳ.

## XXIV.

Πλάστης χαλκὸν ἔτευξεν ὁμοίϊον ἡνιοχῆϊ·
εἴθε δὲ καὶ τέχνης ὄγκον ἀπειργάσατο,
p. 23. ὄγκον ὁμοῦ καὶ κάλλος, ὅπερ φύσις ὀψὲ τεκοῦσα
ὤμοσεν· Ὠδίνειν δεύτερον οὐ δύναμαι.
ὤμοσεν εὐόρκοις ὑπὸ χείλεσι· Πορφυρίῳ γὰρ
πρώτῳ καὶ μούνῳ πᾶσαν ἔδωκε χάριν.

## XXV.

Εἰ φθόνος ἠρεμέοι, κρίνειν δ᾽ ἐθέλοιεν ἀέθλους,
πάντες Πορφυρίου μάρτυρές εἰσι πόνων.
καὶ τάχα καὶ φήσαιεν ἀριθμήσαντες ἀγῶνας·
Βαιὸν τοῦτο γέρας τοσσατίων καμάτων.
ὅσσα γὰρ ἡνιοχῆας ἀεὶ μεμερισμένα κοσμεῖ,
εἰς ἓν ἀολλίσσας τηλίκος ἐξεφάνη.

## XXVI.

Αἰδομένη χαλκῷ σε πόλις, τριπόθητε, γεραίρει·
ἤθελε γὰρ χρυσῷ· ἀλλ᾽ ἴδεν ἐς Νέμεσιν.
εἰ δὲ τεὴν μέλπων οὐ παύεται ἠθάδα νίκην
εὐγνώμων δῆμος, Πορφύριε, Πρασίνων,

ἔμπνοά σοι ξύμπαντες ἀγάλματα· πᾶς δὲ περισσὸς T. III.
καὶ χρυσὸς τούτοις εἰς ἔριν ἐρχόμενος.

## XXVII.

Οὔπω σοι μογέοντι Τύχη πόρεν ἄξια νίκης·
νῖκαι γὰρ τῆς σῆς μείζονες εὐτυχίης.
ἀλλὰ μέρει πρώτῳ σταθερῷ καὶ ἀρείονι μίμνοις
τὴν φθονερὴν τήκων δυσμενέων κραδίην,
οἳ σέθεν εἰσορόωντες ἀεὶ νικῶσαν ἱμάσθλην,
μέμφονται σφετέρην αἰὲν ἀτασθαλίην.

## XXVIII. p. 24.

Ἄλλοις μὲν γεράων πρόφασις χρόνος· οἱ δ' ἐπὶ νίκαις
κρινόμενοι πολιῆς οὐ χατέουσι κόμης,
ἀλλ' ἀρετῆς, ὅθεν εὖχος ἀνάπτεται. εἷς ἀπὸ τοίων
Πορφύριος δώρων δὶς λάχεν ἀγλαΐην,
οὐκ ἐτέων δεκάδας, νίκης δ' ἑκατοντάδας αὐχῶν
πολλὰς, καὶ πάσας συγγενέας Χαρίτων.

## XXIX.

Πρεσβυτέρους κοῦρος μὲν ἐὼν, πρέσβυς δέ τε κούρους
νικᾷς, τεθρίππων κέντορας ἀθλοφόρων.
ἓξ δ' ἐτέων ἀνύσας δεκάδας, στήλην ἐπὶ νίκαις
εἷλες, Καλλιόπα, νεύματι κοιρανίης,
ὄφρα μένοι καὶ ἔπειτα τεὸν κλέος· αἴθε τοι εἴη,
ὡς κλέος ἀθάνατον, καὶ δέμας ἀθάνατον.

## XXX.

Σῆς τόδε διφρελάτειρα τὸ χάλκεον ἄνθετο Νίκα
δείκηλον μορφᾶς, Καλλιόπα, ζαθέας,

T. III. πρέσβυς ἔτι σφριγόωντας ἐν ἱπποδάμῳ πλέον ἀλκῇ
νίκησας, γεραρὸς δ' ὢν νέος ἐν σοφίῃ.
ἔνθεν ἐλευθερόπαις Βενέτων σέο πήξατο δῆμος
δοιά, τὰ μὲν τέχνας, ἆθλα, τὰ δὲ, σθένεος.

## XXXI.

Σὸν γῆρας νεότητα τεὴν ὑπερέδραμε νίκαις,
καὶ πάντων κρατέεις πάντοτε, Καλλιόπα.
ἔνθεν ἄναξ καὶ δῆμος ἐλεύθερος αὖθις ἐγείρει
τοῦτο γέρας, σοφίης μνῆμα καὶ ἠνορέης.

## XXXII.

p. 25. Οὗτος, ἐγερσιθέατρε, τεὸς τύπος, ὃν τοι ἐγείρει
ἑσμὸς ἀριζήλων, Καλλιόπα, στεφάνων.
οὔτε γὰρ ἡνίοχός σε παρήπαφεν, οὔτε χαλινοῖς
δύστομος ἱππείη σοῖς ἀπίθησε γένυς.
μοῦνος δὴ νίκης γέρας ἄρνυσαι. ἦ παρὰ πᾶσι
δόξαν ἔχεις ἀέθλων ἆθλα λιπεῖν ἑτέροις.

## XXXIII.

Καλλιόπα κλυτόμοχθε, τί σοι πλέον, ὅττι γεραίρει
εἰκόνι χαλκοτύπῳ σοὺς βασιλεὺς καμάτους,
δῆμος ὁ μυριόφωνος, ὅλη πτόλις, εὖτε καὶ αὐτὴ
δυσμενέων παλάμη σοῖς ἐπένευσε πόνοις;

## ΕΙΣ ΦΑΥΣΤΙΝΟΝ. T. III.

### XXXIV.

Μητέρες εὐάθλων γεράων φρένες, οὐ κράτος ἥβης,
οὐ τάχος ἱπποσύνης, οὐ χρόνος εὐτυχίης.
Ἰλήκοι, Φαυστῖνε, τεὸς νόος, ᾧ τάδε πάντα
ἕσπεται, ᾧ Νίκη σύντροφος ἀθάνατος.

### XXXV.

Πρίν σε νέον, Φαυστῖνε, νέος πεφόβητο γερόντων·
νῦν δέ σε πρεσβυγενῆ κάρτος ἔφριξε νέων.
δεύτερα δ' εὕρετο πάντα τεὸς πόνος, ὅς σε γεραίρει
πρέσβυν ἐν ἠϊθέοις, ἐν δὲ γέρουσι νέον.

### XXXVI. P. 26.

Σκόπει τὸ δρᾶμα μηχανουργοῦ τοῦ δόμου.
εἰ μὴ γὰρ ἐστέγαστο καρτερᾷ σκέπῃ,
πρὸς οὐρανοὺς ἂν ᾤετο Φαυστῖνος τρέχων,
ὡς ζῶν σὺν ἵπποις, τὸ κλέος πρὶν Πρασίνων.
ἆρον στέγος γὰρ, καὶ φθανεῖ πρὸς αἰθέρα.

### XXXVII.

Φαυστῖνος οὗτος, ὁ πρὶν ἁρματηλάτης,
ὃν δῆμος εὑρὼν τοῦ μέρους τῶν Πρασίνων,
τὴν ἧτταν ἠγνόησε παντελῶς δρόμῳ.
γέρων μὲν ἦν γὰρ, ὡς βλέπεις· τὸ δὲ σθένος
ἦν τις νεάζων, οὐδ' ὅλως ἡττημένος.

T. III.

## ΕΙΣ ΚΩΝΣΤΑΝΤΙΝΟΝ.

### XXXVIII.

Χάλκεος οὐκ ἔστης βιόων ἔτι, Κωνσταντῖνε·
ἀντὶ γὰρ εὐκλείης ἤρκεσε βασκανίη.
ὡς δ' ἔθανες, τότε δή σε πόλις ξύμπασα γεραίρει
οἷς δύναται· τί δὲ σῆς ἄξιον ἱπποσύνης;

### XXXIX.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον Ἄϊδος εἴσω,
ᾤχετο σὺν κείνῳ πᾶν κλέος ἡνιόχων.

### XL.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον Ἄϊδος εἴσω
πλῆτο κατηφείης ἱπποσύνης στάδιον.
p. 27. τερπωλὴ δ' ἀπέλειπε θεήμονας· οὐ δ' ἐν ἀγυιαῖς
κείνας τὰς φιλίας ἐστὶν ἰδεῖν ἔριδας.

### XLI.

Χρύσεον ἀντ' ἀρετῆς γέρας ἔπρεπε Κωνσταντίνῳ,
οὐδένα τῆς τέχνης τοῖον ἐνεγκαμένης.
κουρίζων νίκησεν ἀειδομένους ἐλατῆρας·
γηραλέος δὲ νέους δεῖξεν ἀφαυροτέρους.
ὅντινα καὶ μετὰ πότμον ἀειμνήστῳ τινὶ θεσμῷ
δῆμος καὶ βασιλεὺς ἵδρυσαν ἁζόμενοι.

### XLII.

Εἰκόνα, Κωνσταντῖνε, τεὴν ἀνέθεντο πολῖται
μυρόμενοι, ψυχῆς τέρψιν ἀποιχομένης.
σοὶ κλέος ὁππότε δῆμος ἐπεσφρήγισσε θανόντι,
μνήσατο σῶν καμάτων καὶ μετὰ πότμον ἄναξ,

ὤνεκεν ἱπποσύνης φιλοκέρτομος ὤλετο τέχνη, T. III.

ἐν σοὶ παυσαμένη πᾶσα καὶ ἀρξαμένη.

## XLIII.

Εἰσέτι μὲν ζώοντι πόλις ποτὲ Κωνσταντίνῳ

εἰκόνα χαλκείην βαιὸν ἔκρινε γέρας.

ᾖδεε γὰρ πᾶς δῆμος ὅσους ἐπὶ κύδεϊ νίκης

αἰὲν ἀεθλεύων ἀμφέθετο στεφάνους.

ὡς δ' ἔθανεν, ποθέουσα, φίλου τύπον ἄνθετο τοῦδε,

ὄφρα καὶ ἐσσομένοις μνῆστιν ἔχοι καμάτων.

## XLIV.

Οἱ Βένετοι Πρασίνοισιν ἐναντίοι αἰὲν ἐόντες

εἰς ἓν ὁμοφροσύνης ἐξεβόησαν ὅρον,

ὥστε σε, Κωνσταντῖνε, λαβεῖν ἐπιτύμβιον εὖχος p. 28.

πᾶσιν ἀειδόμενον, πᾶσιν ἀρεσκόμενον.

## XLV.

Αντολίης, δύσιός τε, μεσημβρίης τε, καὶ ἄρκτου

σὰς δρόμας ὑψιφαὴς ἀμφιβέβηκεν ὅρους,

ἄφθιτε Κωνσταντῖνε. θανεῖν δέ σε μή τις ἐνίσπῃ·

τῶν γὰρ ἀνικήτων ἅπτεται οὐδ' Αΐδης.

## XLVI.

Εγγύθι τῆς σφετέρης γενεῆς λάχεν εἰκόνα τήνδε.

ἔπρεπε γὰρ τρισσοὺς τούσδ' ἕνα χῶρον ἔχειν,

οἳ καὶ ἐνὶ σταδίοις ἀρετῆς κλέος εἴκελον εὗρον,

νηρίθμων στεφάνων ἑσμὸν ἑλόντες ἴσον.

XLIII. 3. Scr. ᾔδει.

T. III.

## XLVII.

Τὸν Φαυστινιάδην πόλις ἄγθετο Κωνσταντῖνον,
γείτονα μὲν γενεῆς, κρέσσονα δ᾽ ἡνιόχων.
δὴν γὰρ ἀεθλεύσας οὐκ ἤμβροτεν, ἀλλ᾽ ἐπὶ νίκῃ
παύσατο, σὺν νίκῃ καὶ πάρος ἀρξάμενος,
ὃν καὶ κοῦρον ἐόντα παλαίτεροι ἡνιοχῆες
στεψάμενοι σταδίοις, εἶσαν ἀγωνοθέτην.

## XLVIII.

Σοὶ τόδε, Κωνσταντῖνε, τεὴ τροφὸς ὤπασε Νίκη,
παιδόθεν ἑσπομένη πᾶσαν ἐφ᾽ ἡλικίην.
πέντε γὰρ ἐν σταδίοις δεκάδας τελέσας ἐνιαυτῶν,
οὐδ᾽ ἴσον, οὐδ᾽ ὀλίγον εὗρεο λειπόμενον.
ἀλλ᾽ ἔτι κουρίζων τε καὶ ἄχνοος ἄνδρας ἐνίκας·
ἥλικας, ἡβήσας· γηραλέος δὲ, νέους.

p. 29.

## XLIX.

Ἤθελε Κωνσταντῖνον ἀεὶ πτόλις ἡνιοχεύειν,
ἤθελεν, ἀλλὰ πόθῳ οὐκ ἐπένευσε Φύσις.
ἔνθεν ἑῶν τόδ᾽ ἄγαλμα παραίφασιν εὗρεν ἐρώτων,
ὄφρα ἑ μὴ λήθη καὶ χρόνος ἀμφιβάλοι,
ἀλλὰ μένοι ποθέουσιν ἔρως, ζῆλος δ᾽ ἐλατῆρσι,
κόσμος δὲ σταδίοις, ἐσσομένοις δὲ φάτις.
καί τις ἰδὼν μετόπισθε χερείονας ἡνιοχῆας
ὀλβίσσει προτέρην, ἥ μιν ἴδεν, γενεήν.

## L.

Πέντε καὶ εἴκοσι μοῦνος ἀέθλια Κωνσταντῖνος
ἐς μίαν ἠριγένειαν ἑλὼν, ἤμειψε μὲν ἵππους

ἀντιπάλοις· κείνους δὲ λαβὼν, ὡς πρόσθεν ἐνίκα, T. III.
τοῖς αὐτοῖς πάλιν εἷλε μίαν τε καὶ εἴκοσι νίκας.
πολλάκι δ' ἀμφοτέρων μερέων ἔρις ἔμπεσε δήμῳ,
τίς μιν ἔχοι· κείνῳ δ' ἔδοσαν κρίσιν ἐκ δύο πέπλων.

## LI.

Ἔγρεο Κωνσταντῖνε. τί χάλκεον ὕπνον ἰαύεις;
σεῖο δίφρους ποθέει δῆμος ἐνὶ σταδίοις,
σῆς τε διδασκαλίης ἐπιδευέες ἡνιοχῆες
εἵαται ὀρφανικοῖς παισὶν ὁμοιότατοι.

## LII.

Λευκοῦ μεθέλκων ἡνίας Κωνσταντῖνος
ἂν μὴ καθεῖρκτο στεῤῥότητι τοῦ δόμου,
τοὺς τρεῖς ἐνίκα, πρῶτος αἰθέρα φθάνων,
πνοῆς ἄνευθεν εἶδες αἰθεροδρόμον.
τέχνη με πείθει τοῦτον ἔμπνοον βλέπειν.

## LIII.

Κωνσταντῖνός γ' ἦν, ἀλλὰ τοῖς πάλαι χρόνοις, p. 30.
λευκῆς χρόας τέθριππον ἕλκων εὐστρόφως.
ἀφ' οὗ δὲ τοῦτον ἥρπασεν Χάρων, ἔδυ
τὸ φῶς ἁμίλλης ἱππικῶν δρομημάτων,
καὶ πᾶσα τέρψις τοῦ θεάτρου, καὶ τέχνη.

LIII. 1. Scr. Κωνσταντῖνος. 3. Cod. Planud. ἥρπασε Χ.

T. III. ΕΙΣ ΟΥΡΑΝΙΟΝ.

LIV.

Σοὶ καὶ ἀεθλεύοντι μόνῳ, λήξαντί τ' ἀέθλων
τοῦτο γέρας Νίκη δὶς πόρεν, Οὐράνιε,
δήμου ἀπ' ἀμφοτέροιο. σὺ γὰρ πάρος ἐν Βενέτοις μὲν
εἴκοσι κυδίστων στέμμα φέρεις ἐτέων.
παύσαο δ' ἱπποσύνης· Πρασίνων δέ σε δίζετο δῆμος.
τοῖσδε σὺ μὲν νίκην· οἱ δ' ἄρα σοι τὸ γέρας.

LV.

Ἀμφοτέροις εἷς μοῦνος ἀριστεύσας παρὰ δήμοις
κῦδος ἀπ' ἀμφοτέρων ἔλλαχεν Οὐράνιος,
εἰσέτι διφρεύων. τὸ δέ οἱ γέρας ἤλυθε πρῶτον
ἐκ Πρασίνων, οἷς δὴ γείτονα χῶρον ἔχει.
αὐτοὶ καὶ σταδίοιο πεπαυμένον ἤγαγον αὖθις
ἐς δίφρους, νίκης μνωόμενοι προτέρης.

LVI.

Παυσάμενον σταδίων βασιλεὺς ἐπ' ἀγακλέϊ νίκῃ
αὖθις ὑπὲρ δίφρων βῆσεν ἀεθλοφόρων
p. 31. Οὐράνιον, δήμοισι φέρων χάριν· οὐ ποθέει γὰρ
ἡ πόλις Οὐρανίου νόσφιν ἀεθλοσύνας.
τοὔνεκα διφρεύοντα τὸ δεύτερον, ὑστατίης τε
νίκης καὶ προτέρης, στῆσεν ἀγασσαμένη.

LVII.

Ἶσον κυδαλίμοις Φαυστινιάδῃ τε, καὶ αὐτῷ
Φαυστίνῳ, βασιλεὺς στῆσε παρ' ἀμφοτέροις

Οὐράνιον, τῷ δῆμος ἀμετρήτους διὰ νίκας T. III.
ἠγαθέου Πέλοπος θῆκεν ἐπωνυμίην.
ΩΣ ΑΙΕΙ ΤΟΝ ΟΜΟΙΟΝ ΑΓΕΙ ΘΕΟΣ ΩΣ ΤΟΝ ΟΜΟΙΟΝ
τοῦσδέ τις εἰσορόων φθέγξεται ἀτρεκέως.

## LVIII.

Οὐράνιος Νίκαιαν ἔχει πέλας, ὁπλοτέρην τε
Ῥώμην, τῆς μὲν ἐών, τῇ δ' ἔνι κῦδος ἑλών.
νικᾷ δ' ἀμφοτέρωθεν, ἐπεὶ περιδέξιος ἦεν
τῇ καὶ τῇ προθέειν, ἠὲ παρεξελάαν.
τοὔνεκα καὶ χρυσέῳ μιν ἀνεγράψαντο μετάλλῳ,
κυδίστῳ κτεάνῳ κύδιμον ἡνίοχον.

---

## ΕΙΣ ΙΟΥΛΙΑΝΟΝ.

## LIX.

Τοῦτον Ἰουλιανὸν Τυρίης βλάστημα τιθήνης,
ἡνίοχον πολλοὺς δεξάμενον στεφάνους,
αὐτὸς ἄναξ, καὶ δῆμος ἅπας, καὶ πότνια βουλὴ
ἔστησαν, κοινὴν ψῆφον ἐνεγκάμενοι.
γήραϊ γὰρ σταδίων ἀπεπαύσατο· πᾶσι δὲ φίλτρον p. 32.
κάλλιπεν, οἷσιν ἔρως ἤνθεεν ἀντιπάλων.

## LX.

Χεὶρ οἶδε γεννᾷν τοὺς πάλαι τεθνηκότας.
Ἰουλιανὸς καὶ γὰρ ὡς πάλαι σθένει,
ἕλκων, μεθέλκων Ῥουσίου τὰς ἡνίας·
καὶ νῦν γραφεὶς ἕστηκεν ὑψοῦ σὺν δίφρῳ,
τὸ νεῦμα χεὶρ μένει δέ, τὴν νύσσαν δότε.

T. III.

## XXIII.

Υμετέρων κήρυκες ἀμεμφέες εἰσὶν ἀγώνων
οἱ καὶ ἀπ' ἀντιβίων, Πορφύριε, στέφανοι.
πάντας γὰρ σταδίοισιν ἀμοιβαδὸν αἰὲν ἐλέγχεις
ἀντιτέχνους, τῆς σῆς παίγνιον ἱπποσύνης.
τοὔνεκα καὶ ξεῖνον πρεσβήϊον εὕραο μοῦνος,
εἰκόνα χαλκείην δήμῳ ἐν ἀμφοτέρῳ.

## XXIV.

Πλάστης χαλκὸν ἔτευξεν ὁμοίϊον ἡνιοχῆϊ·
εἴθε δὲ καὶ τέχνης ὄγκον ἀπειργάσατο,
p. 23. ὄγκον ὁμοῦ καὶ κάλλος, ὅπερ φύσις ὀψὲ τεκοῦσα
ὤμοσεν· Ὠδίνειν δεύτερον οὐ δύναμαι.
ὤμοσεν εὐόρκοις ὑπὸ χείλεσι· Πορφυρίῳ γὰρ
πρώτῳ καὶ μούνῳ πᾶσαν ἔδωκε χάριν.

## XXV.

Εἰ φθόνος ἠρεμέοι, κρίνειν δ' ἐθέλοιεν ἀέθλους,
πάντες Πορφυρίου μάρτυρές εἰσι πόνων.
καὶ τάχα καὶ φήσαιεν ἀριθμήσαντες ἀγῶνας·
Βαιὸν τοῦτο γέρας τοσσατίων καμάτων.
ὅσσα γὰρ ἡνιοχῆας ἀεὶ μεμερισμένα κοσμεῖ,
εἰς ἓν ἀολλίσσας τηλίκος ἐξεφάνη.

## XXVI.

Αἰδομένη χαλκῷ σε πόλις, τριπόθητε, γεραίρει.
ἤθελε γὰρ χρυσῷ· ἀλλ' ἴδεν ἐς Νέμεσιν.
εἰ δὲ τεὴν μέλπων οὐ παύεται ἠθάδα νίκην
εὐγνώμων δῆμος, Πορφύριε, Πρασίνων,

ἔμπνοά σῷ ξύμπαντες ἀγάλματα· πᾶς δὲ περισσὸς T. III.
  καὶ χρυσὸς τύτοις εἰς ἔριν ἐρχόμενος.

XXVII.

Οὔπω σοι μογέοντι Τύχη πόρεν ἄξια νίκης·
  νῖκαι γὰρ τῆς σῆς μείζονες εὐτυχίης.
ἀλλὰ μέρει πρώτῳ ςαθερῷ καὶ ἀρείονι μίμνοις
  τὴν φθονερὴν τήκων δυσμενέων κραδίην,
οἳ σέθεν εἰσορόωντες ἀεὶ νικῶσαν ἱμάσθλην,
  μέμφονται σφετέρην αἰὲν ἀτασθαλίην.

XXVIII. p. 24.

Ἄλλοις μὲν γεράων πρόφασις χρόνος· οἱ δ' ἐπὶ νίκαις
  κρινόμενοι πολιῆς ὐ χατέυσι κόμης,
ἀλλ' ἀρετῆς, ὅθεν εὖχος ἀνάπτεται. εἷς ἀπὸ τοίων
  Πορφύριος δώρων δὶς λάχεν ἀγλαΐην,
ὐκ ἐτέων δεκάδας, νίκης δ' ἑκατοντάδας αὐχῶν
  πολλὰς, καὶ πάσας συγγενέας Χαρίτων.

XXIX.

Πρεσβυτέρυς κῦρος μὲν ἐὼν, πρέσβυς δέ τε κύρυς
  νικᾷς, τεθρίππων κέντορας ἀθλοφόρων.
ἓξ δ' ἐτέων ἀνύσας δεκάδας, ςήλην ἐπὶ νίκαις
  εἶλες, Καλλιόπα, νεύματι κοιρανίης,
ὄφρα μένοι καὶ ἔπειτα τεὸν κλέος· αἴθε τοι εἴη,
  ὡς κλέος ἀθάνατον, καὶ δέμας ἀθάνατον.

XXX.

Σῆς τόδε διφρελάτειρα τὸ χάλκεον ἄνθετο Νίκα
  δείκηλον μορφᾶς, Καλλιόπα, ζαθέας,

T. III. πρέσβυς ὅτι σφριγόωντας ἐν ἱπποδάμῳ πλέον ἀλκῇ
    νίκησας, γεραρὸς δ᾽ ὢν νέος ἐν σοφίῃ.
ἔνθεν ἐλευθερόπαις Βενέτων σέο πήξατο δῆμος
    δοιὰ, τὰ μὲν τέχνας, ἆθλα, τὰ δὲ, σθένεος.

## XXXI.

Σὸν γῆρας νεότητα τεὴν ὑπερέδραμε νίκαις,
    καὶ πάντων κρατέεις πάντοτε, Καλλιόπα.
ἔνθεν ἄναξ καὶ δῆμος ἐλεύθερος αὖθις ἐγείρει
    τοῦτο γέρας, σοφίης μνῆμα καὶ ἠνορέης.

## XXXII.

p. 25. Οὗτος, ἐγερσιθέατρε, τεὸς τύπος, ὅν τοι ἐγείρει
    ἑσμὸς ἀριζήλων, Καλλιόπα, στεφάνων.
οὔτε γὰρ ἡνίοχός σε παρήπαφεν, οὔτε χαλινοῖς
    δύσστομος ἱππείη σοῖς ἀπίθησε γένυς.
μοῦνος δὴ νίκης γέρας ἄρνυσαι. ἦ παρὰ πᾶσι
    δόξαν ἔχεις ἀέθλων ἆθλα λιπεῖν ἑτέροις.

## XXXIII.

Καλλιόπα κλυτόμοχθε, τί σοι πλέον, ὅττι γεραίρει
    εἰκόνι χαλκοτύπῳ σοὺς βασιλεὺς καμάτους,
δῆμος ὁ μυριόφωνος, ὅλη πτόλις, εὖτε καὶ αὐτὴ
    δυσμενέων παλάμη σοῖς ἐπένευσε πόνοις;

## ΕΙΣ ΦΑΥΣΤΙΝΟΝ.

T. III.

### XXXIV.

Μητέρες εὐάθλων γερόων φρένες, ἢ κράτος ἥβης,
ἢ τάχος ἱπποσύνης, ἢ χρόνος εὐτυχίης.
Ἰλήκοι, Φαυστῖνε, τεὸς νόος, ᾧ τάδε πάντα
ἕσπεται, ᾧ Νίκη σύντροφος ἀθάνατος.

### XXXV.

Πρίν σε νέον, Φαυστῖνε, νόος πεφόβητο γερόντων·
νῦν δέ σε πρεσβυγενῆ κάρτος ἔφριξε νέων.
δεύτερα δ' εὕρετο πάντα τεὸς πόνος, ὅς σε γεραίρει
πρέσβυν ἐν ἠϊθέοις, ἐν δὲ γέρουσι νέον.

### XXXVI.

P. 26.

Σκόπει τὸ δρᾶμα μηχανουργοῦ τοῦ δόμου.
εἰ μὴ γὰρ ἐστέγαστο καρτερᾷ σκέπῃ,
πρὸς οὐρανοὺς ἂν ὦρτο Φαύστινος τρέχων,
ὡς ζῶν, σὺν ἵπποις, τὸ κλέος πρὶν Πρασίνων.
ἄρον στέγος γὰρ, καὶ φθανεῖ πρὸς αἰθέρα.

### XXXVII.

Φαυστῖνος οὗτος, ὁ πρὶν ἁρματηλάτης,
ὃν δῆμος εὑρὼν τοῦ μέρους τῶν Πρασίνων,
τὴν ἧτταν ἠγνόησε παντελῶς δρόμῳ.
γέρων μὲν ἦν γὰρ, ὡς βλέπεις· τὸ δὲ σθένος
ἦν τις νεάζων, οὐδ' ὅλως ἡττημένος.

T. III.

## ΕΙΣ ΚΩΝΣΤΑΝΤΙΝΟΝ.

### XXXVIII.

Χάλκεος ὐκ ἔσης βιόων ἔτι Κωνςαντῖνε·
  ἀντὶ γὰρ εὐκλείης ἤρκεσε βασκανίη.
ὡς δ' ἔθανες, τότε δή σε πόλις ξύμπασα γεραίρει
  οἷς δύναται· τί δὲ σῆς ἄξιον ἱπποσύνης;

### XXXIX.

Εξότε Κωνςαντῖνος ἔδυ δόμον Αἴδος εἴσω,
  ᾤχετο σὺν κείνῳ πᾶν κλέος ἡνιόχων.

### XL.

Εξότε Κωνςαντῖνος ἔδυ δόμον Αἴδος εἴσω
  πλῆτο κατηφείης ἱπποσύνης ςάδιον.
p. 27. τερπωλὴ δ' ἀπέλειπε θεήμονας· ὐ δ' ἐν ἀγυιαῖς
  κείνας τὰς φιλίας ἐςὶν ἰδεῖν ἔριδας.

### XLI.

Χρύσεον ἀντ' ἀρετῆς γέρας ἔπρεπε Κωνςαντίνῳ,
  ὐδένα τῆς τέχνης τοῖον ἐνεγκαμένης.
κυρίζων νίκησεν ἀειδομένυς ἐλατῆρας·
  γηραλέος δὲ νέυς δεῖξεν ἀφαυροτέρυς.
ὅντινα καὶ μετὰ πότμον ἀειμνήςῳ τινὶ θεσμῷ
  δῆμος καὶ βασιλεὺς ἵδρυσαν ἀζόμενοι.

### XLII.

Εἰκόνα, Κωνςαντῖνε τεὴν ἀνέθεντο πολῖται
  μυρόμενοι, ψυχῆς τέρψιν ἀποιχομένης.
σοὶ κλέος ὁππότε δῆμος ἐπεσφρήγισσε θανόντι,
  μνήσατο σῶν καμάτων καὶ μετὰ πότμον ἄναξ,

οὕνεκεν ἱπποσύνης φιλοκέρτομος ὤλετο τέχνη, T. III.
ἐν σοὶ παυσαμένη πᾶσα καὶ ἀρξαμένη.

XLIII.

Εἰσέτι μὲν ζώοντι πόλις ποτὲ Κωνσταντίνῳ
εἰκόνα χαλκείην βαιὸν ἔκρινε γέρας.
ἤδεε γὰρ πᾶς δῆμος ὅσους ἐπὶ κύδεϊ νίκης
αἰὲν ἀεθλεύων ἀμφέθετο στεφάνους.
ὡς δ' ἔθανεν, ποθέουσα, φίλον τύπον ἄνθετο τῷδε,
ὄφρα καὶ ἐσσομένοις μνῆστιν ἔχοι καμάτων.

XLIV.

Οἱ Βένετοι Πρασίνοισιν ἐναντίοι αἰὲν ἐόντες
εἰς ἕν' ὁμοφροσύνης ἐξεβόησαν ὅρον,
ὥστε σε, Κωνσταντῖνε, λαβεῖν ἐπιτύμβιον εὖχος p. 28.
πᾶσιν ἀειδόμενον, πᾶσιν ἀρεσκόμενον.

XLV.

Ἀντολίης, δύσιός τε, μεσημβρίης τε, καὶ ἄρκτου
σὸς δρόμος ὑψιφαὴς ἀμφιβέβηκεν ὅρους,
ἄφθιτε Κωνσταντῖνε. θανεῖν δέ σε μή τις ἐνίσπῃ·
τῶν γὰρ ἀνικήτων ἅπτεται οὐδ' Ἀΐδης.

XLVI.

Ἐγγύθι τῆς σφετέρης γενεῆς λάχεν εἰκόνα τήνδε.
ἔπρεπε γὰρ τρισσοὺς τούσδ' ἕνα χῶρον ἔχειν,
οἳ καὶ ἐνὶ σταδίοις ἀρετῆς κλέος εἴκελον εὗρον,
νηρίθμων στεφάνων ἑσμὸν ἑλόντες ἴσον.

XLIII. 3. Scr. ᾔδει.

T. III.

## XLVII.

Τὸν Φαυστινιάδην πόλις ἄγαστο Κωνσταντῖνον,
γείτονα μὲν γενεῆς, κρέσσονα δ' ἡνιόχων.
δὴν γὰρ ἀεθλεύσας ὐκ ἤμβροτεν, ἀλλ' ἐπὶ νίκῃ
παύσατο, σὺν νίκῃ καὶ πάρος ἀρξάμενος,
ὃν καὶ κῦρον ἐόντα παλαίτεροι ἡνιοχῆες
στεψάμενοι σταδίοις, εἷσαν ἀγωνοθέτην.

## XLVIII.

Σοὶ τόδε, Κωνσταντῖνε, τεὴ τροφὸς ὤπασε Νίκη,
παιδόθεν ἑσπομένη πᾶσαν ἐφ' ἡλικίην.
πέντε γὰρ ἐν σταδίοις δεκάδας τελέσας ἐνιαυτῶν,
ὐδ' ἴσον, ὐδ' ὀλίγον εὕρεο λειπόμενον.
ἀλλ' ἔτι κυρίζων τε καὶ ἄχνοος ἄνδρας ἐνίκας,
ἥλικας, ἡβήσας· γηραλέος δὲ, νέυς.

p. 29.

## XLIX.

Ηθελε Κωνσταντῖνον ἀεὶ πτόλις ἡνιοχεύειν,
ἤθελεν, ἀλλὰ πόθῳ ὐκ ἐπένευσε Φύσις.
ἔνθεν ἑῶν τόδ' ἄγαλμα παραίφασιν εὗρεν ἐρώτων,
ὄφρα ἑ μὴ λήθη καὶ χρόνος ἀμφιβάλοι,
ἀλλὰ μένοι ποθέυσιν ἔρως, ζῆλος δ' ἐλατῆρσι,
κόσμος δὲ σταδίοις, ἐσσομένοις δὲ φάτις.
καί τις ἰδὼν μετόπισθε χερείονας ἡνιοχῆας
ὀλβίσσει προτέρην, ἥ μιν ἴδεν, γενεήν.

## L.

Πέντε καὶ εἴκοσι μῦνος ἀέθλια Κωνσταντῖνος
ἐς μίαν ἠριγένειαν ἑλὼν, ἤμειψε μὲν ἵππυς

ἀντιπάλοις· κείνους δὲ λαβὼν, ὡς πρόσθεν ἐνίκα, T. III.
τοῖς αὐτοῖς πάλιν εἷλε μίαν τε καὶ εἴκοσι νίκας.
πολλάκι δ' ἀμφοτέρων μερέων ἔρις ἔμπεσε δήμῳ,
τίς μιν ἔχοι· κείνῳ δ' ἔδοσαν κρίσιν ἐκ δύο πέπλων.

## LI.

Ἔγρεο Κωνσταντῖνε. τί χάλκεον ὕπνον ἰαύεις;
σεῖο δίφρους ποθέει δῆμος ἐνὶ σταδίοις,
σῆς τε διδασκαλίης ἐπιδευέες ἡνιοχῆες
εἴαται ὀρφανικοῖς παισὶν ὁμοιότατοι.

## LII.

Λευκοῦ μεθέλκων ἡνίας Κωνσταντῖνος
ἂν μὴ καθεῖρκτο στεῤῥότητι τοῦ δόμου,
τοὺς τρεῖς ἐνίκα, πρῶτος αἰθέρα φθάνων,
πνοῆς ἄνευθεν εἶδες αἰθεροδρόμον.
τέχνη με πείθει τοῦτον ἔμπνοον βλέπειν.

## LIII.

Κωνσταντῖνός γ' ἦν, ἀλλὰ τοῖς πάλαι χρόνοις, p. 30.
λευκῆς χρόας τέθριππον ἕλκων εὐστρόφως.
ἀφ' οὗ δὲ τοῦτον ἥρπασεν Χάρων, ἔδυ
τὸ φῶς ἁμίλλης ἱππικῶν δρομημάτων,
καὶ πᾶσα τέρψις τοῦ θεάτρου, καὶ τέχνη.

LIII. 1. Scr. Κωνσταντῖνος. 3. Cod. Planud. ἥρπασε χ.

T. III. ΕΙΣ ΟΥΡΑΝΙΟΝ.

LIV.

Σοὶ καὶ ἀεθλεύοντι μόνῳ, λήξαντί τ' ἀέθλων
τοῦτο γέρας Νίκη δὶς πόρεν, Οὐράνιε,
δήμου ἀπ' ἀμφοτέροιο. σὺ γὰρ πάρος ἐν Βενέτοις μὲν
εἴκοσι κυδίστων στέμμα φέρεις ἐτέων.
παύσαο δ' ἱπποσύνης· Πρασίνων δέ σε δίζετο δῆμος.
τοῖσδε σὺ μὲν νίκην· οἱ δ' ἄρα σοι τὸ γέρας.

LV.

Ἀμφοτέροις εἷς μοῦνος ἀριστεύσας παρὰ δήμοις
κῦδος ἀπ' ἀμφοτέρων ἔλλαχεν Οὐράνιος,
εἰσέτι διφρεύων. τὸ δέ οἱ γέρας ἤλυθε πρῶτον
ἐκ Πρασίνων, οἷς δὴ γείτονα χῶρον ἔχει.
αὐτοὶ καὶ σταδίοιο πεπαυμένον ἤγαγον αὖθις
ἐς δίφρους, νίκης μνωόμενοι προτέρης.

LVI.

Παυσάμενον σταδίων βασιλεὺς ἐπ' ἀγακλέϊ νίκῃ
αὖθις ὑπὲρ δίφρων βῆσεν ἀεθλοφόρων
p. 31. Οὐράνιον, δήμοισι φέρων χάριν· οὐ ποθέει γὰρ
ἡ πόλις Οὐρανίου νόσφιν ἀεθλοσύνας.
τοὔνεκα διφρεύοντα τὸ δεύτερον, ὑστατίης τε
νίκης καὶ προτέρης, στῆσεν ἀγασσαμένη.

LVII.

Ἶσον κυδαλίμοις Φαυστινιάδῃ τε, καὶ αὐτῷ
Φαυστίνῳ, βασιλεὺς στῆσε παρ' ἀμφοτέροις

Οὐράνιον, τῷ δῆμος ἀμετρήτους διὰ νίκας T. III.
ἠγαθέου Πέλοπος θῆκεν ἐπωνυμίην.
ΩΣ ΑΙΕΙ ΤΟΝ ΟΜΟΙΟΝ ΑΓΕΙ ΘΕΟΣ ΩΣ ΤΟΝ ΟΜΟΙΟΝ
τοῦσδε τις εἰσορόων φθέγξεται ἀτρεκέως.

## LVIII.

Οὐράνιος Νίκαιαν ἔχει πέλας, ὁπλοτέρην τε
Ῥώμην, τῆς μὲν ἐὼν, τῇ δ' ἔνι κῦδος ἑλών.
νικᾷ δ' ἀμφοτέρωθεν, ἐπεὶ περιδέξιος ἦεν
τῇ καὶ τῇ προθέειν, ἠὲ παρεξελάαν.
τοὔνεκα καὶ χρυσέῳ μιν ἀνεγράψαντο μετάλλῳ,
κυδίστῳ κτεάνῳ κύδιμον ἡνίοχον.

---

### ΕΙΣ ΙΟΥΛΙΑΝΟΝ.

## LIX.

Τοῦτον Ἰουλιανὸν Τυρίης βλάστημα τιθήνης,
ἡνίοχον πολλοὺς δεξάμενον στεφάνους,
αὐτὸς ἄναξ, καὶ δῆμος ἅπας, καὶ πότνια βουλὴ
ἔστησαν, κοινὴν ψῆφον ἐνεγκάμενοι.
γήραϊ γὰρ σταδίων ἀπεπαύσατο· πᾶσι δὲ φίλτρον p. 32.
κάλλιπεν, οἷσιν ἔρως ἤνθεεν ἀντιπάλων.

## LX.

Χεὶρ οἶδε γεννᾷν τοὺς πάλαι τεθνηκότας.
Ἰουλιανὸς καὶ γὰρ ὡς πάλαι σθένει,
ἕλκων, μεθέλκων Ῥουσίου τὰς ἡνίας·
καὶ νῦν γραφεὶς ἕστηκεν ὕψου σὺν δίφρῳ,
τὸ νεῦμα χεὶρ μένει δὲ, τὴν νύσσαν δότε.

T. III. LXI.

Ιυλιανὸς ἔτος ἅρμα Ρυσίυ
ἔχων ἐνίκα τῦς ἐναντίυς δρόμῳ.
ἀλλ' εἰ γραφεὺς παρεῖχε καὶ πνοῆς χάριν,
ἕτοιμός ἐςι καὶ πάλιν διφρηλάτης,
καὶ πρόσθεν ἐλθεῖν, καὶ λαβεῖν καὶ τὸ ςέφος.

ΕΙΣ ΕΥΣΕΒΙΟΝ.

LXII.

Ταύτην Εὐσεβίῳ Βυζαντιὰς εἰκόνα Ρώμη
πρὸς δισσαῖς ἑτέραις, εἵνεκεν ἱπποσύνης.
ὐ γὰρ ὅγ' ἀμφήριςον ἑλὼν ἐςέψατο νίκην,
ἀλλὰ πολὺ κρατέων ποσσὶ καὶ ἠνορέῃ.
τὕνεκεν ἀντιβίων ἔριν ἔσβεσεν· ἀλλὰ καὶ αὐτὴν
δήμυ τὴν προτέρην παῦσε διχοςασίην.

LXI. 5. Fort. λαβεῖν καινὸν ς.

FINIS TOMI TERTII.

# ANTHOLOGIA GRAECA

SIVE

# POETARVM GRAECORVM

LVSVS.

EX RECENSIONE BRVNCKII.

TOM. IV.

INDICES ET COMMENTARIVM

ADIECIT

FRIEDERICVS IACOBS.

LIPSIAE
IN BIBLIOPOLIO DYCKIO
MDCCXCIV.

PA 3458
A 2
1794
v. 4

# ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

T.III. p.33.

## I.

Καλὸν μὲν συγδεμνον ἔχειν νόον· εἰ δ' ἄρ' ἀνάγκη,
    ἀρσενικὴ φιλότης μή ποτέ σε κλονέοι.
Θηλυτέρας φιλέειν ὀλίγον κακὸν, οὕνεκα κείναις
    κυπριδίους ὀάρους πότνα δέδωκε φύσις.
δέρκεο τῶν ἀλόγων ζώων γένος. ἢ γὰρ ἐκείνων
    οὐδὲν ἀτιμάζει θέσμια συζυγίης.
ἄρσενι γὰρ θήλεια συνάπτεται· οἱ δ' ἀλεγεινοὶ
    ἄνδρες ἐς ἀλλήλους ξεῖνον ἄγουσι γάμον.

## II.

Αὐτή μοι Κυθέρεια καὶ ἱμερόεντες Ἔρωτες
    τήξουσι κενεὴν ἀχθόμενοι κραδίην,
ἄρσενας εἰ σπεύσω φιλέειν ποτέ. μήτε τυχήσω,
    μήτ' ἐπολισθήσω μείζοσιν ἀμπλακίαις.
ἄρκια θηλυτέρων ἀλιτήματα, κεῖνα κομίσσω,
    καλλείψω δὲ νέους ἄφρονι Πιτταλάκῳ.

## III.

Ποίην τις πρὸς ἔρωτας ἴοι τρίβον; ἐν μὲν ἀγυιαῖς
    μαχλάδος οἰμώξεις χρυσομανῆ σπατάλην.
εἰ δ' ἐπὶ παρθενικῆς πελάσεις λέχος, ἐς γάμον ἥξεις
    ἔννομον, ἢ ποινὰς τὰς περὶ τῶν φθορέων.

T.III.p.34. κουριδίαις δὲ γυναιξὶν ἀτερπέα κύπριν ἐγείρειν
τίς κεν ὑποτλαίη, πρὸς χρέος ἑλκόμενος;
μοίχια λέκτρα κάκιστα, καὶ ἔκτοθεν εἰσὶν ἐρώτων,
ὧν μέτα παιδομανὴς κείσθω ἀλιτροσύνη.
χήρη δ', ἡ μὲν ἄκοσμος ἔχει πάνδημον ἐραστὴν,
καὶ πάντα φρονέει δήνεα μαχλοσύνης·
ἡ δὲ σαοφρονέουσα μόλις φιλότητι μιγεῖσα
δέχνυται ἀστόργου κέντρα παλιμβολίης,
καὶ στυγέει τὸ τελεσθέν· ἔχουσα δὲ λείψανον αἰδοῦς
ἂψ ἐπὶ λυσιγάμους χάζεται ἀμβολίας.
ἢν δὲ μιγῇς ἰδίῃ θεραπαινίδι, τλῆθι καὶ αὐτὸς
δοῦλος ἐναλλάγδην δμωΐδι γινόμενος·
εἰ δὲ καὶ ὀθνείῃ, τότε σοι νόμος αἶσχος ἀνάψει,
ὕβριν ἀνιχνεύων σώματος ἀλλοτρίου.
πάντ' ἄρα Διογένης ἔφυγεν τάδε, τὸν δ' Ὑμέναιον
ἤειδεν παλάμῃ, Λαΐδος οὐ χατέων.

IV.

Εἰ φιλέεις, μὴ πάμπαν ὑποκλασθέντα χαλάσσῃς
θυμὸν ὀλισθηρῆς ἔμπλεον ἱκεσίης.
ἀλλά τι καὶ φρονέοις στεγανώτερον, ὅσσον ἐρύσσαι
ὀφρύας, ὅσσον ἰδεῖν βλέμματι φειδομένῳ.
ἔργον γάρ τι γυναιξὶν ὑπερφιάλους ἀθερίζειν,
καὶ κατακαγχάζειν τῶν ἄγαν οἰκτροτάτων.
κεῖνος δ' ἐστὶν ἄριστος ἐρωτικὸς, ὃς τάδε μίξει
οἶκτον ἔχων ὀλίγῃ ξυνὸν ἀγηνορίῃ.

V.

Σοὶ τόδε τὸ κρήδεμνον, ἐμὴ μνήστειρα, κομίζω,
χρυσεοπηνήτῳ λαμπόμενον γραφίδι.

βάλλε δὲ σοῖς πλοκάμοισιν· ἐφεσσαμένη δ' ὑπὲρ ὤμων T.III.p.35.
στήθει παλλεύκῳ τήνδε δὸς ἀμπεχόνην.
ναὶ ναὶ στήθει μᾶλλον, ὅπως ἐπιμάζιον εἴη
ἀμφιπεριπλέγδην εἰς σε κεδαννύμενον.
καὶ τόδε μὲν φορέοις ἅτε παρθένος· ἀλλὰ καὶ εὐνὴν
λεύσσοις, καὶ τεκέων εὔσταχυν ἀνθοσύνην,
ὄφρα σοι ἐκτελέσαιμι καὶ ἀργυφέην ἀναδέσμην,
καὶ λιθοκολλήτων πλέγματα κεκρυφάλων.

## VI.

Εἰργομένη φιλέειν με κατὰ στόμα δῖα Ῥοδάνθη
ζώνην παρθενικὴν ἐξετάνυσσε μέσην,
καὶ κείνην φιλέεσκεν· ἐγὼ δέ τις ὡς ὀχετηγὸς
ἀρχὴν εἰς ἑτέρην εἷλκον ἔρωτος ὕδωρ,
αὖ ἐρύων τὸ φίλημα· περὶ ζωστῆρα δὲ κούρης
μάσταξι ποππύζων, τηλόθεν ἀντεφίλουν.
ἦν δὲ πόνου καὶ τοῦτο παραίφασις. ἡ γλυκερὴ γὰρ
ζώνη πορθμὸς ἔην χείλεος ἀμφοτέρου.

## VII.

Η γραῦς ἡ τρικόρωνος, ἡ ἡμετέρους διὰ μόχθους
μαίρης ἀμβολίην πολλάκι δεξαμένη,
ἄγριον ἦτορ ἔχει, καὶ θέλγεται οὔτ' ἐπὶ χρυσῷ,
οὔτ' ἐπὶ ζωροτέρῳ μείζονι κισσυβίῳ.
τὴν κούρην δ' αἰεὶ περιδέρκεται. εἰ δέ ποτ' αὐτὴν
ἀθρήσει κρυφίοις ὄμμασι ῥεμβομένην,
ἆ μέγα τολμήεσσα, ῥαπίσμασιν ἀμφὶ πρόσωπα
πλήσσει τὴν ἁπαλὴν οἰκτρὰ κινυρομένην.

T. III. εἰ δ' ἐτεὸν τὸν Ἄδωνιν ἐφίλαο, Περσεφόνεια,
οἴκτειρον ξυνῆς ἄλγεα τηκεδόνος.
p. 36. ἔστω δ' ἀμφοτέροισι χάρις μία· τῆς δὲ γεραιῆς
ῥύεο τὴν κούρην, πρίν τι κακὸν παθέειν.

## VIII.

Ἡ γραῦς ἡ φθονερὴ παρεκέκλιτο γείτονι κούρῃ
δόχμιον ἐν λέκτρῳ νῶτον ἐρεισαμένη,
προβλὴς ὥστις ἔπαλξις ἀνέμβατος· οἷα δ' ἐπ' ἦρι
ἔσκεπε τὴν κούρην ἁπλοῒς ἐκταδίη.
καὶ σοβαρὴ θεράπαινα πύλας σφίγξασα μελάθρου
κεῖτο χαλικρήτῳ νάματι βριθομένη.
ἔμπης οὔ μ' ἐφόβησαν· ἐπεὶ στρεπτῆρα θυρέτρου
χερσὶν ἀδουπήτοις βαιὸν ἀειράμενος
φρυκτοὺς αἰθαλόεντας ἐμῆς ῥιπίσμασι λώπης
ἔσβεσα, καὶ διαδὺς λέχριος ἐν θαλάμῳ
τὴν φύλακα κνώσσουσαν ὑπέκφυγον. ἦκα δὲ λέκτρου
νέρθεν ὑπὸ σχοίνοις γαστέρι συρόμενος,
ὠρθούμην κατὰ βαιόν, ὅπῃ βατὸν ἔπλετο τεῖχος.
ἄγχι δὲ τῆς κούρης στέρνον ἐρεισάμενος,
μαζοὺς μὲν κρατέεσκον· ὑπεθρύφθην δὲ μετώπῳ
μάστακα πιαίνων χείλεος εὐαφίῃ.
ἦν δ' ἄρα μοι τὰ λάφυρα καλὸν στόμα, καὶ τὸ φίλημα
σύμβολον ἐννυχίης εἶχον ἀεθλοσύνης.
οὔπω δ' ἐξαλάπαξα φίλης πύργωμα κορείης·
ἀλλ' ἔτ' ἀδηρίτῳ σφίγγεται ἀμβολίῃ.

VIII. 3. Cod. οἷα δὲ πυρί.

ἔμπης ἣν ἑτέροιο μόθου στήσωμεν ἀγῶνα, T. III.
καὶ τάχα πορθήσω τείχεα παρθενίης,
οὐδ' ἔτι με σχήσουσιν ἐπάλξιες· ἢν δὲ τυχήσω,
στέμματά σοι πλέξω, Κύπρι τροπαιοφόρε.

## IX. p. 37.

Εξότε τηλεφίλου πλαταγήματος ἤχετο βόμβος
γαστέρα μαντώου μάξατο κισσυβίου,
ἔγνων ὡς φιλέεις με· τὸ δ' ἀτρεκὲς αὐτίκα πείσεις
εὐνῆς ἡμετέρης πάννυχος ἁπτομένη.
τοῦτό σε γὰρ δείξει πανάληθέα· τοὺς δὲ μεθυστὰς
καλλείψω λατάγων πλήγμασι τερπομένους.

## X.

Εἰς Αριάδνην κιθαριστρίδα.

Εἴ ποτε μὲν κιθάρης ἐπαφήσατο πλῆκτρον ἑλοῦσα
κούρη, Τερψιχόρης ἀντεμέλιζε μίτοις·
εἴ ποτε δὲ τραγικῷ ῥοιζήματι ῥήξατο φωνὴν,
αὐτῆς Μελπομένης βόμβον ἀπεπλάσατο.
εἰ δὲ καὶ ἀγλαΐης κρίσις ἵστατο, μᾶλλον ἂν αὐτὴ
Κύπρις ἐνικήθη, κἂν ἐδίκαζε Πάρις.
σιγῇ, ἐφ' ἡμείων, ἵνα μὴ Διόνυσος ἀκούσας
τῶν Αριαδνείων ζῆλον ἔχῃ λεχέων.

## XI.

Δισσῶν θηλυτέρων μοῦνός ποτε μέσσος ἐκείμην,
τῆς μὲν ἐφιμείρων, τῇ δὲ χαριζόμενος.
εἷλκε δέ μ' ἡ φιλέουσα· πάλιν δ' ἐγὼ, οἷά τε τις φὼς,
χείλεϊ φειδομένῳ τὴν ἑτέρην ἐφίλουν,

T. III. ΕΙΣ ΟΥΡΑΝΙΟΝ.

LIV.

Σοὶ καὶ ἀεθλεύοντι μόνῳ, λήξαντί τ᾽ ἀέθλων
τοῦτο γέρας Νίκη δὶς πόρεν, Οὐράνιε,
δήμου ἀπ᾽ ἀμφοτέροιο. σὺ γὰρ πάρος ἐν Βενέτοις μὲν
εἴκοσι κυδίστων στέμμα φέρεις ἐτέων.
παύσαο δ᾽ ἱπποσύνης· Πρασίνων δέ σε δίζετο δῆμος.
τοῖσδε σὺ μὲν νίκην· οἱ δ᾽ ἄρα σοι τὸ γέρας.

LV.

Ἀμφοτέροις εἷς μοῦνος ἀριστεύσας παρὰ δήμοις
κῦδος ἀπ᾽ ἀμφοτέρων ἔλλαχεν Οὐράνιος,
εἰσέτι διφρεύων. τὸ δέ οἱ γέρας ἤλυθε πρῶτον
ἐκ Πρασίνων, οἷς δὴ γείτονα χῶρον ἔχει.
αὐτοὶ καὶ σταδίοιο πεπαυμένον ἤγαγον αὖθις
ἐς δίφρους, νίκης μνωόμενοι προτέρης.

LVI.

Παυσάμενον σταδίων βασιλεὺς ἐπ᾽ ἀγακλέϊ νίκῃ
αὖθις ὑπὲρ δίφρων βῆσεν ἀεθλοφόρων
p. 31. Οὐράνιον, δήμοισι φέρων χάριν· οὐ ποθέει γὰρ
ἡ πόλις Οὐρανίου νόσφιν ἀεθλοσύνας.
οὕνεκα διφρεύοντα τὸ δεύτερον, ὑστατίης τε
νίκης καὶ προτέρης, στῆσεν ἀγασσαμένη.

LVII.

Ἶσον κυδαλίμοις Φαυστινιάδῃ τε, καὶ αὐτῷ
Φαυστίνῳ, βασιλεὺς στῆσε παρ᾽ ἀμφοτέροις

ἀθλήσειν, τῷ δῆμος ἐπιστεφέεσσιν ἰδὲ νίκας T. III.

ἡνιοχῆος Πέλοπος δῆμον ἐκαινοφόρει.

ΩΣ ΑΙΕΙ ΤΟΝ ΟΜΟΙΟΝ ΑΓΕΙ ΘΕΟΣ ΩΣ ΤΟΝ ΟΜΟΙΟΝ

πλάσε τις ἀμφοτέρων φθέγξεται ἀντιπάλους.

## LVIII.

Οὐρανίους Νίκωνα ἔχει πόλις, ὁπλοτέρην τε

Βαίτην, τῆς μὲν ἰδὼν, τῇ δ᾽ ἄν αὐτοὺς ἰδεῖν-

ικοῖς τ᾽ ἀμφοτέρωθεν, ὅσσα περιάξας ὅμο

τῇ καὶ τῇ προβῆναι, μὴ παρεξελάσαι.

εἵνεκα καὶ χρυσέω μιν ἐκοσμήσαντο μετάλλῳ,

καλλίστῳ στεφάνῳ κύδιμον ἡνίοχον.

---

## ΕΙΣ ΙΟΥΛΙΑΝΟΝ.

## LIX.

Τὸν Ἰουλιανὸν Τυρίης βλάστημα τιθήνης,

ἡνιόχων πολλοὺς δεξάμενον στεφάνους,

αὐτὸς ἄναξ, καὶ δῆμος ἄνακτος, καὶ πότνια βουλὴ

ἔστησαν, κοινὴν ψῆφον ἐνεγκάμενοι.

γηραιῷ γὰρ σταδίων ἀπεστείλαντο· τῷ δὲ φίλτρον p. [illegible]

κάλλιπεν, οἷον ἔρως ἤθελεν ἀντιπάλοις.

## LX.

Χαῖρε σὺ τῶν γραφέων τῆς πάλαι καθηγήτορες.

Ἰουλιανὸς καὶ γὰρ ὡς πάλαι ἀθλεῖ,

ἔλαμψε, μεθέλκων Ῥωμαίοις τοῖς ἡνίοις·

καὶ νῦν γραφεὶς ἕστηκεν ἄψυχος τὸν δίφρον,

τὸ σῶμα γὰρ μόνον δεῖ, τὴν νίκην ἔχει.

T. III.

## XVII.

Μήποτε λύχνε μύκητα φέροις, μηδ᾽ ὄμβρον ἐγείροις,
    μὴ τὸν ἐμὸν παύσῃς νυμφίον ἐρχόμενον.
αἰεὶ σὺ φθονέεις τῇ Κύπριδι, καὶ γὰρ ὅθ᾽ Ἡρὼ
    ἥρμοσε Λειάνδρῳ . . . θυμὲ, τὸ λοιπὸν ἔα.
p. 40. Ἡφαίϛου τελέθεις, ναὶ πείθομαι, ὅττι χαλέπτων
    Κύπριδα, θωπεύεις δεσποτικὴν ὀδύνην.

## XVIII.

[α] Τί ϛενάχεις; [β] φιλέω. [α] τίνα; [β] παρθένον. [α] ἦ ῥά γε καλήν;
    [β] καλὴν ἡμετέροις ὄμμασι φαινομένην.
[α] πῦ δέ μιν εἰσενόησας; [β] ἐκεῖ ποτὶ δεῖπνον ἐπελθὼν
    ξυνῇ κεκλιμένην ἔδρακον ἐν ϛιβάδι.
[α] ἐλπίζεις δὲ τυχεῖν; [β] ναὶ ναὶ φίλος· ἀμφαδίην δὲ
    ὐ ζητῶ φιλίην, ἀλλ᾽ ὑποκλεπτομένην.
[α] τὸν νόμιμον μᾶλλον φεύγεις γάμον· ἀτρεκὲς ἔγνων
    ὅ ττι γε τῶν κτεάνων πυλὺ τὸ λειπόμενον.
[β] ἔγνως. [α] ὐ φιλέεις, ἐψεύσαο. πῶς δύναται γὰρ
    ψυχὴ ἐρωμανέειν ὀρθὰ λογιζομένη;

## XIX.

Ἦ ῥά γε καὶ σὺ Φίλιννα φέρεις πόθον, ἦ ῥα καὶ αὐτὴ
    κάμνεις, αὐαλέοις ὄμμασι τηκομένη;
ἢ σὺ μὲν ὕπνον ἔχεις γλυκερώτατον, ἡμετέρης δὲ
    φροντίδος ὔτε λόγος γίνεται, ὔτ᾽ ἀριθμός;
εὑρήσεις τὰ ὅμοια, τεὴν δ᾽, ἀμέγαρτε, παρειὴν
    ἀθρήσω θαμινοῖς δάκρυσι τεγγομένην.
Κύπ?ις γὰρ τὰ μὲν ἄλλα παλίγκοτος· ἓν δὲ τι καλὸν
    ἔλλαχεν, ἐχθαίρει τὰς σοβαρευομένας.

T. III.

## XX.

Ἡ ῥαδινὴ Μελίτη ταναοῦ ἐπὶ γήραος οὐδῷ
τὴν ἀπὸ τῆς ἥβης οὐκ ἀπέθηκε χάριν.
ἀλλ' ἔτι μαρμαίρουσι παρηΐδες, ὄμμα δὲ θέλγον
οὐ λάθε· τῶν δ' ἐτέων ἡ δεκὰς οὐκ ὀλίγη.
μίμνει καὶ τὸ φρύαγμα τὸ παιδικόν· ἐνθάδε δ' ἔγνων p. 41.
ὅττι φύσιν νικᾷν ὁ χρόνος οὐ δύναται.

## XXI.

Σπεύδων εἰ φιλέει με μαθεῖν εὔωπις Ἐρευθώ,
πείραζον κραδίην πλάσματι κερδαλέῳ.
βήσομαι ἐς ξείνην τιν', ἔφην, χθόνα· μίμνε δὲ κούρη
ἄρτιπος, ἡμετέρου μνῆστιν ἔχουσα πόθου.
ἡ δὲ μέγ' ἐστονάχησε καὶ ἥλατο, καὶ τὸ πρόσωπον
πλῆξε, καὶ εὐπλέκτου βότρυν ἔρηξε κόμης,
καί με μένειν ἱκέτευσεν. ἐγὼ δέ τις ὡς βραδυπειθὴς
ὄμματι θρυπτομένῳ συγκατένευσα μένων.
ὄλβιος ἐς πόθον εἰμί. τὸ γὰρ μενέαινον ἀνύσσαι
πάντων, εἰς μεγάλην τοῦτο δέδωκα χάριν.

## XXII.

ΜΗΔΕΝ ΑΓΑΝ, σοφὸς εἶπεν. ἐγὼ δέ τις ὡς ἐπέραστος,
ὡς καλὸς, ἠέρθην ταῖς μεγαλοφροσύναις,
καὶ ψυχὴν δοκέεσκον ὅλην ἐπὶ χερσὶν ἐμεῖο
κεῖσθαι τῆς κούρης, τῆς τάχα κερδαλέης·
ἡ δ' ὑπερηέρθη, σοβαρὴν δ' ὑπερέσχεθεν ὀφρῦν,
ὥσπερ τοῖς προτέροις ἤθεσι μεμφομένη.

XXI. 8. Alii Codd. μένον, alii μόνον.

T. III. καὶ νῦν ὁ βλοσυρωπὸς, ὁ χάλκεος, ὁ βραδυπειθὴς,
ὁ πρὶν ἀερσιπότης, ἤριπον ἐξαπίνης,
πάντα δ' ἔναλλα γένοντο· πεσὼν δ' ἐπὶ γούνασι κούρης
ἴαχον· ΙΛΗΚΟΙΣ, ἬΛΙΤΕΝ Η ΝΕΟΤΗΣ.

## XXIII.

Ἠιθέοις οὐκ ἔστι τόσος πόνος, ὁππόσος ἡμῖν
ταῖς ἀταλοψύχοις ἔχραε θηλυτέραις.
p. 42. τοῖς μὲν γὰρ παρέασιν ὁμήλικες, οἷς τὰ μερίμνης
ἄλγεα μυθεῦνται φθέγματι θαρσαλέῳ,
παίγνιά τ' ἀμφιέπουσι παρήγορα, καὶ κατ' ἀγυιὰς
πλάζονται γραφίδων χρώμασι ῥεμβόμενοι·
ἡμῖν δ' οὐδὲ φάος λεύσσειν θέμις, ἀλλὰ μελάθροις
κρυπτόμεθα, ζοφεραῖς φροντίσι τηκόμεναι.

## XXIV.

Ἡμεῖς μὲν πατέοντες ἀπείρονα καρπὸν Ἰάκχου
ἄμμιγα βακχευτὴν ῥυθμὸν ἀνεπλέκομεν.
ἤδη δ' ἄσπετον οἶδμα κατέῤῥεεν· οἷα δὲ λέμβοι
κισσύβια γλυκερῶν νήχεθ' ὑπὲρ ῥοθίων,
οἷσιν ἀφυσσάμενοι σχέδιον ποτὸν ἤνομεν ἤδη,
θερμῶν Νηϊάδων οὐ μάλα δευόμενοι.
ἡ δὲ καλὴ ποτὶ ληνὸν ὑπερκύπτουσα Ῥοδάνθη
μαρμαρυγῇς κάλλους νᾶμα κατηγλάϊσε.
πάντων δ' ἐκδεδόνηντο θοαὶ φρένες, οὐδέ τις ἡμέων
ἦεν, ὃς οὐ Βάκχῳ δάμνατο καὶ Παφίῃ.
τλήμονες. ἀλλ' ὁ μὲν εἷρπε παραὶ ποσὶν ἄφθονος ἡμῖν·
τῆς δ' ἄρ' ὑπ' ἐλπωρῇ μοῦνον ἐπαιζόμεθα.

## XXV. T. III.

Πέραν διάγοντος τῆς πόλεως διὰ τὰ λύσιμα τῶν νόμων πρὸς Παῦλον Σιλεντιάριον.

Ἐνθάδε μὲν χλοάουσα τεθηλότι βῶλος ὀράμνῳ
φυλλάδος εὐκάρπου πᾶσαν ἔδειξε χάριν·
ἐνθάδε δὲ κλάζουσιν ὑπὸ σκιεραῖς κυπαρίσσοις
ὄρνιθες δροσερῶν μητέρες ὀρταλίχων·
καὶ λιγυρὸν βομβεῦσιν ἀκανθίδες· ἡ δ' ὀλολυγὼν
τρύζει, τρηχαλέαις ἐνδιάουσα βάτοις.
ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ σέο μῦθον ἀκούειν p. 43.
ἤθελον, ἢ κιθάρης κρούματα Δηλιάδος;
καί μοι δισσὸς ἔρως περικίδναται. εἰσοράαν γὰρ
καί σε μάκαρ ποθέω, καὶ γλυκερὴν δάμαλιν,
ἧς με περισμύχουσι μεληδόνες. ἀλλ' ἐμὲ θεσμοὶ
εἴργουσι ῥαδινῆς τηλόθι δορκαλίδος.

## XXVI.

Γαστέρα μὲν σεσάλακτο γέρων εὐώδεϊ Βάκχῳ
Οἰνοπίων, ἔμπης δ' οὐκ ἀπέθηκε δέπας·
ἀλλ' ἔτι διψώων ἰδίῃ κατεμέμφετο χειρὶ,
ὡς ἀπὸ κρητῆρος μηδὲν ἀφυσσαμένῃ.
οἱ δὲ νέοι ῥέγχουσι, καὶ οὐ σθένος οὐδ' ἀπ' ἀριθμοῦ
τὰς κύλικας γνῶναι τὰς ἔτι πινομένας.
πῖνε γέρον καὶ ζῆθι· μάτην δ' ἄρα θεῖος Ομηρος
τείρεσθαι πολιὴν ἐκ νεότητος ἔφη.

## XXVII.

Βασσαρὶς Εὐρυνόμη σκοπελοδρόμος, ἥ ποτε ταύρων
πολλὰ τανυκραίρων στέρνα χαραξαμένη,

XXV. 8. Cod. Vat. κρούσματα.

T. III. ἡ μέγα καγχάζουσα λεοντοφόνοις ἐπὶ νίκαις,
παίγνιον ἀτλήτου θηρὸς ἔχουσα κάρη,
ἱλήκοις Διόνυσε, τεῆς ἀμέλησα χορείης,
Κύπριδι βακχεύειν μᾶλλον ἐπειγομένη.
θῆκα δέ σοι τάδε ῥόπτρα, παραρρίψασα δὲ κισσὸν
χεῖρα περισφίγξω χρυσοδέτῳ σπατάλῃ.

## XXVIII.

Σοὶ, μάκαρ αἰγίκναμε, παράκτιον ἐς περιωπὰν
τὸν τράγον ἐκ δισσᾶς ἄνθετο θηροσύνας.
p. 44. σοὶ γὰρ κασορίδων ὕλακὰ καὶ τρίςομος αἰχμὰ
εὔαδε, καὶ ταχινῆς ἔργα λαγοσφαγίης,
δίκτυά τ' ἐν ῥοθίοις ἀπλούμενα, καὶ καλαμευτὰς
κάμνων, καὶ μογερῶν πεῖσμα σαγηνοβόλων.
ἄνθετο δὲ Κλεόνικος, ἐπεὶ καὶ πόντιον ἄγραν
ἄνυε, καὶ πτῶκας πολλάκις ἐξεσόβει.

## XXIX.

Δικραίρῳ δικέρωτα, δασύκνάμῳ δασυχαίταν,
ἴξαλον εὐσκάρθμῳ, λόχμιον ὑλοβάτᾳ,
Πανὶ φιλοσκοπέλῳ λάσιον παρὰ πρῶνα Χαρικλῆς
κνακὸν ὑπηνήταν τόνδ' ἀνέθηκε τράγον.

## XXX.

Χαλκὸν ἀροτρητῆν, κλασιβώλακα, νειοτομῆα,
καὶ τὴν ταυροδέτιν βύρσαν ἐπαυχενίην,
καὶ βούπληκτρον ἄκαιναν, ἐχετλήεντά τε γόμφον
Δηοῖ Καλλιμένης ἄνθετο γειοπόνος,

XXVIII. 2. Codd. τὸν τράγον ὡς δὶς σᾶς ἄγετ' ἀθηροσύνας.

τμήξας εὐαρότου ῥάχιν ὀργάδος· εἰ δ᾽ ἐπινεύσεις T. III.
  τὸν στάχυν ἀμῆσαι, καὶ δρεπάνην κομίσω.

## XXXI.

Πορφυρὶς ἡ Κνιδίη τὰ στέμματα, καὶ τὸ δίθυρσον
  τοῦτο τὸ λογχωτὸν, καὶ τὸ περισφύριον,
οἷς ἀνέδην βάκχευεν, ὅτ᾽ ἐς Διόνυσον ἐφοίτα
  κισσωτὴν στέρνοις νεβρίδ᾽ ἀναπτομένη,
αὐτῷ σοὶ, Διόνυσε, πρὸ παστάδος ᾐώρησε
  ταῦτα τὰ τοῦ κάλλευς κόσμια καὶ μανίης.

## XXXII.

Τῇ Παφίῃ στεφάνους, τῇ Παλλάδι τὴν πλοκαμῖδα, p. 45.
  Ἀρτέμιδι ζώνην ἄνθετο Καλλιρόη.
εὕρατο γὰρ μνηστῆρα τὸν ἤθελε, καὶ λάχεν ἥβην
  σώφρονα, καὶ τεκέων ἄρσεν ἔτικτε γένος.

## XXXIII.

Σὸς πόσις Ἀγχίσης, τοῦ εἵνεκα πολλάκι, Κύπρι,
  τοπρὶν ἐς Ἰδαίην ἔτρεχες ἠϊόνα,
νῦν μόλις εὗρε μέλαιναν ἀπὸ κροτάφων τρίχα κόψας,
  θῆκε δέ σοι προτέρης λείψανον ἡλικίας·
ἀλλὰ θεὰ, δύνασαι γὰρ, ἢ ἡβητῆρά με τεῦξον,
  ἢ καὶ τὴν πολιὴν ὡς νεότητα δέχου.

## XXXIV.

Δαφνιακῶν βίβλων Ἀγαθίου ἐννεάς εἰμι·
  ἀλλά μ᾽ ὁ τεκτήνας ἄνθετό σοι, Παφίη.
οὐ γὰρ Πιερίδεσσι τόσον μέλω, ὅσσον Ἔρωτι,
  ὄργια τοσσατίων ἀμφιέπουσα πόθων.

XXXIV. 1. Vat. Cod. Ἀγαθίας ἐννεάς.

T. III. ἡ μέγα καγχάζουσα λεοντοφόνοις ἐπὶ νίκαις,
παίγνιον ἀτλήτου θηρὸς ἔχουσα κάρη,
ἠλήκοις Διόνυσε, τεῆς ἀμέλησα χορείης,
Κύπριδι βακχεύειν μᾶλλον ἐπειγομένη.
θῆκα δέ σοι τάδε ῥόπτρα, παραῤῥίψασα δὲ κισσὸν
χεῖρα περισφίγξω χρυσοδέτῳ σπατάλῃ.

## XXVIII.

Σοὶ, μάκαρ αἰγίκναμε, παράκτιον ἐς περιωπὰν
τὸν τράγον ἐκ δισσᾶς ἄνθετο θηροσύνας.
p. 44. σοὶ γὰρ κασορίδων ὑλακὰ καὶ τρίςομος αἰχμὰ
εὔαδε, καὶ ταχινῆς ἔργα λαγοσφαγίης,
δίκτυά τ' ἐν ῥοθίοις ἀπλύμενα, καὶ καλαμευτὰς
κάμνων, καὶ μογερῶν πεῖσμα σαγηνοβόλων.
ἄνθετο δὲ Κλεόνικος, ἐπεὶ καὶ πόντιον ἄγραν
ἄνυε, καὶ πτῶκας πολλάκις ἐξεσόβει.

## XXIX.

Δικραίρῳ δικέρωτα, δασύκνάμῳ δασυχαίταν,
ἴξαλον εὐσκάρθμῳ, λόχμιον ὑλοβάτᾳ,
Πανὶ φιλοσκοπέλῳ λάσιον παρὰ πρῶνα Χαρικλῆς
κνακὸν ὑπηνήταν τόνδ' ἀνέθηκε τράγον.

## XXX.

Χαλκὸν ἀροτρητῆν, κλασιβώλακα, νειοτομῆα,
καὶ τὴν ταυροδέτιν βύρσαν ἐπαυχενίην,
καὶ βούπληκτρον ἄκαιναν, ἐχετλήεντά τε γόμφον
Δηοῖ Καλλιμένης ἄνθετο γειοπόνος,

XXVIII. 2. Codd. τὸν τράγον ἐκ δὶς σᾶς ἄγετ' ἀθηροσύνας.

τμήξας εὐαρότου ῥάχιν ὀργάδος· εἰ δ' ἐπινεύσεις τὸν στάχυν ἀμῆσαι, καὶ δρεπάνην κομίσω. T. III.

XXXI.

Πορφυρὶς ἡ Κνιδίη τὰ στέμματα, καὶ τὸ δίθυρσον
τοῦτο τὸ λογχωτὸν, καὶ τὸ περισφύριον,
οἷς ἀνέδην βάκχευεν, ὅτ' ἐς Διόνυσον ἐφοίτα
κισσωτὴν στέρνοις νεβρίδ' ἀναπτομένη,
αὐτῷ σοὶ, Διόνυσε, πρὸ παστάδος ἠώρησε
ταῦτα τὰ τοῦ κάλλευς κόσμια καὶ μανίης.

XXXII. p. 45.

Τῇ Παφίῃ στεφάνους, τῇ Παλλάδι τὴν πλοκαμῖδα,
Ἀρτέμιδι ζώνην ἄνθετο Καλλιρόη.
εὕρατο γὰρ μνηστῆρα τὸν ἤθελε, καὶ λάχεν ἥβην
σώφρονα, καὶ τεκέων ἄρσεν ἔτικτε γένος.

XXXIII.

Σὸς πόσις Ἀγχίσης, τοῦ εἵνεκα πολλάκι, Κύπρι,
τοπρὶν ἐς Ἰδαίην ἔτρεχες ἠϊόνα,
νῦν μόλις εὗρε μέλαιναν ἀπὸ κροτάφων τρίχα κόψαι,
θῆκε δέ σοι προτέρης λείψανον ἡλικίας.
ἀλλὰ θεὰ, δύνασαι γὰρ, ἢ ἡβητῆρά με τεῦξον,
ἢ καὶ τὴν πολιὴν ὡς νεότητα δέχου.

XXXIV.

Δαφνιακῶν βίβλων Ἀγαθίου ἐννεάς εἰμι·
ἀλλά μ' ὁ τεκτήνας ἄνθετό σοι, Παφίη.
οὐ γὰρ Πιερίδεσσι τόσον μέλω, ὅσσον Ἔρωτι,
ὄργια τοσσατίων ἀμφιέπουσα πόθων.

XXXIV. 1. Vat. Cod. Ἀγαθίας ἐννεάς.

T. III. αἰτεῖ δ᾽ ἀντὶ πόνων, ἵνα οἱ διὰ σεῖο παρείη
ἤ τινα μὴ φιλέειν, ἢ ταχὺ πειθομένην.

## XXXV.

Εἰς εἰκόνα Αἰσώπου.

Εὖγε ποιῶν. Λύσιππε γέρων, Σικυώνιε πλάστα,
δείκελον Αἰσώπου στήσαο τοῦ Σαμίου
ἑπτὰ σοφῶν ἔμπροσθεν, ἐπεὶ κεῖνοι μὲν ἀνάγκην
ἔμβαλον, οὐ πειθώ, φθέγμασι τοῖς σφετέροις·
p. 46. ὃς δὲ σοφοῖς μύθοις καὶ πλάσμασι καίρια λέξας,
παίζων ἐν σπουδῇ, πείθει ἐχεφρονέειν.
φευκτὸν δ᾽ ἡ τρηχεῖα παραίνεσις· ἡ Σαμίου δὲ
τὸ γλυκὺ τοῦ μύθου καλὸν ἔχει δέλεαρ.

## XXXVI.

Εἰς εἰκόνα Πλουτάρχου.

Σεῖο πολυκλήεντα τύπον στῆσαν, Χαιρωνεῦ
Πλούταρχε, κρατερῶν υἷες Αὐσονίων,
ὅττι παραλλήλοισι βίοις Ἕλληνας ἀρίστους
Ῥώμης εὐπολέμοις ἥρμοσας ἐνναέταις.
ἀλλὰ τεοῦ βιότοιο παράλληλον βίον ἄλλον
οὐδὲ σύ γ᾽ ἂν γράψαις· οὐ γὰρ ὅμοιον ἔχεις.

## XXXVII.

Ἄσπορα Πὰν λοφιῆτα τάδε Στρατόνικος ἀροτρεὺς
ἀντ᾽ εὐεργεσίης ἄνθετό σοι τεμένη.
βόσκε δ᾽, ἔφη, χαίρων τὰ σὰ ποίμνια, καὶ σέο χώρην
δέρκεο, τὴν χαλκῷ μηκέτι τεμνομένην.
αἴσιον εὑρήσεις τόδ᾽ ἐπαύλιον. ἐνθάδε γάρ σοι
Ἠχὼ τερπομένη καὶ γάμον ἐκτελέσει.

T. III.

## XXXVIII.

Ἄσκοπον Ἀγγελίαρχον, ἀσώματον εἴδεϊ μορφῆς
    ἆ μέγα τολμήεις κηρὸς ἀπεπλάσατο.
ἔμπης οὐκ ἀχάριστον, ἐπεὶ βροτὸς εἰκόνα λεύσσων
    θυμὸν ἀπιθύνει κρείσσονι φαντασίῃ.
οὐκέτι δ' ἀλλοπρόσαλλον ἔχει σέβας, ἀλλ' ἐν ἑαυτῷ
    τὸν τύπον ἐγγράψας, ὡς παρεόντα τρέμει.
ὄμματα δ' ὀτρύνουσι βαθὺν νόον· οἶδε δὲ τέχνη
    χρώμασι πορθμεῦσαι τὴν φρενὸς ἱκεσίην. p. 47.

## XXXIX.

Εὐστάθιε, γλυκερὸν μὲν ἔχεις τύπον. ἀλλά σε κηρὸν
    δέρκομαι, οὐδ' ἔτι σοι κεῖνο τὸ λαρὸν ἔπος
ἕζεται ἐν στομάτεσσι· τεὴ δ' εὐάνθεμος ἥβη,
    αἲ αἶ, μαψιδίη νῦν χθονός ἐστι κόνις.
πέμπτου καὶ δεκάτου γὰρ ἐπιψαύσας ἐνιαυτοῦ
    τετράκις ἓξ μοῦνους ἔδρακες ἠελίους.
οὐδὲ τεοῦ πάππου θρόνος ἤρκεσεν, οὐ γενετῆρος
    ὄλβος. πᾶς δὲ τεὴν εἰκόνα δερκόμενος
τὴν ἄδικον Μοῖραν καταμέμφεται, οὕνεκα τοίην,
    ἆ μέγα νηλειής, ἔσβεσεν ἀγλαΐην.

## XL.

Εἰς εἰκόνα ἀνατεθεῖσαν ἐν τοῖς Πλακιδίας ὑπὸ τῶν τοῦ νέου σκρινίου.

Θωμᾶν παμβασιλῆος ἀμεμφέα κηδεμονῆα
    ἄνθεσαν οἱ τὸ νέον τάγμα μετερχόμενοι
θεσπεσίης ἄγχιστα συνωρίδος, ὄφρα καὶ αὐτῇ
    εἰκόνι χῶρον ἔχῃ γείτονα κοιρανίης.

T. III. αὐτὸς γὰρ ζαθέοιο θρόνους ὕψωσε μελάθρου
πλοῦτον ἀεξήσας, ἀλλὰ μετ' εὐσεβίης.
εὔγνωμον τὸ πόνημα. τί γὰρ γραφὶς οἶδεν ὀπάσσαι,
εἰ μὴ τοῖς ἀγαθοῖς μνῆστιν ὀφειλομένην;

## XLI.

Μαχλὰς ἐγὼ γενόμην Βυζαντίδος ἔνδοθι Ῥώμης,
ὠνητὴν φιλίην πᾶσι χαριζομένη·
p. 48. εἰμὶ δὲ Καλλιρόη πολυδαίδαλος, ἣν ὑπ' ἔρωτος
οἰστρηθεὶς Θωμᾶς τῇδ' ἔθετο γραφίδι,
δεικνὺς ὅσσον ἔχει πόθον ἐν φρεσίν. ἶσα γὰρ αὐτῷ
κηρῷ τηκομένῳ τήκεταί οἱ κραδίη.

## XLII.

Οὔπω ἐπισταμένην τάχα κύμβαλα χερσὶ τινάξαι
Βάκχην αἰδομένην στήσατο λαοτύπος.
οὕτω γὰρ προνένευκεν. ἔοικε δὲ τοῦτο βοώσῃ·
Ἔξιτε, καὶ παταγῶ μηδενὸς ἱσταμένου.

## XLIII.

Εἰς εἰκόνα τινὸς σοφιστοῦ ἐν Περγάμῳ ἀνατεθεῖσαν ἐπὶ πρεσβείᾳ πολιτικῇ.

Τὰς μὲν ὑπὲρ μύθων τε καὶ εὐτροχάλοιο μελίσσης
εἰκόνας ἱλήκοις δηρὸν ὀφειλόμενος·
νῦν δ' ὑπὲρ ἱδρώτων τε καὶ ἀστυόχοιο μερίμνης
τῇδέ σε τῇ γραφίδι στήσαμεν, Ἡράκλαμον.
εἰ δ' ὀλίγον τὸ γέρας, μὴ μέμφεο· τοῖσδε γὰρ ἡμεῖς
αἰεὶ τοὺς ἀγαθοὺς ἄνδρας ἀμειβόμεθα.

## XLIV.

T. III.

Εἰς εἰκόνα ἐν ᾗ Ἱππόλυτος διαλέγεται τῇ τροφῷ τῆς Φαίδρας.

Ἱππόλυτος τῆς γρηὸς ἐπ' οὔατι νηλέα μῦθον
 φθέγγεται· ἀλλ' ἡμεῖς οὐ δυνάμεσθα κλύειν.
ὅσσον δ' ἐκ βλεφάροιο μεμηνότος ἐστὶ νοῆσαι,
 ὅ ττι παρεγγυάᾳ μηκέτ' ἄθεσμα λέγειν.

## XLV.

p. 49.

Εἰς εἰκόνα σατύρου πρὸς τῇ ἀκοῇ τὸν αὐλὸν ἔχοντος καὶ ὥσπερ ἀκροωμένου.

Αὐτομάτως, Σατυρίσκε, δόναξ τεὸς ἦχον ἰάλλει,
 ἢ τί παρακλίνας οὔας ἄγεις καλάμῳ;
ὃς δὲ γελῶν σίγησεν· ἴσως δ' ἂν φθέγξατο μῦθον,
 ἀλλ' ὑπὸ τερπωλῆς εἴχετο ληθεδόνι.
οὐ γὰρ κηρὸς ἔρυκεν· ἑκὼν δ' ἠσπάζετο σιγὴν,
 θυμὸν ὅλον τρέψας πηκτίδος ἀσχολίῃ.

## XLVI.

Εἰς κῆπον παράλιον.

Εἶξον ἐμοὶ Δάφνης ἱερὸν κλέτας, ἔκτοθι πόντου
 κείμενον, ἀγραύλου κάλλος ἐρημοσύνας.
ἐνθάδε γὰρ Νύμφαι δενδρίτιδες, αἵ τ' ἐνὶ πόντῳ
 Νηρεΐδες ξυνὴν θέντο συνηλυσίην.
ἀμφ' ἐμὲ γὰρ μάρναντο· δίκασσε δὲ Κυανοχαίτης,
 καί με παρ' ἀμφοτέραις μέσσον ἔθηκεν ὅρον.

## XLVII.

Εἰς λουτρὸν ἐν Βυζαντίῳ ἔχον Ἀφροδίτην λουομένην.

Νῦν ἔγνων, Κυθέρεια, πόθεν νίκησας ἀγῶνα,
 τὴν πρὶν Ἀλεξάνδρου ψῆφον ὑφαρπαμένη.

XLVII. 2. Cod. Vat. ὑπαρπαμένη.

T. III. ἐνθάδε γὰρ τέγγουσα τεὸν δέμας, εὗρες ἐλέγξαι
Ἥρην Ἰναχίοις χεύμασι λουσαμένην.
νίκησεν τὸ λοετρόν· ἔοικε δὲ τοῦτο λεγούσῃ
Παλλάς· Ἐνικήθην ὕδασιν, οὐ Παφίῃ.

p. 50. XLVIII.

Εἰς τὰ θερμὰ τὰ Ἀγαμεμνόνεια ἐν Σμύρνῃ.

Χῶρος ἐγὼ Δαναοῖς μεμελημένος, ἔνθα μολόντες
τῆς Ποδαλειρείης ἐξελάθοντο τέχνης.
ἕλκεα γὰρ μετὰ δῆριν ἐμοῖς ἀκέσαντο ῥεέθροις,
βαρβαρικῆς λόγχης ἰὸν ἀπωσάμενοι.
ἔνθεν ἀεξήθην ὀροφηφόρος· ἀντὶ δὲ τιμῆς
τὴν Ἀγαμεμνονέην εὗρον ἐπωνυμίην.

XLIX.

Εἰς τὰ παλάτια Σοφιανῶν.

Ὀππόθι τεμνομένης χθονὸς ἄνδιχα πόντον ἀνοίγει
πλαγκτὸς ἀλικλύστων πορθμὸς ἐπ' ἠϊόνων,
χρύσεα συλλέκτρῳ τάδ' ἀνάκτορα θῆκεν ἀνάσσῃ
τῇ πολυκυδίστῃ θεῖος ἄναξ Σοφίῃ.
ἄξιον, ὦ Ῥώμη μεγαλοκρατὲς, ἀντία σεῖο
κάλλος ἀπ' Εὐρώπης δέρκεαι εἰς Ἀσίην.

L.

Εἰς οἶκον ἐν ὕψει κείμενον ἐν Βυζαντίῳ.

Τῆς Ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.
ἔννεπεν Ἀσκραῖος, δῶμα τόδε προλέγων.
κλίμακα γὰρ ταναὴν περόων κεκαφηότι ταρσῷ,
ἱδρῶτι πλαδαρὴν ἀμφεδίηνα κόμην·

ὑψόθι δ' εἰσενόησα θαλασσαίην περιωπήν.
καὶ τάχα τῆς Ἀρετῆς πιστότατος θάλαμος.

## LI. p. 51.

Εἰς οἶκον ἐν Βυζαντίῳ.

Τεῦξέ με πολλὰ καμὼν Μυσώνιος, οἶκον ἀγητὸν
τηλίκον, ἀρκτῴοις ἄσθμασι βαλλόμενον.
ἔμπης οὐκ ἀπέειπεν ἀφεγγέα δώματα Μοίρης,
ἀλλά με καλλείψας ἐν χθονὶ ναιετάει.
καί ῥ' ὁ μὲν εἰς ὀλίγην κεῖται κόνιν· ἡ δὲ περισσὴ
τέρψις ἐπὶ ξείνοις ἀνδράσιν ἐκκέχυται.

## LII.

Εἰς τὰ σωτήρια ἐν Μυρίνῃ ἐν προαστείῳ.

Χῶρος ἐγὼ τοπρὶν μὲν ἔην συγερωπὸς ἰδέσθαι,
πηλοδόμοις τοίχοις ἀμφιμεριζόμενος.
ἐνθάδε δὲ ξείνων τε καὶ ἐνδαπίων καὶ ἀγροίκων
νηδὺς ἐπεγδούπει λύματα χευομένη.
ἀλλὰ πατήρ με πόληος ἐναλλάξας Ἀγαθίας
θῆκεν ἀρίζηλον τὸν πρὶν ἀτιμότατον.

## LIII.

Εἰς τὰ αὐτά.

Πᾶν τὸ βροτῶν σπατάλημα, καὶ ἡ πολύολβος ἐδωδὴ
ἐνθάδε κρινομένη τὴν πρὶν ὄλεσσε χάριν.
οἱ γὰρ φασιανοί τε καὶ ἰχθύες, αἵ θ' ὑπὲρ ἴγδιν
τρίψιες, ἥ τε τόση βρωματομιξοπάτη
γίνεται ἐνθάδε κόπρος. ἀποσσεύει δ' ἄρα γαστὴρ
ὁππόσα πεινάλεη δέξατο λαυκανίη.

L. 6. Vat. Cod. πιστότατον. Fort. πιστότατον θάλαμον, minore diſtinctione poſita in fine praec. verſ.

Y. III. ὀψὲ δὲ γινώσκει τις, ὅτ' ἄφρονα μῆτιν ἀείρων
χρυσοῦ τοσσατίου τὴν κόνιν ἐπρίατο.

p. 52.

## LIV.

Εἰς τὰ αὐτά.

Τί στενάχεις κεφαλὴν κεκακωμένος; ἐς τί δὲ πικρὰ
οἰμώζεις, μελέων πάγχυ βαρυνομένων;
ἐς τί δὲ γαστέρα σεῖο ῥαπίσμασιν ἀμφιπατάσσεις,
ἐκθλίψαι δοκέων μάστακος ἐργασίην;
μόχθων τοσσατίων οὔ σοι χρέος, εἰ παρὰ δαιτὶ
μὴ τοῦ ἀναγκαίου πουλὺ παρεξετάθης.
ἀλλ' ἐπὶ μὲν στιβάδος φρονέεις μέγα, καὶ στόμα τέρπεις
βρώμασιν, εὐτυχίην κεῖνα λογιζόμενος·
ἐνθάδε δ' ἀσχάλλεις. μούνη δ' ἀλιτήματα λαιμοῦ
ἡ γαστὴρ τίνει πολλάκι τυπτομένη.

## LV.

Εἰς τὰ αὐτά.

Εὖγε μάκαρ τλήθυμε γεωπόνε. σοὶ βίος αἰεὶ
μίμνειν καὶ σκαπάνης ἄλγεα καὶ πενίης·
λιτὰ δέ σοι καὶ δεῖπνα, καὶ ἐν ξυλόχοισι καθεύδεις,
ὕδατος ἐμπλήσας λαιμὸν ἀμετροπότην.
ἔμπης ἄρτιπος ἐσσὶ, καὶ ἐνθάδε βαιὰ καθεσθεὶς
αὐτίκα γαστέρα σὴν θῆκας ἐλαφροτάτην·
οὐδὲ καταψήχεις ἱερὴν ῥάχιν, οὐδέ τι μηροὺς
τύπτεις, αὐτομάτως φόρτον ἀπωσάμενος.
τλήμονες οἱ πλουτοῦντες, ἰδ' οἱ κείνοισι συνόντες,
οἷς πλέον ἀρτεμίης εὔαδεν εἰλαπίνη.

## LVI.

T.III. p.53.

Εἰς γέφυραν τῦ Σαγγαρίῦ.

Καὶ σὺ μεθ' Ἑσπερίην ὑψαύχενα, καὶ μετὰ Μήδων
ἔθνεα, καὶ πᾶσαν βαρβαρικὴν ἀγέλην,
Σαγγάριε, κρατερῇσι ῥοὰς ἁψῖσι πεδηθεὶς,
αὐτὸς ἐδυλώθης κοιρανικῇ παλάμῃ.
ὁ πρὶν δὲ σκαφέεσσιν ἀνέμβατος, ὁ πρὶν ἀτειρὴς,
κεῖσαι λαϊνέῃ σφιγκτὸς ἀλυκτοπέδῃ.

## LVII.

Εὔδια μὲν πόντος πορφύρεται. ὐ γὰρ ἀήτης
κύματα λευκαίνει φρικὶ χαρασσόμενα.
ὐκ ἔτι δὲ σπιλάδεσσι περικλασθεῖσα θάλασσα
ἔμπαλιν ἀντωπὸς πρὸς βάθος εἰσάγεται.
οἱ ζέφυροι πνείυσιν, ἐπιτρύζει δὲ χελιδὼν
κάρφεσι κολλητὸν πηξαμένη θάλαμον.
θάρσει ναυτιλίης ἐμπείραμε, κἂν παρὰ Σύρτιν,
κἂν παρὰ Σικελικὴν ποντοπορῇς κροκάλην.
μῦνον ἐνορμίταο παραὶ βωμοῖσι Πριήπυ
ἢ σκάρον, ἢ βῶκας φλέξον ἐρευθομένυς.

## LVIII.

Στῆλαι καὶ γραφίδες καὶ κύρβιες, εὐφροσύνης μὲν
αἴτια τοῖς ταῦτα κτησαμένοις μεγάλης·
ἀλλ' ἐς ὅσον ζώυσι. τὰ γὰρ κενὰ κύδεα φωτῶν
ψυχαῖς οἰχομένων ὐ μάλα συμφέρεται.
ἡ δ' ἀρετὴ σοφίης τε χάρις κἀκεῖσε συνέρπει,
κἀνθάδε μιμνάζει μνῆστιν ἐφελκομένη.

T.III.p.54. οὕτως οὔτε Πλάτων βρενθύεται, οὔτε γ' Ὅμηρος
χρώμασιν ἢ στήλαις, ἀλλὰ μόνῃ σοφίῃ.
ὄλβιοι ὧν μνήμη πινυτῶν ἐνὶ τεύχεσι βίβλων,
ἀλλ' οὐκ ἐς κενεὰς εἰκόνας ἐνδιάει.

LIX.

Εἶδον ἐγὼ τὸν πτῶκα καθήμενον ἐγγὺς ὀπώρης
βακχιάδος, πουλὺν βότρυν ἀμεργόμενον·
ἀγρονόμῳ δ' ἀγόρευσα, καὶ ἔδρακεν. ἀπροϊδὴς δὲ
ἐγκέφαλον πλήξας ἐξεκύλισσε λίθῳ.
εἶπε δὲ καὶ χαίρων ὁ γεωπόνος· Ἆ τάχα Βάκχῳ
λοιβῆς καὶ θυέων μικτὸν ἔδωκα γέρας.

LX.

Εἰς τὸν ἐν Ἰλίῳ ναὸν Ἀθηνᾶς.

Ἰλήκοις πολιοῦχε, σὲ μὲν χρυσαυγέϊ νηῷ,
ὡς θέμις, ἡ τλήμων Ἴλιος ἠγασάμην.
ἀλλὰ σύ με προλέλοιπας ἑλώριον· ἀντὶ δὲ μήλου
πᾶσαν ἀπεδρέψω τείχεος ἀγλαΐην.
ἄρκιον ἦν θνήσκειν τὸν βουκόλον. εἰ γὰρ ἄθεσμος
ἔπλετο, τῆς πάτρης οὐκ ἀλίτημα τόδε.

LXI.

Εἰς Τροίαν.

Ὦ πτόλι, πῇ σέο κεῖνα τὰ τείχεα; πῇ πολύολβοι
νηοί; πῇ δὲ βοῶν κράατα τεμνομένων;
πῇ Παφίης ἀλάβαστρα, καὶ ἡ πάγχρυσος ἐφεστρίς;
πῇ δὲ Τριτογενοῦς δείκελον ἐνδαπίης;
p. 55. πάντα μόθος, χρονίη τε χύσις, καὶ Μοῖρα κραταιὴ
ἥρπασεν, ἀλλοίην ἀμφιβαλοῦσα τύχην·

καί σε τόσον νίκησε βαρὺς φθόνος. ἀλλ᾽ ἄρα μοῦνον T. III.
οὔνομα σὸν κρύψαι καὶ κλέος οὐ δύναται.

## LXII.

Εἰς τὸ αὐτό.

Εἰ μὲν ἀπὸ Σπάρτης τις ἔφυς, ξένε, μή με γελάσσῃς.
οὐ γὰρ ἐμοὶ μούνῃ ταῦτ᾽ ἐτέλεσσε Τύχη.
εἰ δέ τις ἐξ Ἀσίης, μὴ πένθεε. Δαρδανικοῖς γὰρ
σκήπτροις Αἰνεαδῶν πᾶσα νένευκε πόλις.
εἰ δὲ θεῶν τεμένη, καὶ τείχεα, καὶ ναετῆρας
ζηλήμων δηΐων ἐξεκένωσεν ἄρης,
εἰμὶ πάλιν βασίλεια· σὺ δ᾽, ὦ τέκος, ἄτρομε Ῥώμη,
βάλλε καθ᾽ Ἑλλήνων σῆς ζυγόδεσμα δίκης.

## LXIII.

Ἅδε ποθ᾽ ἁ κλεινὰ Πριάμου πόλις, ἂν ἀλαπάξαι
Ἑλλάνων δεκέτης οὐκ ἐτάλασσεν ἄρης
ἀμφαδὸν, ἀλλ᾽ ἵπποιο κακὸν ξύλον. αἴθε δ᾽ Ἐπειὸς
κάτθανε, πρὶν τεῦξαι δουρατέαν παγίδα.
οὐ γὰρ ἂν, Ἀτρειδᾶν ὀροφηφάγον ἁψαμέναν πῦρ,
οὕτω ἐφ᾽ ἁμετέροις λάεσιν ἠριπόμαν.

## LXIV.

Γριπεύς τις μογέεσκεν ἐπ᾽ ἰχθύσι· τὸν δ᾽ ἀειδοῦσα
εὐκτέανος κούρη θυμὸν ἔκαμνε πόθῳ,
καί μιν θῆκε σύνευνον. ὁ δ᾽ ἐκ βιότοιο πενιχροῦ
δέξατο παντοίης ὄγκον ἀγηνορίης.
ἡ δὲ Τύχη γελόωσα παρίστατο, καὶ ποτὶ Κύπριν, p. 56.
Οὐ τεὸς οὗτος ἀγὼν, ἀλλ᾽ ἐμός ἐστιν, ἔφη.

T. III. αἰτεῖ δ' ἀντὶ πόνων, ἵνα οἱ διὰ σεῖο παρείη
ἢ τινα μὴ φιλέειν, ἢ ταχὺ πειθομένην.

## XXXV.

Εἰς εἰκόνα Αἰσώπου.

Εὖγε ποιῶν. Λύσιππε γέρων, Σικυώνιε πλάστα,
δείκελον Αἰσώπου στήσαο τοῦ Σαμίου
ἑπτὰ σοφῶν ἔμπροσθεν, ἐπεὶ κεῖνοι μὲν ἀνάγκην
ἔμβαλον, οὐ πειθώ, φθέγμασι τοῖς σφετέροις·
p. 46. ὃς δὲ σοφοῖς μύθοις καὶ πλάσμασι καίρια λέξας,
παίζων ἐν σπουδῇ, πείθει ἐχεφρονέειν.
φευκτὸν δ' ἡ τρηχεῖα παραίνεσις· ἡ Σαμίου δὲ
τὸ γλυκὺ τοῦ μύθου καλὸν ἔχει δέλεαρ.

## XXXVI.

Εἰς εἰκόνα Πλουτάρχου.

Σεῖο πολυκλήεντα τύπον στῆσαν, Χαιρωνεῦ
Πλούταρχε, κρατερῶν υἷες Αὐσονίων,
ὅττι παραλλήλοισι βίοις Ἕλληνας ἀρίστους
Ῥώμης εὐπολέμοις ἥρμοσας ἐνναέταις.
ἀλλὰ τεοῦ βιότοιο παράλληλον βίον ἄλλον
οὐδὲ σύ γ' ἂν γράψαις· οὐ γὰρ ὅμοιον ἔχεις.

## XXXVII.

Ἄσπορα Πὰν λοφιῆτα τάδε Στρατόνικος ἀροτρεὺς
ἀντ' εὐεργεσίης ἄνθετό σοι τεμένη.
βόσκε δ', ἔφη, χαίρων τὰ σὰ ποίμνια, καὶ σέο χώρην
δέρκεο, τὴν χαλκῷ μηκέτι τεμνομένην.
αἴσιον εὑρήσεις τόδ' ἐπαύλιον. ἐνθάδε γάρ σοι
Ἠχὼ τερπομένη καὶ γάμον ἐκτελέσει.

XXXVIII.

## XXXVIII. T. III.

Ασκοπον Αγγελίαρχον, ἀσώματον εἴδεϊ μορφῆς
ἆ μέγα τολμήεις κηρὸς ἀπεπλάσατο.
ἔμπης οὐκ ἀχάριστον, ἐπεὶ βροτὸς εἰκόνα λεύσσων
θυμὸν ἀπιθύνει κρείσσονι φαντασίῃ.
οὐκέτι δ' ἀλλοπρόσαλλον ἔχει σέβας, ἀλλ' ἐν ἑαυτῷ
τὸν τύπον ἐγγράψας, ὡς παρεόντα τρέμει.
ὄμματα δ' ὀτρύνουσι βαρὺν νόον· οἶδε δὲ τέχνη p. 47.
χρώμασι πορθμεῦσαι τὴν φρενὸς ἱκεσίην.

## XXXIX.

Εὐστάθιε, γλυκερὸν μὲν ἔχεις τύπον. ἀλλά σε κηροῦ
δέρκομαι, οὐδ' ἔτι σοι κεῖνο τὸ λαρὸν ἔπος
ἕζεται ἐν στομάτεσσι· τεὴ δ' εὐάνθεμος ἥβη,
αἲ αἴ, μαψιδίη νῦν χθονός ἐστι κόνις.
πέμπτου καὶ δεκάτου γὰρ ἐπιψαύσας ἐνιαυτοῦ
τετράκις ἓξ μοῦνους ἔδρακες ἠελίους.
οὐδὲ τεοῦ πάππου θρόνος ἤρκεσεν, οὐ γενετῆρος
ὄλβος. πᾶς δὲ τεὴν εἰκόνα δερκόμενος
τὴν ἄδικον Μοῖραν καταμέμφεται, οὕνεκα τοίην,
ἆ μέγα νηλειής, ἔσβεσεν ἀγλαΐην.

## XL.

Εἰς εἰκόνα ἀνατεθεῖσαν ἐν τοῖς Πλακιδίας ὑπὸ τῶν τοῦ νέου σκρινίου.

Θωμᾶν παμβασιλῆος ἀμεμφέα κηδεμονῆα
ἄνθεσαν οἱ τὸ νέον τάγμα μετερχόμενοι
θεσπεσίης ἄγχιστα συνωρίδος, ὄφρα καὶ αὐτῇ
εἰκόνι χῶρον ἔχῃ γείτονα κοιρανίης.

T. III. αὐτὸς γὰρ ζαθέοιο θρόνυς ὕψωσε μελάθρυ
πλῦτον ἀεξήσας, ἀλλὰ μετ' εὐσεβίης.
εὔγνωμον τὸ πόνημα. τί γὰρ γραφὶς οἶδεν ὀπάσσαι,
εἰ μὴ τοῖς ἀγαθοῖς μνῆστιν ὀφειλομένην;

## XLI.

Μαχλὰς ἐγὼ γενόμην Βυζαντίδος ἔνδοθι Ῥώμης,
ὠνητὴν φιλίην πᾶσι χαριζομένη·
p. 48. εἰμὶ δὲ Καλλιρόη πολυδαίδαλος, ἣν ὑπ' ἔρωτος
οἰστρηθεὶς Θωμᾶς τῇδ' ἔθετο γραφίδι,
δεικνὺς ὅσσον ἔχει πόθον ἐν φρεσίν. ἶσα γὰρ αὐτῷ
κηρῷ τηκομένῳ τήκεταί οἱ κραδίη.

## XLII.

Οὔπω ἐπισταμένην τάχα κύμβαλα χερσὶ τινάξαι
Βάκχην αἰδομένην στήσατο λαοτύπος.
οὕτω γὰρ προνένευκεν. ἔοικε δὲ τοῦτο βοώσῃ·
Ἔξιτε, καὶ παταγῶ μηδενὸς ἱσταμένυ.

## XLIII.

Εἰς εἰκόνα τινὸς σοφιστῦ ἐν Περγάμῳ ἀνατεθεῖσαν ἐπὶ πρεσβείᾳ πολιτικῇ.

Τὰς μὲν ὑπὲρ μύθων τε καὶ εὐτροχάλοιο μελίσσης
εἰκόνας Ἰλήκοις δηρὸν ὀφειλόμενος·
νῦν δ' ὑπὲρ ἱδρώτων τε καὶ ἀστυόχοιο μερίμνης
τῇδέ σε τῇ γραφίδι στήσαμεν, Ἡράκλαμον.
εἰ δ' ὀλίγον τὸ γέρας, μὴ μέμφεο· τοῖσδε γὰρ ἡμεῖς
αἰεὶ τοὺς ἀγαθοὺς ἄνδρας ἀμειβόμεθα.

## XLIV. T. III.

**Εἰς εἰκόνα ἐν ᾗ Ἱππόλυτος διαλέγεται τῇ τροφῷ τῆς Φαίδρας.**

Ἱππόλυτος τῆς γρηὸς ἐπ' οὔατι νηλέα μῦθον
φθέγγεται· ἀλλ' ἡμεῖς οὐ δυνάμεσθα κλύειν.
ὅσσον δ' ἐκ βλεφάροιο μεμηνότος ἐςὶ νοῆσαι,
ὅττι παρεγγυάα μηκέτ' ἄθεσμα λέγειν.

## XLV. p. 49.

**Εἰς εἰκόνα σατύρου πρὸς τῇ ἀκοῇ τὸν αὐλὸν ἔχοντος καὶ ὥσπερ ἀκροωμένου.**

Αὐτομάτως, Σατυρίσκε, δόναξ τεὸς ἦχον ἰάλλει,
ἢ τί παρακλίνας οὖας ἄγεις καλάμῳ;
ὃς δὲ γελῶν σίγησεν· ἴσως δ' ἂν φθέγξατο μῦθον,
ἀλλ' ὑπὸ τερπωλῆς εἴχετο ληθεδόνι.
οὐ γὰρ κηρὸς ἔρυκεν· ἑκὼν δ' ἠσπάζετο σιγὴν,
θυμὸν ὅλον τρέψας πηκτίδος ἀσχολίῃ.

## XLVI.

**Εἰς κῆπον παράλιον.**

Εἶξον ἐμοὶ Δάφνης ἱερὸν κλέτας, ἔκτοθι πόντου
κείμενον, ἀγραύλου κάλλος ἐρημοσύνας.
ἐνθάδε γὰρ Νύμφαι δενδρίτιδες, αἵ τ' ἐνὶ πόντῳ
Νηρεΐδες ξυνὴν θέντο συνηλυσίην.
ἀμφ' ἐμὲ γὰρ μάρναντο· δίκασσε δὲ Κυανοχαίτης,
καί με παρ' ἀμφοτέραις μέσσον ἔθηκεν ὅρον.

## XLVII.

**Εἰς λουτρὸν ἐν Βυζαντίῳ ἔχον Ἀφροδίτην λουομένην.**

Νῦν ἔγνων, Κυθέρεια, πόθεν νίκησας ἀγῶνα,
τὴν πρὶν Ἀλεξάνδρου ψῆφον ὑφαρπαμένη.

XLVII. 2. Cod. Vat. ὑπαρπαμένη.

Y. III. ἐνθάδε γὰρ τέγγυσα τεὸν δέμας, εὗρες ἐλέγξαι
Ἡρην Ιναχίοις χεύμασι λυσαμένην.
νίκησεν τὸ λοετρόν· ἔοικε δὲ τῦτο λεγύσῃ
Παλλάς· Ενικήθην ὕδασιν, ἐ Παφίῃ.

p. 50. XLVIII.

Εἰς τὰ θερμὰ τὰ Αγαμεμνόνεια ἐν Σμύρνῃ.

Χῶρος ἐγὼ Δαναοῖς μεμελημένος, ἔνθα μολόντες
τῆς Ποδαλειρείης ἐξελάθοντο τέχνης.
ἕλκεα γὰρ μετὰ δῆριν ἐμοῖς ἀκέσαντο ῥεέθροις,
βαρβαρικῆς λόγχης ἰὸν ἀπωσάμενοι.
ἔνθεν ἀεξήθην ὀροφηφόρος· ἀντὶ δὲ τιμῆς
τὴν Αγαμεμνονέην εὗρον ἐπωνυμίην.

## XLIX.

Εἰς τὰ παλάτια Σοφιανῶν.

Οππόθι τεμνομένης χθονὸς ἄνδιχα πόντον ἀνοίγει
πλαγκτὸς ἁλικλύστων πορθμὸς ἐπ᾽ ἠϊόνων,
χρύσεα συλλέκτρῳ τάδ᾽ ἀνάκτορα θῆκεν ἀνάσσῃ
τῇ πολυκυδίςῃ θεῖος ἄναξ Σοφίῃ.
ἄξιον, ὦ Ρώμη μεγαλοκρατὲς, ἀντία σεῖο
κάλλος ἀπ᾽ Εὐρώπης δέρκεαι εἰς Ασίην.

## L.

Εἰς οἶκον ἐν ὕψει κείμενον ἐν Βυζαντίῳ.

Τῆς Αρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.
ἔννεπεν Ασκραῖος, δῶμα τόδε προλέγων.
κλίμακα γὰρ ταναὴν περόων κεκαφηότι ταρσῷ,
ἱδρῶτι πλαδαρὴν ἀμφεδίηνα κόμην·

T. III.

ὕψόθι δ' εἰσενόησα θαλασσαίην περιωπήν.
καὶ τάχα τῆς Ἀρετῆς πιςότατος θάλαμος.

## LI.

p. 51.

Εἰς οἶκον ἐν Βυζαντίῳ.

Τεῦξέ με πολλὰ καμὼν Μυσώνιος, οἶκον ἀγητὸν
τηλίκον, ἀρκτῴοις ἄσθμασι βαλλόμενον.
ἔμπης ὐκ ἀπέειπεν ἀφεγγέα δώματα Μοίρης,
ἀλλά με καλλείψας ἐν χθονὶ ναιετάει.
καί ῥ' ὁ μὲν εἰς ὀλίγην κεῖται κόνιν· ἡ δὲ περισσὴ
τέρψις ἐπὶ ξείνοις ἀνδράσιν ἐκκέχυμαι.

## LII.

Εἰς τὰ σωτήρια ἐν Μυρίνῃ ἐν προαστείῳ.

Χῶρος ἐγὼ τοπρὶν μὲν ἔην συγερωπὸς ἰδέσθαι,
πηλοδόμοις τοίχοις ἀμφιμεριζόμενος.
ἐνθάδε δὲ ξείνων τε καὶ ἐνδαπίων καὶ ἀγροίκων
νηδὺς ἐπεγδύπει λύματα χευομένη.
ἀλλὰ πατήρ με πόληος ἐναλλάξας Ἀγαθίας
θῆκεν ἀρίζηλον τὸν πρὶν ἀτιμότατον.

## LIII.

Εἰς τὰ αὐτά.

Πᾶν τὸ βροτῶν σπατάλημα, καὶ ἡ πολύολβος ἐδωδὴ
ἐνθάδε κρινομένη τὴν πρὶν ὄλεσσε χάριν.
οἱ γὰρ φασιανοί τε καὶ ἰχθύες, αἵ θ' ὑπὲρ ἴγδιν
τρίψιες, ἥ τε τόση βρωματομιξαπάτη
γίνεται ἐνθάδε κόπρος. ἀποσσεύει δ' ἄρα γαςὴρ
ὁππόσα πειναλέη δέξατο λαυκανίη.

L. 6. Vat. Cod. πιςότατον. Fort. πιςότατον θάλαμον, minore diſtinctione poſita in fine praec. verſ.

T. III. ὀψὲ δὲ γινώσκει τις, ὅτ' ἄφρονα μῆτιν ἀείρων
χρυσοῦ τοσσατίου τὴν κόνιν ἐπρίατο.

p. 52. LIV.

Εἰς τὰ αὐτά.

Τί στενάχεις κεφαλὴν κεκακωμένος; ἐς τί δὲ πικρὰ
οἰμώζεις, μελέων πάγχυ βαρυνομένων;
ἐς τί δὲ γαστέρα σεῖο ῥαπίσμασιν ἀμφιπατάσσεις,
ἐκθλίψαι δοκέων μάσταχος ἐργασίην;
μόχθων τοσσατίων οὔ σοι χρέος, εἰ παρὰ δαιτὶ
μὴ τοῦ ἀναγκαίου πουλὺ παρεξετάθης.
ἀλλ' ἐπὶ μὲν στιβάδος φρονέεις μέγα, καὶ στόμα τέρπεις
βρώμασιν, εὐτυχίην κεῖνα λογιζόμενος·
ἐνθάδε δ' ἀσχάλλεις. μούνη δ' ἀλιτήματα λαιμοῦ
ἡ γαστὴρ τίνει πολλάκι τυπτομένη.

LV.

Εἰς τὰ αὐτά.

Εὖγε μάκαρ τλήθυμε γεωπόνε. σοὶ βίος αἰεὶ
μίμνειν καὶ σκαπάνης ἄλγεα καὶ πενίης·
λιτὰ δέ σοι καὶ δεῖπνα, καὶ ἐν ξυλόχοισι καθεύδεις,
ὕδατος ἐμπλήσας λαιμὸν ἀμετροπότην.
ἔμπης ἄρτιπος ἐσσὶ, καὶ ἐνθάδε βαιὰ καθεσθεὶς
αὐτίκα γαστέρα σὴν θῆκας ἐλαφροτάτην·
οὐδὲ καταψήχεις ἱερὴν ῥάχιν, οὐδέ τι μηροὺς
τύπτεις, αὐτομάτως φόρτον ἀπωσάμενος.
τλήμονες οἱ πλουτοῦντες, ἴδ' οἱ κείνοισι συνόντες,
οἷς πλέον ἀρτεμίης εὔαδεν εἰλαπίνη.

## LVI.

T.III. p.53.

Εἰς γέφυραν τοῦ Σαγγαρίου.

Καὶ σὺ μεθ' Ἑσπερίην ὑψαύχενα, καὶ μετὰ Μήδων
    ἔθνεα, καὶ πᾶσαν βαρβαρικὴν ἀγέλην,
Σαγγάριε, κρατερῇσι ῥοὰς ἁψῖσι πεδηθεὶς,
    αὐτὸς ἐδουλώθης κοιρανικῇ παλάμῃ.
ὁ πρὶν δὲ σκαφέεσσιν ἀνέμβατος, ὁ πρὶν ἀτειρὴς,
    κεῖσαι λαϊνέῃ σφιγκτὸς ἀλυκτοπέδῃ.

## LVII.

Εὔδια μὲν πόντος πορφύρεται. οὐ γὰρ ἀήτης
    κύματα λευκαίνει φρικὶ χαρασσόμενα.
οὐκ ἔτι δὲ σπιλάδεσσι περικλασθεῖσα θάλασσα
    ἔμπαλιν ἀντωπὸς πρὸς βάθος εἰσάγεται.
οἱ ζέφυροι πνείουσιν, ἐπιτρύζει δὲ χελιδὼν
    κάρφεσι κολλητὸν πηξαμένη θάλαμον.
θάρσει ναυτιλίης ἐμπείραμε, κἂν παρὰ Σύρτιν,
    κἂν παρὰ Σικελικὴν ποντοπορῇς κροκάλην.
μοῦνον ἐνορμίταο παραὶ βωμοῖσι Πριήπου
    ἢ σκάρον, ἢ βῶκας φλέξον ἐρευθομένους.

## LVIII.

Στῆλαι καὶ γραφίδες καὶ κύρβιες, εὐφροσύνης μὲν
    αἴτια τοῖς ταῦτα κτησαμένοις μεγάλης·
ἀλλ' ἐς ὅσον ζώουσι. τὰ γὰρ κενὰ κύδεα φωτῶν
    ψυχαῖς οἰχομένων οὐ μάλα συμφέρεται.
ἡ δ' ἀρετὴ σοφίης τε χάρις κἀκεῖσε συνέρπει,
    κἀνθάδε μιμνάζει μνῆστιν ἐφελκομένη.

T.III.p.54. ὗτως ὗτε Πλάτων βρενθύεται, ὗτε γ᾽ Ομηρος
χρώμασιν ἢ στήλαις, ἀλλὰ μόνῃ σοφίῃ.
ὄλβιοι ὧν μνήμη πινυτῶν ἐνὶ τεύχεσι βίβλων,
ἀλλ᾽ ὐκ ἐς κενεὰς εἰκόνας ἐνδιάει.

## LIX.

Εἶδον ἐγὼ τὸν πτῶκα καθήμενον ἐγγὺς ὀπώρης
βακχιάδος, πυλὺν βότρυν ἀμεργόμενον·
ἀγρονόμῳ δ᾽ ἀγόρευσα, καὶ ἔδρακεν. ἀπροϊδὴς δὲ
ἐγκέφαλον πλήξας ἐξεκύλισσε λίθῳ.
εἶπε δὲ καὶ χαίρων ὁ γεωπόνος· Α τάχα Βάκχῳ
λοιβῆς καὶ θυέων μικτὸν ἔδωκα γέρας.

## LX.

Εἰς τὸν ἐν Ιλίῳ ναὸν Αθηνᾶς.

Ιλήκοις πολιῦχε, σὲ μὲν χρυσαυγέϊ νηῷ,
ὡς θέμις, ἡ τλήμων Ιλιος ἠγασάμην.
ἀλλὰ σύ με προλέλοιπας ἑλώριον· ἀντὶ δὲ μήλυ
πᾶσαν ἀπεδρέψω τείχεος ἀγλαΐην.
ἄρκιον ἦν θνήσκειν τὸν βυκόλον. εἰ γὰρ ἄθεσμος
ἔπλετο, τῆς πάτρης ὐκ ἀλίτημα τόδε.

## LXI.

Εἰς Τροίαν.

Ω πτόλι, πῇ σέο κεῖνα τὰ τείχεα; πῇ πολύολβοι
νηοί; πῇ δὲ βοῶν κράατα τεμνομένων;
πῇ Παφίης ἀλάβαστρα, καὶ ἡ πάγχρυσος ἐφεστρίς;
πῇ δὲ Τριτογενῦς δείκελον ἐνδαπίης;
p. 55. πάντα μόθος, χρονίη τε χύσις, καὶ Μοῖρα κραταιὴ
ἥρπασεν, ἀλλοίην ἀμφιβαλῦσα τύχην·

καί σε τόσον νίκησε βαρὺς φθόνος. ἀλλ' ἄρα μοῦνον T. III.
οὔνομα σὸν κρύψαι καὶ κλέος οὐ δύναται.

## LXII.

Εἰς τὸ αὐτό.

Εἰ μὲν ἀπὸ Σπάρτης τις ἔφυς, ξένε, μή με γελάσσῃς.
οὐ γὰρ ἐμοὶ μούνῃ ταῦτ' ἐτέλεσσε Τύχη.
εἰ δέ τις ἐξ Ἀσίης, μὴ πένθεε. Δαρδανικοῖς γὰρ
σκήπτροις Αἰνεαδῶν πᾶσα νένευκε πόλις.
εἰ δὲ θεῶν τεμένη, καὶ τείχεα, καὶ ναετῆρας
ζηλήμων δηΐων ἐξεκένωσεν ἄρης,
εἰμὶ πάλιν βασίλεια· σὺ δ', ὦ τέκος, ἄτρομε Ῥώμη,
βάλλε καθ' Ἑλλήνων σῆς ζυγόδεσμα δίκης.

## LXIII.

Ἅδε ποθ' ἁ κλεινὰ Πριάμου πόλις, ἂν ἀλαπάξαι
Ἑλλάνων δεκέτης οὐκ ἐτάλασσεν ἄρης
ἀμφαδὸν, ἀλλ' ἵπποιο κακὸν ξύλον. αἴθε δ' Ἐπειὸς
κάτθανε, πρὶν τεῦξαι δουρατέαν παγίδα.
οὐ γὰρ ἂν, Ἀτρειδᾶν ὀροφηφάγον ἁψαμένων πῦρ,
οὕτω ἐφ' ἁμετέροις λάεσιν ἠριπόμαν.

## LXIV.

Γριπεύς τις μογέεσκεν ἐπ' ἰχθύσι· τὸν δ' ὁρόωσα
εὐκτέανος κούρη θυμὸν ἔκαμνε πόθῳ,
καί μιν θῆκε σύνευνον. ὁ δ' ἐκ βιότοιο πενιχροῦ
δέξατο παντοίης ὄγκον ἀγηνορίης.
ἡ δὲ Τύχη γελόωσα παρίστατο, καὶ ποτὶ Κύπριν, p. 56.
Οὐ τεὸς οὗτος ἀγὼν, ἀλλ' ἐμός ἐστιν, ἔφη.

T. III.

## LXV.

Εἰς ἄρχοντα ἀποπεσόντα.

Ἡ ῥά γε ποῦ τὸ φρύαγμα τὸ τηλίκον; οἱ δὲ περισσοὶ
ποῦ ἔβαν ἐξαίφνης ἀγχίποροι κόλακες;
νῦν γὰρ ἑκὰς πτόλιος φυγὰς ᾤχεο· τοῖς πρότερον δὲ
οἰκτροῖς τὴν κατὰ σοῦ ψῆφον ἔδωκε Τύχη.
πολλή σοι, κλυτοεργὲ Τύχη, χάρις, οὕνεχ' ὁμοίως
πάντας ἀεὶ παίζεις, κεἰσέτι τερπόμεθα.

## LXVI.

Εὖτέ τις ἐκ πενίης πλούτου τύχοι ἠδὲ καὶ ἀρχῆς,
οὐκέτι γιγνώσκει τίς πέλε τὸ πρότερον.
τὴν ποτὲ γὰρ φιλίην ἀπαναίνεται· ἀφρονέων δὲ
τέρψιν ὀλισθηρῆς οὐ δεδάηκε Τύχης.
ἦς ποτὲ γὰρ πτωχὸς ταλαπείριος· οὐκ ἐθέλεις δέ,
αἰτίσσας ἀκόλους, νῦν ἑτέροις παρέχειν.
πάντα, φίλος, μερόπεσσι παρέρχεται· εἰ δ' ἀπιθήσεις,
ἔμπαλιν αἰτίζων μάρτυρα σαυτὸν ἔχοις.

## LXVII.

Ῥήτορα πρὸς Διόδωρον ἀνὴρ δείλαιος ἀπελθὼν
εἴρετό μιν τοίης ἀμφὶ δικασπολίης·
Ἡμετέρη θεράπαινα φύγεν ποτέ· τὴν δέ τις εὑρὼν
ἀλλοτρίην τ' εἶναι λάτριν ἐπιστάμενος,
ζεῦξεν ἑῷ θεράποντι· τέκεν δ' ὑπὸ παῖδας ἐκείνῳ·
καὶ τίνι δουλεύειν εἰσὶ δικαιότεροι;
p. 57. ὃς δ' ὅτε μερμήριξε, καὶ ἔδρακε βίβλον ἑκάστην,
εἶπεν ἐπιστρέψας γυρὸν ἐπισκύνιον·
Ἡ σοί, ἢ τῷ ἑλόντι τεὴν θεράπαιναν, ἀνάγκη
δουλεύειν κείνους, ὧν χάριν ἐξερέεις·

δίζεο δ' εὐμενέοντα δικασπόλον, αἶψα δ' ἀποίσῃ T.III.
ψῆφον ἀρειοτέρην, εἴγε δίκαια λέγοις.

## LXVIII.

Τὸν σοφὸν ἐν κιθάρῃ, τὸν μυσικὸν Ἀνδρoτίωνα
εἴρετό τις τοίην κρυματικὴν σοφίην·
Δεξιτερὴν ὑπάτην ὁπότε πλήκτροις ἐδονήσας,
ἡ λαιὴ νήτη πάλλεται αὐτομάτως
λεπτὸν ὑποτρύζυσα, καὶ ἀντίτυπον τερέτισμα
πάσχει, τῆς ἰδίης πλησσομένης ὑπάτης·
ὥστ' ἐμὲ θαυμάζειν πῶς ἄπνοα νεῦρα ταθέντα
ἡ φύσις ἀλλήλοις θήκατο συμπαθέα.
ὃς δὲ τὸν ἐν πλήκτροισιν Ἀριστόξεινον ἀγητὸν
ὤμοσε μὴ γνῶναι τήνδε θεημοσύνην·
Ἐστι δ', ἔφη, λύσις ἥδε. τὰ νευρία πάντα τέτυκται
ἐξ ὑϊος χολάδων ἄμμιγα τερσομένων.
τὕνεκεν εἰσὶν ἀδελφὰ, καὶ ὡς ξύμφυλα συνηχεῖ,
ξυγγενὲς ἀλλήλων φθέγμα μεριζόμενα.
γνήσια γὰρ τάδε πάντα, μιῆς ἅτε γαστρὸς ἐόντα,
καὶ τῶν ἀντιτύπων κληρονομεῖ πατάγων.
καὶ γὰρ δεξιὸν ὄμμα καμὸμενον ὄμματι λαιῷ
πολλάκι τὺς ἰδίυς ἀντιδίδωσι πόνυς.

## LXIX.

Κεῖτο μὲν Ἀλκιμένης κεκακωμένος ἐκ πυρετοῖο,
καὶ περὶ λευκανίην βραγχὰ λαρυγγιόων,
νυσσόμενός τε τὸ πλευρὸν ἅτε ξιφέεσσιν ἀμυχθὲν, p. 58.
καὶ θαμὰ δυσκελάδοις ἄσθμασι πνευστιόων·

Τ. III. ἦλθε δὲ Καλλίγνωτος ὁ Κώϊος, ὁ πλατυλέσχης,
τῆς παιωνιάδος πλησθόμενος σοφίης,
πᾶσαν ἔχων πρόγνωσιν ἐν ἄλγεσιν, ὅ τι περιττὸν
ἄλλο προαγγέλλων, ἢ τὸ γενησόμενον.
Ἀλκιμένους δ' ἐδόκευεν ἀνάκλισιν, ἔκ τε προσώπου
φράζετο, καὶ παλάμης ψαῦεν ἐπισταμένως,
καὶ τὸ περὶ κρισίμων φαέων ἐλογίζετο γράμμα,
πάντ' ἀναπεμπάζων, οὐχ ἑκὰς Ἱπποκράτους.
καὶ τότε τὴν πρόγνωσιν ἐς Ἀλκιμένην ἀνεφώνει
σεμνοπροσωπήσας καὶ σοβαρευόμενος·
Εἴ γε φάρυγξ βομβεῦσα, καὶ ἄγρια τύμματα πλευρῆς,
καὶ πυρετῷ λήξει πνεῦμα δασυνόμενον,
οὐκ ἔτι τεθνήξει πλευρίτιδι. τοῦτο γὰρ ἡμῖν
σύμβολον ἐσσομένης ἐστὶν ἀπημοσύνης.
Θάρσει· τὸν νομικὸν δὲ κάλει, καὶ χρήματα σαυτοῦ
εὖ διαθεὶς, βιότου λῆγε μεριμνοτόκου,
καί με τὸν ἰητρὸν, προῤῥήσιος εἵνεκεν ἐσθλῆς,
ἐν τριτάτῃ μοίρῃ κάλλιπε κληρονόμον.

## LXX.

Ἄλλον Ἀριστοτέλην, Νικόστρατον, ἰσοπλάτωνα,
σκινδαλμοφραστὴν αἰπυτάτης σοφίης,
τοῖα περὶ ψυχῆς τις ἀνείρετο· Πῶς θέμις εἰπεῖν
τὴν ψυχὴν, θνητὴν, ἢ πάλιν ἀθάνατον;
σῶμα δὲ δεῖ καλέειν, ἢ ἀσώματον; ἐν δὲ νοητοῖς
τακτέον, ἢ ληπτοῖς, ἢ τὸ συναμφότερον;
αὐτὰρ ὁ τὰς βίβλους ἀνελέξατο τῶν μετεώρων,
καὶ τὸ περὶ ψυχῆς ἔργον Ἀριστοτέλους,

καὶ παρὰ τῷ Φαίδωνι Πλατωνικὸν ὕψος ἐπιγνοὺς T. III. p. 59.
πᾶσαν ἐνησκήθη πάντοθεν ἀτρεκίην.
εἶτα περιστέλλων τὸ τριβώνιον, καὶ τὰ γενείου
ἄκρα καταψήχων, τὴν λύσιν ἐξέφερεν·
Εἴπερ ὅλως ἐστὶ ψυχὴ φύσις, οὐδὲ γὰρ οἶδα,
ἢ θνητὴ πάντως ἐστὶν, ἢ ἀθάνατος,
στεγνοφυὴς, ἢ ἄυλος· ὅταν δ' Ἀχέροντα περήσῃς,
κεῖθι τὸ νημερτὲς γνώσεαι ὡς ὁ Πλάτων.
εἰ δ' ἐθέλεις, τὸν παῖδα Κλεόμβροτον Ἀμβρακιώτην
μιμοῦ, καὶ τεγέων σὸν δέμας ἐκχάλασον.
καί κεν ἐπιγνοίης δίχα σώματος αὐτίκα σαυτὸν,
μοῦνον ὅπερ ζητεῖς τοῦθ' ὑπολειπόμενος.

## LXXI.

Καλλιγένης ἀγροῖκος, ὅτε σπόρον ἔμβαλε γαίῃ,
οἶκον Ἀριστοφάνους ἦλθεν ἐς ἀστρολόγου,
ᾔτεε δ' ἐξερεείνων εἰ θέρος αἴσιον αὐτῷ
ἔσται, καὶ σταχύων ἄφθονος εὐπορίη.
ὃς δὲ λαβὼν ψηφῖδας, ὑπὲρ πίνακός τε πυκάζων,
δάκτυλά τε γνάμπτων, φθέγξατο Καλλιγένει·
Εἴπερ ἐπομβρηθῇ τὸ ἀρούριον, ὅσσον ἀπόχρη,
μηδέ τιν' ὑλαίην τέξεται ἀνθοσύνην,
μηδὲ πάγος ῥήξῃ τὴν αὔλακα, μηδὲ χαλάζῃ
ἄκρον ἀποδρυφθῇ δράγματος ὀρνυμένου,
μηδὲ νεβροὶ κείρωσι τὰ λήϊα, μηδέ τιν' ἄλλην
ἠέρος ἢ γαίης ὄψεται ἀμπλακίην,

LXX. 11. Scr. τρ. ἠδὲ γενείου τἄκρα καταψήχων.
LXXI. 3. Cod. ἐξερέειν' εἴπερ θέρος. 7. Scr. εἴ κεν ἐπ.
10. Fort. τἄκρον.

T. III. ἐσθλόν σοι τὸ θέρος μαντεύομαι, εὖ δ' ἀποκόψεις
τοὺς στάχυας· μούνας δείδιθι τὰς ἀκρίδας.

p. 60.

## LXXII.

Εἰς τάβλαν Ζήνωνος τοῦ βασιλέως.

Οὐτιδανοὶ μερόπων, εἰ καὶ μέγα ῥέξομεν ἔργον,
οὔτινος ἐς μνήμην δηρὸν ἐπερχόμεθα·
οἱ δ' ἀγαθοί, κἦν μηδέν, ἀναπνεύσωσι δὲ μοῦνον,
ὡς Λίβυς εἶπεν ἀνήρ, τοῦτ' ἀδάμαντι μένει.
δή ποτε γὰρ Ζήνωνα πολισσοῦχον βασιλῆα,
παίγνιον ἀφράστων ἐκτελέοντα κύβων,
τοίη ποικιλότευκτος ἕλεν θέσις, εὖτ' ἀπὸ λευκοῦ
τοῦ καὶ ὀπισθιδίην εἰς ὁδὸν ἐρχομένου,
ἑπτὰ μὲν ἕκτος ἔχε, μίαν εἴνατος· αὐτὰρ ὁ σύμμος
δισσὰς ἀμφιέπων ἶσος ἔην δεκάτῳ·
ὃς δὲ πέλει μετὰ σύμμον ἔχεν δύο, μουνάδα δ' ἄλλην
ψῆφον τὴν πυμάτην ἀμφιέπεσκε δίβος.
ἀλλὰ μέλας δισσὰς μὲν ἐν ὀγδοάτῳ λίπε χώρῳ
καὶ τόσσας ἑτέρας ἐς θέσιν ἑνδεκάτην·
ἀμφὶ δυωδέκατον δὲ διέπρεπον εἴκελοι ἄλλοι,
καὶ τρισκαιδεκάτῳ ψῆφος ἔκειτο μία·
δίζυγες Ἀντίγονον διεκόσμεον· ἀλλὰ καὶ αὐτῷ
ἶσος ἔμιμνε τύπος πεντεκαιδεκάτῳ,
ὀκτωκαιδεκάτῳ παρομοίιος· εἰσέτι δ' ἄλλας
εἶχεν διχθαδίας τέτρατος ἐκ πυμάτου.
αὐτὰρ ἄναξ λευκοῖο λαχὼν σημήϊα πεσσοῦ,
καὶ τὴν ἐσσομένην οὐ νοέων παγίδα,
τριχθαδίας ἀδόκητα βαλὼν ψηφῖδας ἀπ' ἤθμου,
πύργου δουρατέου κλίμακι κευθομένας,

δοιὰ καὶ ἓξ καὶ πέντε κατήγαγεν· αὐτίκα δ' ὀκτὼ T. III.
ἄζυγας εἶχεν ὅλας πρόσθε μεριζομένας.
τάβλην φεύγετε πάντες, ἐπεὶ καὶ κοίρανος ἀνδρῶν
κείνης τὰς ἀλόγους οὐχ ὑπάλυξε τύχας.

## LXXIII. p. 61.

Εἰς κωνωπεῶνα.

Πλέγμασι μὲν σκοπός ἐστι περισφίγξαι πετεηνῶν
ἔθνεα, καὶ ταχινοὺς ἔνδοθεν ὀρταλίχους·
αὐτὰρ ἐγὼ σεύειν ἐπιτέρπομαι, οὐδὲ καλύπτω
ἔνδοθεν, ἀλλ' εἴργω μᾶλλον ἐπειγομένους.
οὐδ' ἐμέ τις λήσειε, καὶ εἰ βραχύς ἔπλετο, κώνωψ
ἡμετέρης διαδὺς πλέγμα λινοστασίης.
ὄρνεά που σώζω· μερόπεσσι δὲ λέκτρα φυλάσσω.
ἦ ῥά τις ἡμείων ἐστὶ δικαιότερος;

## LXXIV.

Εἰς πολυφάγον.

Οὔ τις ἀλοιητῆρας ἰδεῖν τέτληκεν ὀδόντας
ὑμετέρους, ἵνα σοῖς ἐν μεγάροις πελάσῃ·
εἰ γὰρ ἀεὶ βούβρωστιν ἔχεις Ἐρυσίχθονος αὐτοῦ,
ναὶ τάχα δαρδάψεις καὶ φίλον ὃν καλέεις.
ἀλλ' οὐ σεῖο μέλαθρά με δέξεται. οὐ γὰρ ἔγωγε
βήσομ' ὑφ' ὑμετέρῃ γαστρὶ λαφυξόμενος.
εἰ δέ ποτ' ἐς τεὸν οἶκον ἐλεύσομαι, οὐ μέγ' ἄνυσσε
Λαερτιάδης Σκύλλης χάσμασιν ἀντιάσας·
ἀλλ' ἔσομαι πολύτλας τις ἐγὼ πλέον, εἴς σε περήσας
Κύκλωπος κρυεροῦ μηδὲν ἐλαφρότερον.

T. III.

## LXXV.

Σῶμα φέρων σκιοειδὲς, ἀδερκέϊ σύμπνοον αὔρῃ
μή ποτε θαρσήσῃς ἄγχι τινὸς πελάσαι,
μή τις ἔσω μυκτῆρος ἀναπνείων σε κομίσσῃ,
ἄσθματος ἠερίου πολλὸν ἐλαφρότερον.
p. 62. οὐ σὺ μόρον τρομέεις. τότε γὰρ πάλιν οὐδὲν ἀμείψας
ἔσσεαι ὡσαύτως φάσμα, τόπερ τελέθεις.

## LXXVI.

Εἰς δικολόγον ἀδικοῦντα.

Νήπιε, πῶς σε λέληθε Δίκης ζυγὸς, οὐ νοέεις δὲ
ἀνδράσιν οὐχ ὁσίοις ψῆφον ὀφειλομένην;
ῥήτρῃ πιστεύεις πυκινόφρονι, σῇ τε μενοινῇ
ποικίλον αὐδῆσαι μῦθον ἐπισταμένῃ.
ἐλπίζειν ἔξεστι· Θέμιν δ' οὐκ εἶδεν ἀμεῖψαι
τῆς σῆς ἠλεμάτου παίγνια φαντασίης.

## LXXVII.

Εἰς τὸν λίθον ὃν Αἴας ἐδίσκευσε.

Μή με τὸν Αἰάντειον ἀνοχμάσσειας, ὁδῖτα,
πέτρον, ἀκοντιστὴν στήθεος Ἑκτορέου.
εἰμὶ μέλας τρηχύς τε· σὺ δ' εἴρεο θεῖον Ὅμηρον
πῶς τὸν Πριαμίδην ἐξεκύλισσα πέδῳ.
νῦν δὲ μόλις βαιόν με παροχλίζουσιν ἀρούρης
ἄνθρωποι, γενεῆς αἴσχεα λευγαλέης.
ἀλλά με τις κρύψειεν ὑπὸ χθονός. αἰδέομαι γὰρ
παίγνιον οὐτιδανοῖς ἀνδράσι γινόμενος.

LXXVIII.

LXXV. 4. Cod. πολλὸν ἀφαυρότερον.
LXXVII. 1. Vat. Cod. ἀνοχμάσσειας.

T. III.

## LXXVIII.

Ἄβαλε μηδ' ἐγένοντο γάμοι, μὴ νύμφια λέκτρα,
οὐ γὰρ ἂν ὠδίνων ἐξεφάνη πρόφασις.
νῦν δ' ἡ μὲν τριτάλαινα γυνὴ τίκτουσα κάθηται,
γαστρὶ δὲ δυσκόλπῳ νεκρὸν ἔνεστι τέκος·
τρισσὴ δ' ἀμφιλύκη δρόμον ἤνυσεν, ἐξότε μίμνει p. 63.
τὸ βρέφος ἀπρήκτοις ἐλπίσι τικτόμενον.
κούφη σοὶ τελέθει γαστὴρ, τέκος, ἀντὶ κονίης·
αὕτη γάρ σε φέρει, καὶ χθονὸς οὐ χατέεις.

## LXXIX.

Κανδαύλου τόδε σῆμα. Δίκη δ' ἐμὸν οἶτον ἰδοῦσα
οὐδὲν ἀλιτραίνειν τὴν παράκοιτιν ἔφη.
ἤθελε γὰρ δισσοῖσιν ὑπ' ἀνδράσι μηδὲ φανῆναι,
ἀλλ' ἢ τὸν πρὶν ἔχειν, ἢ τὸν ἐπιστάμενον.
χρῆν ἄρα Κανδαύλην παθέειν κακόν. οὐ γὰρ ἂν ἔτλη
δεῖξαι τὴν ἰδίην ὄμμασιν ἀλλοτρίοις.

## LXXX.

Εἰς Λαΐδα.

Ἕρπων εἰς Ἐφύρην τάφον ἔδρακον ἀμφὶ κελεύθῳ
Λαΐδος ἀρχαίης, ὡς τὸ χάραγμα λέγει.
δάκρυ δ' ἐπισπείσας, Χαίροις, γύναι, ἐκ γὰρ ἀκουῆς
οἰκτείρω σε, ἔφην, ἣν πάρος οὐκ ἰδόμην.
ἆ πόσον ἠϊθέων νόον ἤκαχες· ἀλλ' ἴδε λήθην
ναίεις, ἀγλαΐην ἐν χθονὶ καθθεμένη.

LXXX. 1. In Cod. ὀρᾷ ἀγχικέλευθον.

## LXXXI.

T. III.

Τὸν θάνατον τί φοβεῖσθε, τὸν ἡσυχίης γενετῆρα,
τὸν παύοντα νόσους καὶ πενίης ὀδύνας;
μοῦνος ἅπαξ θνητοῖς παραγίνεται, οὐδέ ποτ' αὐτὸν
εἶδέν τις θνητῶν δεύτερον ἐρχόμενον·
αἱ δὲ νόσοι πολλαὶ καὶ ποικίλαι, ἄλλοτ' ἐπ' ἄλλον
ἐρχόμεναι θνητῶν, καὶ μεταβαλλόμεναι.

## LXXXII.

p. 64.

Εἰς Ἑλλανίδα καὶ Λάμαξιν τὰς Λεσβίας, ὧν ὁ Πάχης ἐρασθεὶς τοὺς ἄνδρας αὐτῶν ἔκτεινεν, αὐτὸς δὲ πάλιν ὑπ' ἐκείνων πεφόνευται.

Ἑλλανὶς τριμάκαιρα, καὶ ἁ χαρίεσσα Λάμαξις
ἤστην μὲν πάτρης φέγγεα Λεσβιάδος.
ὅκκα δ' Ἀθηναίησι σὺν ὁλκάσιν ἐνθάδε κέλσας
τὰν Μιτυληναίαν γᾶν ἀλάπαξε Πάχης,
τᾶν κουρᾶν ἀδίκως ἠράσσατο, τὼς δὲ συνεύνως
ἔκτανε, καὶ τήνας εἷλε βιησόμενος.
ταὶ δὲ κατ' Αἰγαίοιο ῥόου πλατὺ λαῖτμα φερέσθην,
καὶ ποτὶ τὰν κραναὰν Μοψοπίαν δραμέτην·
δάμῳ δ' ἀγγελέτην ἀλιτήμονος ἔργα Πάχητος,
μέσφα μιν εἰς ὀλοὴν κῆρα συνηλασάτην.
τοῖα μὲν, ὦ κούρα, πεπονήκατον· ἂψ δ' ἐπὶ πάτραν
ἥκετον, ἐν δ' αὐτᾷ κεῖσθον ἀποφθιμένα·
εὖ δὲ πόνων ἀπόνασθον, ἐπεὶ ποτὶ σᾶμα συνεύνων
εὕδετον, ἐς κλεινᾶς μνᾶμα σαοφροσύνας·
ὑμνεῦσι δ' ἔτι πάντες ὁμόφρονας ἡρωΐνας,
πάτρας καὶ ποσίων πήματα τισαμένας.

T. III.

## LXXXIII.

Θεσμοὶ μὲν μεμέληντο συνήθεες Ἀγαθονίκῳ·
  Μοῖρα δὲ δειμαίνειν οὐ δεδάηκε νόμους.
ἀλλά μιν ἁρπάξασα σοφῶν ἤμερσε θεμίστων,
  οὔπω τῆς νομίμης ἔμπλεον ἡλικίης.
οἰκτρὰ δ' ὑπὲρ τύμβοιο κατεστονάχησαν ἑταῖροι
  κείμενον, οὐ θιάσου κόσμον ὀδυρόμενοι·
ἡ δὲ κόμην τίλλουσα γόῳ πληκτίζετο μήτηρ,
  αἲ αἲ, τῶν λαγόνων μόχθον ἐπισταμένη.
ἔμπης ὄλβιος οὗτος, ὃς ἐν νεότητι μαρανθεὶς
  ἔκφυγε τὴν βιότου θᾶσσον ἀλιτροσύνην. p. 65.

## LXXXIV.

Οἰκογενὴς αἴλουρος ἐμὴν πέρδικα φαγοῦσα
  ζώειν ἡμετέροις ἔλπεται ἐν μεγάροις.
οὐ σε, φίλη πέρδιξ, φθιμένην ἀγέραστον ἐάσω,
  ἀλλ' ἐπὶ σοὶ κτενέω τὴν σέθεν ἀντίβιον.
ψυχὴ γὰρ σέο μᾶλλον ὀρίνεται, εἰσόκε ῥέξω
  ὅσσ' ἐπ' Ἀχιλλῆος Πύῤῥος ἔρεξε τάφῳ.

## LXXXV.

Οὐκέτι που, τλῆμον, σκοπέλων μετανάστρια πέρδιξ,
  πλεκτὸς λεπταλέοις οἶκος ἔχει σε λύγοις,
οὐδ' ὑπὸ μαρμαρυγῇ θαλερώπιδος Ἠριγενείης
  ἄκρα παραιθύσσεις θαλπομένων πτερύγων.
σὴν κεφαλὴν αἴλουρος ἀπέθρισε· τἄλλα δὲ πάντα
  ἥρπασα, καὶ φθονερὴν οὐκ ἐκόρεσσε γένυν.

LXXXIII. 8. Fort, τὸν λαγ.

T. III. νῦν δέ σε μὴ κούφη κρύπτοι κόνις, ἀλλὰ βαρεῖα,
μὴ τὸ τεὸν κείνη λείψανον ἐξερύσῃ.

## LXXXVI.

Εἰς Εὐγενίαν ἀδελφὴν Ἀγαθίου, καὶ τὸν αὐτῆς ἄνδρα Θεόδοτον· ὅτι δὲ μαχησάμενοι πρὸς ἀλλήλους, πρὶν διαλυθῆναι ἐτελεύτησαν.

Ναὶ μὰ τὸν ἐν γαίῃ πύματον δρόμον, οὔτε μ' ἄκοιτις
ἔστυγεν, οὔτ' αὐτὸς Θεόδοτος Εὐγενίης
ἐχθρὸς ἑκὼν γενόμην. ἀλλὰ φθόνος ἠέ τις ἄτη
ἡμέας ἐς τόσσην ἤγαγεν ἀμπλακίην.
p. 66. νῦν δ' ἐπὶ Μινώην καθαρὴν κρηπῖδα μολόντες
ἀμφότεροι λευκὴν ψῆφον ἐδεξάμεθα.

## LXXXVII.

Εἰς τὴν αὐτὴν Εὐγενίαν.

Τὰν πάρος ἀνθήσασαν ἐν ἀγλαΐῃ καὶ ἀοιδᾷ,
τὰν πολυκυδίστου μνάμονα θεσμοσύνας,
Εὐγενίαν κρύπτει χθονία κόνις· αἱ δ' ἐπὶ τύμβῳ
κείραντο πλοκάμους Μοῦσα, Θέμις, Παφίη.

## LXXXVIII.

Ἐπὶ τῇ ἰδίᾳ μητρὶ κειμένῃ ἐν Βυζαντίῳ.

α Ὦ ξένε, τί κλαίεις; β διὰ σὸν μόρον. α οἶσθα τίς εἰμι;
β οὐ μὰ τόν· ἀλλ' ἔμπης οἰκτρὸν ὁρῶ τὸ τέλος.
ἔσσὶ δὲ τίς; α Περίκλεια. β γυνὴ τίνος; α ἀνδρὸς ἀρίστου
ῥήτορος, ἐξ Ἀσίης, οὔνομα Μεμνονίου.
β πῶς δέ σε Βοσπορίη κατέχει κόνις; α εἴρεο Μοῖραν,
ἥ μοι τῆλε πάτρης ξεῖνον ἔδωκε τάφον.
β παῖδα λίπες; α τριέτηρον, ὃς ἐν μεγάροισιν ἀλύων
ἐκδέχεται μαζῶν ἡμετέρων σταγόνα.

αἴθε καλῶς ζώοι. ναὶ ναὶ φίλος, εὔχεο κείνῳ, T. III.

ὄφρα μοι ἠβήσας δάκρυ φίλον ταλάῃ.

## LXXXIX.

Λητόϊος καὶ Παῦλος ἀδελφεὼ ἄμφω ἐόντε

ξυνὴν μὲν βιότου συζυγίην ἐχέτην,

ξυνὰ δὲ καὶ Μοίρης λαχέτην λίνα, καὶ παρὰ θῖνα

Βοσπορίην ξυνὴν ἀμφεβάλοντο κόνιν.

οὐδὲ γὰρ ἀλλήλοιν ζώειν ἀπάνευθε δυνάσθην, p. 67.

ἀλλὰ συνετρεχέτην καὶ παρὰ Φερσεφόνην.

χαίρετον ὦ γλυκερὼ καὶ ὁμόφρονε· σήματι δ' ὑμέων

ὤφελεν ἱδρύσθαι βωμὸς Ὁμοφροσύνης.

## XC.

Ναὶ λίτομαι, παροδῖτα, φίλῳ κατάλεξον ἀκοίτῃ,

εὖτ' ἂν ἐμὴν λεύσσῃς πατρίδα Θεσσαλίην·

Κάτθανε σὴ παράκοιτις, ἔχει δέ μιν ἐν χθονὶ τύμβος,

αἶ αἶ, Βοσπορίης ἐγγύθεν ἠϊόνος·

ἀλλά μοι αὐτόθι τεῦχε κενήριον ἐγγύθι σεῖο,

ὄφρ' ἀναμιμνήσκῃ τῆς ποτε κουριδίης.

## XCI.

Φεῦ φεῦ, τὴν δεκάτην Ἑλικωνίδα, τὴν λυραοιδὸν

Ῥώμης καὶ Φαρίης, ἥδε κέκευθε κόνις.

ὤλετο φορμίγγων τερετίσματα, λῆξαν ἀοιδαὶ,

ὥσπερ Ἰωάννῃ πάντα συνολλύμενα.

καὶ τάχα θεσμὸν ἔθηκαν ἐπάξιον ἐννέα Μοῦσαι,

τύμβον Ἰωάννης ἀνθ' Ἑλικῶνος ἔχειν.

T. III. XCII.

Τὸν κρατερὸν Πανοπῆα, τὸν ἀγρευτῆρα λεόντων,
τὸν λασιοστέρνων κέντορα πορδαλίων,
τύμβος ἔχει. γλαφυρῆς γὰρ ἀπὸ χθονὸς ἔκτανε δεινὸς
σκορπίος, οὐτήσας ταρσὸν ὀρεσσιβάτην.
αἰγανέη δὲ τάλαινα, σιγυνά τε πὰρ χθονὶ κεῖται,
αἲ αἶ, θαρσαλέων παίγνια δορκαλίδων.

p. 68. XCIII.

Οὐχ ὁσίοις λεχέεσσιν ἐτέρπετο λάθριος ἀνὴρ,
λέκτρον ὑποκλέπτων ἀλλοτρίης ἀλόχου·
ἐξαπίνης δὲ δόμων ὀροφὴ πέσε, τοὺς δὲ κακούργους
ἔσκεπεν, ἀλλήλοις εἰσέτι μισγομένους.
ξυνὴ δ᾽ ἀμφοτέρους κατέχει παγίς· εἰν ἑνὶ δ᾽ ἄμφω
κεῖνται, συζυγίης οὐκέτι παυόμενοι.

XCIV.

Επτά με δὶς λυκάβαντας ἔχουσαν ἀφήρπασε δαίμων,
ἣν μούνην Διδύμῳ πατρὶ Θάλεια τέκεν.
ἆ Μοῖραι, τί τοσοῦτον ἀπηνέες, οὐδ᾽ ἐπὶ παστοὺς
ἠγάγετ᾽, οὐδ᾽ ἐρατῆς ἔργα τεκνοσπορίης;
οἱ μὲν γὰρ γονέες με γαμήλιον εἰς Ὑμέναιον
μέλλον ἄγειν· στυγεροῦ δ᾽ εἰς Ἀχέροντος ἔβην.
ἀλλὰ θεοί, λίτομαι, μητρός γε γόους πατέρος τε
παύσατε, τηκομένων εἵνεκ᾽ ἐμεῦ φθιμένης.

XCV.

Μηδὲν ἀπαγγείλειας ἐς Ἀντιόχειαν, ὁδῖτα,
μὴ πάλιν οἰμώξῃς χεύματα Κασταλίης,

XCII. 5. Codd. Planud. optimus σιγυννά τε. male.

οὕνεκεν ἐξαπίνης Εὐσέργιος ἔλλιπε μοῦσαν, T. III.
θεσμῶν τ' Αὐσονίων ἐλπίδα μαψιδίην,
ἑβδόματον δέκατόν τε λαχὼν ἔτος· ἐς δὲ κονίην
ἠμείφθη κενεὴν οὖσαχυς ἡλικίη.
καὶ τὸν μὲν κατέχει χθόνιος τάφος· ἀντὶ δ' ἐκείνου
οὔνομα καὶ γραφίδων χρώματα δερκόμεθα.

---

# ΔΑΜΟΧΑΡΙΔΟΣ p. 69.

## ΓΡΑΜΜΑΤΙΚΟΥ
## ΚΑΙ
## ΜΑΘΗΤΟΥ ΑΓΑΘΙΟΥ.

I.

Ἀνδροβόρων ὁμότεχνε κυνῶν, αἴλουρε κακίστη,
τῶν Ἀκταιονίδων ἐσσὶ μία σκυλάκων.
κτήτορος Ἀγαθίαο φίλου πέρδικα φαγοῦσα,
λυπεῖς, ὡς αὐτὸν κτήτορα δαισαμένη.
καὶ σὺ μὲν ἐν πέρδιξιν ἔχεις νόον· οἱ δὲ μύες νῦν
ὀρχοῦνται, τῆς σῆς δραξάμενοι σπατάλης.

II.

Γραμματέων πλήθοντα μελάσματι κυκλομόλιβδον,
καὶ κανόνα γραφίδων ἰθυτάτων φύλακα,
καὶ γραφικοῖο δοχεῖα κελαινοτάτοιο ῥεέθρου,
ἄκρα τε μεσσοτόμους εὐγλυφέας καλάμους,
τρηχαλέην τε λίθον, δονάκων εὐθηγέα κόσμον,
ἔνθα περιτριβέων ὀξὺ χάραγμα πέλει,

[illegible] σοι [illegible] [illegible], [illegible] [illegible] σοφέ,
ὄφρα σοι ἄπιστος [illegible] τῆς Κύπρ
[illegible] [illegible] ὑπ' ἀγκάλας ἔρως [illegible],
[illegible] σὺ δ' αὖ φάρος σὺν ἀργυρέῃ.

### III.

Ἥρη καὶ Παφίη καὶ Παλλὰς τοῦτο λοετρὸν
ὧν ποτε τὸ χρυσοῦν ἤρισαν μῆλον ἔχειν·
καὶ τάχα τῆς μορφῆς κρίσις ἔσσεται ὁ Πάρις αὐταῖς·
εἶπε δ' ἀργυφέους κάρηνα [illegible].

### IV.

Εἰς εἰκόνα Σαπφοῦς.

Αὐτή σοι πλάστειρα φύσις παρέδωκε τυπῶσαι
τὴν Μιτυληναίην, ζωγράφε, Πιερίδα.
αὐγάζει τὸ διαυγὲς ἐν ὄμμασι· τοῦτο δ' ἐναργῶς
δηλοῖ φαντασίην ἔμπλεον εὐστοχίης.
αὐτομάτως δ' ὁμαλή τε καὶ οὐ περίεργα λιποῦσα
σὰρξ ὑποδεικνυμένη τὴν ἀφέλειαν ἔχει.
ἔμμιγα δ' ἐξ ἱλαροῦ καὶ ἐκ νοτεροῖο προσώπου
Μοῦσαν ἀπαγγέλλει Κύπριδι μιγνυμένην.

IV. 5. Vulgo π. λιπῶσα. 7. Fort. νοτεροῦ προσ.

# ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

T. III. p. 71.

## I.

Κλέψωμεν, Ῥοδόπη, τὰ φιλήματα, τήν τ' ἐρατεινὴν
καὶ περιδήριτον Κύπριδος ἐργασίην.
ἡδὺ λαθεῖν, φυλάκων τε παναγρέα κανθὸν ἀλύξαι·
φώρια δ' ἀμφαδίων λέκτρα μελιχρότερα.

## II.

Μακρὰ φιλεῖ Γαλάτεια καὶ ἔμψοφα· μαλθακὰ Δημώ·
Δωρὶς ἀδακτάζει. τίς πλέον ἐξερέθει;
ὦατα μὴ κρίνωσι φιλήματα· γευσάμενοι δὲ
τρισσαθλίων στομάτων, ψῆφον ἐποισόμεθα.
ἐσπλάγχθης κραδίη. τὰ φιλήματα μαλθακὰ Δημοῦς
ἔγνως, καὶ δροσερῶν ἡδὺ μέλι στομάτων.
μίμν' ἐπὶ τοῖσδ'· ἀδέκαστον ἔχει στέφος. εἰ δέ τις ἄλλη
τέρπεται, ἐκ Δημοῦς ἡμέας οὐκ ἐρύσει.

## III.

Μαλθακὰ μὲν Σαπφοῦς τὰ φιλήματα, μαλθακὰ γυίων
πλέγματα χιονέων, μαλθακὰ πάντα μέλη.
ψυχὴ δ' ἐξ ἀδάμαντος ἀπειθέος. ἄχρι γὰρ οἴων
ἐστὶν ἔρως στομάτων· τ' ἄλλα δὲ παρθενίης.
καὶ τίς ὑποτλαίη; τάχα τις τάχα τοῦτο ταλάσσας
δίψαν Ταντελέην τλήσεται εὐμαρέως.

II. 2. Cod. δακτάζει. 4. Cod. τριχαλέων.

T. III. καὶ γλύφανον, καλάμων, πλατέος γλωχῖνα σιδήρου,
ὅπλα σοι ἐμπορίης ἄνθετο τῆς ἰδίης
κεκμηὼς Μενέδημος ὑπ' ἀχλύος ὄμμα παλαιὸν,
Ἑρμείᾳ· σὺ δ' ἀεὶ φέρβε τὸν ἐργατίνην.

p. 70.

## III.

Ἥρῃ, καὶ Παφίῃ, καὶ Παλλάδι τοῦτο λοετρὸν
ὡς ποτε τὸ χρυσοῦν ἤρεσε μῆλον ἔχειν·
καὶ τάχα τῆς μορφῆς κρίσις ἔσσεται ὁ Πάρις αὐταῖς·
εἰκὼ δ' ἀργυρέοις νάμασι δεικνυμένη.

## IV.

Εἰς εἰκόνα Σαπφοῦς.

Αὐτή σοι πλάστειρα Φύσις παρέδωκε τυπῶσαι
τὴν Μιτυληναίαν, ζωγράφε, Πιερίδα.
στηγάζει τὸ διαυγὲς ἐν ὄμμασι· τοῦτο δ' ἐναργὲς
δηλοῖ φαντασίην ἔμπλεον εὐστοχίης.
αὐτομάτως δ' ὁμαλή τε καὶ οὐ περίεργα λιποῦσα
σὰρξ ὑποδεικνυμένην τὴν ἀφέλειαν ἔχει.
ἔμμιγα δ' ἐξ ἱλαροῖο καὶ ἐκ νοτεροῖο προσώπου
Μοῦσαν ἀπαγγέλλει Κύπριδι μιγνυμένην.

IV. 5. Vulgo π. κολῶσα. 7. Fort. νοεροῖο προσ.

# ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ. T. III. p. 71.

I.

Κλέψωμεν, Ῥοδόπη, τὰ φιλήματα, τήν τ' ἐρατεινὴν
καὶ περιδήριτον Κύπριδος ἐργασίην.
ἡδὺ λαθεῖν, φυλάκων τε παναγρέα κανθὸν ἀλύξαι·
φώρια δ' ἀμφαδίων λέκτρα μελιχρότερα.

II.

Μακρὰ φιλεῖ Γαλάτεια καὶ ἔμψοφα· μαλθακὰ Δημώ·
Δωρὶς ἀδακτάζει. τίς πλέον ἐξερέθει;
ὦατα μὴ κρίνωσι φιλήματα· γευσάμενοι δὲ
τριχθαδίων στομάτων, ψῆφον ἐποισόμεθα.
ἐσπλάγχθης κραδίη. τὰ φιλήματα μαλθακὰ Δημοῦς
ἔγνως, καὶ δροσερῶν ἡδὺ μέλι στομάτων.
μίμν' ἐπὶ τοῖσδ'· ἀδέκαστον ἔχει στέφος. εἰ δέ τις ἄλλη
τέρπεται, ἐκ Δημοῦς ἡμέας οὐκ ἐρύσει.

III.

Μαλθακὰ μὲν Σαπφοῦς τὰ φιλήματα, μαλθακὰ γυίων
πλέγματα χιονέων, μαλθακὰ πάντα μέλη.
ψυχὴ δ' ἐξ ἀδάμαντος ἀπειθέος. ἄχρι γὰρ οἴων
ἐστὶν ἔρως στομάτων· τ' ἄλλα δὲ παρθενίης.
καὶ τίς ὑποτλαίη; τάχα τις τάχα τοῦτο ταλάσσας
δίψαν Ταντελέην τλήσεται εὐμαρέως.

II. 2. Cod. δακτάζει. 4. Cod. τριχαλέων.

T. III. p. 72.

## IV.

Ὦ παλάμη πάντολμε, σὺ τὸν παγχρύσεον ἔτλης
  ἀπρὶξ δραξαμένη βόστρυχον αὖ ἐρύσαι.
ἔτλης. οὐκ ἐμάλαξε τεὸν θράσος αἴλινος αὐδὴ,
  σκύλμα κόμης, αὐχὴν μαλθακὰ κεκλιμένος.
νῦν θαμινοῖς πατάγοισι μάτην τὸ μέτωπον ἀράσσεις,
  οὐκ ἔτι γὰρ μαζοῖς σὸν θέναρ ἐμπελάσει.
μὴ, λίτομαι δέσποινα, τόσην μὴ λάμβανε ποινήν·
  μᾶλλον ἐγὼ τλαίην φάσγανον ἀσπασίως.

## V.

Ἡδὺ φίλης μείδημα τὸ Λαΐδος· ἡδὺ καὶ αὐτῶν
  ἠπιοδινήτων δακρυχέει βλεφάρων.
χθιζά μοι ἀπροφάσιστον ἐπέστενεν ἐν κλινοκώμῳ
  ἡμετέρῃ κεφαλὴν δηρὸν ἐρεισαμένη·
μυρομένην δ' ἐφίλησα· τὰ δ' ὡς δροσερῆς ἀπὸ πηγῆς
  δάκρυα μιγνυμένων πῖπτε κατὰ στομάτων.
εἶπε δ' ἀνειρομένῳ· Τίνος εἵνεκα δάκρυα λείβεις;
  Δείδια μή με λίπῃς. ἐστὲ γὰρ ὁρκαπάται.

## VI.

Ῥίψωμεν, χαρίεσσα, τὰ φάρεα· γυμνὰ δὲ γυμνοῖς
  ἐμπελάσῃ γυίοις γυῖα περιπλοκάδην.
μηδὲν ἔοι τὸ μεταξύ. Σεμιράμιδος γὰρ ἐκεῖνο,
  τεῖχος ἐμοὶ δοκέει λεπτὸν ὕφασμα σέθεν.
στήθεα δ' ἐζεύχθω, τά τε χείλεα· τἄλλα δὲ σιγῇ
  κρυπτέσθω. ἐχθαίρω τὴν ἀθυρογλωσσίην.

VI. 2. Cod. ἐμπελάσει.

## VII.

T. III. p. 73

Εἶδον ἐγὼ ποθέοντας· ὑπ' ἀτλήτοιο δὲ λύσσης
δηρὸν ἐν ἀλλήλοις χείλεα πηξάμενοι,
οὐ κόρον εἶχον ἔρωτος ἀφειδέος· ἱέμενοι δὲ,
εἰ θέμις, ἀλλήλων δύμεναι εἰς κραδίην,
ἀμφαδίην ὅσον ὅσσον ὑπεπρήϋνον ἀνάγκην,
ἀλλήλων μαλακοῖς φάρεσιν ἑσσάμενοι.
καί ῥ' ὁ μὲν ἦν Ἀχιλῆϊ πανείκελος, οἷος ἐκεῖνος
τῶν Λυκομηδείων ἔνδον ἔην θαλάμων·
κούρη δ' ἀργυφέης ἐπιγουνίδος ἄχρι χιτῶνα
ζωσαμένη, Φοίβης εἶδος ἀπεπλάσατο.
καὶ πάλιν ἠρήρειστο τὰ χείλεα, γυιοβόρον γὰρ
εἶχον ἀλωφήτου λιμὸν ἐρωμανίης.
ῥεῖά τις ἡμερίδος στελέχη δύο σύμπλοκα λύσει,
στρεπτὰ, πολυχρονίῳ πλέγματι συμφυέα,
ἢ κείνους φιλέοντας, ὑπ' ἀντιπόροισιν ἀγοστοῖς
ὑγρὰ περιπλέγδην ἅψεα δησαμένους.
τρὶς μάκαρ, ὃς τοίοισι, φίλη, δεσμοῖσιν ἑλίχθη·
τρὶς μάκαρ· ἀλλ' ἡμεῖς ἄνδιχα καιόμεθα.

## VIII.

Πρόκριτός ἐστι, Φίλιννα, τεὴ ῥυτὶς, ἢ ὀπὸς ἥβης
πάσης· ἱμείρω δ' ἀμφὶς ἔχειν παλάμαις
μᾶλλον ἐγὼ σέο μῆλα καρηβαρέοντα κορύμβοις,
ἢ μαζὸν νεαρῆς ὄρθιον ἡλικίης.
σὸν γὰρ ἔτι φθινόπωρον ὑπέρτερον εἴαρος ἄλλης,
χεῖμα σὸν ἀλλοτρίου θερμότερον θέρεος.

VIII, 1. Apogr. Buher. τεὴ κύπρις ἢ ὀπὸς ἥβης.

T. III. p. 74.

## IX.

Ὄμματά σου βαρύθουσι, πόθου πνείοντα, Χαρικλοῖ,
οἷά περ ἐκ λέκτρων ἄρτι διεγρομένης·
ἔσκυλται δὲ κόμη, ῥοδέης δ' ἀμάρυγμα παρειῆς
ὦχρος ἔχει λευκός, καὶ δέμας ἐκλέλυται.
εἰ μὲν παννυχίῃσιν ὁμιλήσασα παλαίστραις
ταῦτα φέρεις, ὄλβῳ πάντας ὑπερπέταται;
ὅς σε περιπλέγδην ἔχε πήχεσιν· εἰ δέ σε τήκει
θερμὸς ἔρως, εἴης εἰς ἐμὲ τηκομένη.

## X.

Βόστρυχον ἡμιγέροντα τί μέμφεαι, ὄμματά θ' ὑγρὰ
δάκρυσιν; ἡμετέρων παίγνια ταῦτα πόθων.
φροντίδες ἀπρήκτοιο πόθου τάδε, ταῦτα βελέμνων
σύμβολα, καὶ δολιχῆς ἔργα νυχεγρεσίης.
καὶ γάρ που λαγόνεσσι ῥυτὶς παναώριος ἤδη,
καὶ λαγαρὸν δειρῇ δέρμα περικρέμαται.
ὁππόσον ἡβάσκει φλογὸς ἄνθεα, τόσσον ἐμεῖο
ἄψεα γηράσκει φροντίδι γυιοβόρῳ.
ἀλλὰ κατοικτείρασα δίδου χάριν. αὐτίκα γάρ μοι
χρὼς ἀναθηλήσει κρατὶ μελαινομένῳ.

## XI.

Μαζοὺς χερσὶν ἔχω, στόματι στόμα, καὶ περὶ δειρὴν
ἄσχετα λυσσώων βόσκομαι ἀργυφέην.
οὔπω δ' Ἀφρογένειαν ὅλην ἕλον· ἀλλ' ἔτι κάμνω,
παρθένον ἀμφιέπων, λέκτρον ἀναινομένην.

IX. 6. Cod. ὄλβου παντός.
X. 1. Cod. ὠμογέροντα. 5. Cod. τανυώριος. 10. Salm. mal. θρὶξ ἀνθ.

ἥμισυ γὰρ Παφίῃ, τὸ δ' ἄρ' ἥμισυ δῶκεν Ἀθήνῃ· Γ. III.
αὐτὰρ ἐγὼ μέσσος τήκομαι ἀμφοτέρων.

## XII. p. 75.

Δειελινῷ χαρίεσσα Μενεκρατὶς ἔκχυτος ὕπνῳ
κεῖτο περὶ κροτάφους πῆχυν ἑλιξαμένη.
τολμήσας δ' ἐπέβην λεχέων ὕπερ. ὡς δὲ κελεύθου
ἥμισυ κυπριδίης ἤνυον ἀσπασίως,
ἡ παῖς ἐξ ὕπνοιο διέγρετο, χερσὶ δὲ λευκαῖς
κράατος ἡμετέρου πᾶσαν ἔτιλλε κόμην·
μαρναμένης δὲ τὸ λοιπὸν ἀνύσσαμεν ἔργον ἔρωτος.
ἡ δ' ὑποπιμπλαμένη δάκρυσιν εἶπε τάδε·
Σχέτλιε, νῦν μὲν ἔρεξας ὅ τοι φίλον, ᾧ ἔπι πουλὺν
πολλάκι σῆς παλάμης χρυσὸν ἀπωμοσάμην·
οἰχόμενος δ' ἄλλην ὑποκόλπιον εὐθὺς ἑλίξεις.
ἐστὲ γὰρ ἀπλήστου κύπριδος ἐργατίναι.

## XIII.

Δάκρυά μοι σπένδουσαν ἐπήρατον οἰκτρὰ Θεανὼ
εἶχον ὑπὲρ λέκτρων πάννυχον ἡμετέρων;
ἐξότε γὰρ πρὸς Ολυμπον ἀνέδραμεν ἕσπερος ἀστήρ,
μέμφετο μελλούσης ἄγγελον ἠριπόλης.
οὐδὲν ἐφημερίοις καταθύμιον. εἴ τις Ἐρώτων
λάτρις, νύκτας ἔχειν ὤφελε Κιμμερίων.

## XIV.

Ὄμμα πολυπτοίητον ὑποκλέπτουσα τεκούσης,
συζυγίην μήλων δῶκεν ἐμοὶ ῥοδέων

XII. 3. Cod. κέλευθον.
XIII. 4. Cod. ἠρικόμης.

T. III. θηλυτέρη χαρίεσσα. μοῦνον τινὰ πυρσὸν ἐρώτων
λαθριδίως μήλοις μίξεν ἐρευθομένοις.
εἰμὶ γὰρ ὁ τλήμων φλογὶ σύμπλοκος· ἀντὶ δὲ μαζῶν,
ὢ πόποι, ἀπρήκτοις μῆλα φέρω παλάμαις.

p. 76. XV.

Εἰς τὸ αὐτό.

Εἰπὸν ἐμοὶ, χαρίεσσα, τεῶν τάδε σύμβολα μαζῶν
ὤπασας; ὀλβίζω τὴν χάριν ὡς μεγάλην.
εἰ δ' ἐπὶ τοῖς μίμνεις, ἀδικεῖς, ὅτι λάβρον ἀνῆψας
πυρσὸν, ἀποσβέσσαι τοῦτον ἀναινομένη.
Τήλεφον ὁ τρώσας καὶ ἀκέσσατο. μὴ σύ γε κούρη
εἰς ἐμὲ δυσμενέων γίνεο πικροτέρη.

XVI.

Χρύσεος ἀψαύστοιο διέτμαγεν ἅμμα κορείας
Ζεὺς, διαδὺς Δανάας χαλκελάτους θαλάμους.
φαμὶ λέγειν τὸν μῦθον ἐγὼ τάδε· ΧΑΛΚΕΑ ΝΙΚΑι
ΤΕΙΧΕΑ ΚΑΙ ΔΕΣΜΟΥΣ ΧΡΥΣΟΣ Ο ΠΑΝΔΑΜΑΤΩΡ.
χρυσὸς ὅλους ῥυτῆρας, ὅλας κληῖδας ἐλέγχει,
χρυσὸς ἐπιγνάμπτει τὰς σοβαροβλεφάρους,
καὶ Δανάας ἐλύγωσεν ὅδε φρένα. μή τις ἐραστὰς
λισσέσθω Παφίαν, ἀργύριον παρέχων.

XVII.

Οὔτε ῥόδον στεφάνων ἐπιδεύεται, οὔτε σὺ πέπλων,
οὔτε λιθοβλήτων, πότνια, κεκρυφάλων.
μάργαρα σῆς χροιῆς ἀπολείπεται, οὐδὲ κομίζει
χρυσὸς ἀπεκτήτου σῆς τριχὸς ἀγλαΐην·

Ἰνδῴη δ' ὑάκινθος ἔχει χάριν αἴθοπος αἴγλης, T. III.
ἀλλὰ τεῶν λογάδων πολλὸν ἀφαυροτέρην.
χείλεα δὲ δροσόεντα, καὶ ἡ μελίφυρτος ἐκείνη
ἤθεος ἁρμονίη, κεστὸς ἔφυ Παφίης.
τούτοις πᾶσιν ἐγὼ καταδάμναμαι· ὄμμασι μούνοις
θέλγομαι, οἷς ἐλπὶς μείλιχος ἐνδιάει.

## XVIII. p. 77.

Ἐσβέσθη φλογεροῖο πυρὸς μένος, οὐκ ἔτι κάμνω·
ἀλλὰ καταθνήσκω ψυχόμενος, Παφίη.
ἤδη γὰρ μετὰ σάρκα δι' ὀστέα καὶ φρένας ἕρπει
παμφάγον ἀσθμαίνων οὗτος ὁ πικρὸς Ἔρως.
καὶ φλὸξ ἐν τελεταῖς, ὅτε θύματα πάντα λαφύξῃ,
φορβῆς ἠπανίῃ ψύχεται αὐτομάτως.

## XIX.

Ἐξότε μοι πίνοντι συνεψιάουσα Χαρικλὼ
λάθρη τοὺς ἰδίους ἀμφέβαλε στεφάνους,
πῦρ ὀλοὸν δάπτει με. τὸ γὰρ στέφος, ὡς δοκέω, τι
εἶχεν, ὃ καὶ Γλαύκην φλέξε Κρεοντιάδα.

## XX.

Μηκέτι τις πτήξειε πόθου βέλος. ἰοδόκην γὰρ
εἰς ἐμὲ λάβρος Ἔρως ἐξεκένωσεν ὅλην.
μὴ πτερύγων τρομέοι τις ἐπήλυσιν. ἐξότε γάρ μοι
λὰξ ἐπιβὰς στέρνοις πικρὸν ἔπηξε πόδα,
ἀστεμφής, ἀδόνητος ἐνίζεται, οὐδὲ μετέστη,
εἰς ἐμὲ συζυγίην κειράμενος πτερύγων.

XVII. 6. Fort. λοχάδων.
XVIII. 6. Codd. φορβῆς ἡ μανίῃ.

T. III. XXI.

Φεῦ φεῦ, καὶ τὸ λάλημα τὸ μείλιχον ὁ φθόνος εἴργει,
βλέμμα τε λαθριδίως φθεγγομένων βλεφάρων.
ἱσταμένης δ' ἄγχιστα τεθήπαμεν ὄμμα γεραιῆς,
οἷα πολυγλήνου βουκόλον Ἰναχίης.
Ἵστασο, καὶ σκοπίαζε, μάτην δὲ σὸν ἦτορ ἀμύσσου·
οὐ γὰρ ἐπὶ ψυχῆς ὄμμα τεὸν τανύσεις.

p. 78. XXII.

Εἰπὲ τίνι πλέξεις ἔτι βότρυχον, ἢ τίνι χεῖρας
φαιδρυνέεις, ὀνύχων ἀμφιτεμὼν ἀκίδα;
ἐς τί δὲ κοσμήσεις ἁλιανθέϊ φάρεα κόχλῳ,
μηκέτι τῆς καλῆς ἐγγὺς ἰὼν Ῥοδόπης;
ὄμμασιν οἷς Ῥοδόπην οὐ δέρκομαι, οὐδὲ φαεινῆς
φέγγος ἰδεῖν ἐθέλω χρύσεον Ἠριπόλης.

XXIII.

Χρυσῆς εἰρύσσασα μίαν τρίχα Δωρὶς ἐθείρης,
οἷα δορυκτήτους δῆσεν ἐμὰς παλάμας.
αὐτὰρ ἐγὼ τοπρὶν μὲν ἐκάγχασα, δεσμὰ τινάξαι
Δωρίδος ἱμερτῆς εὐμαρὲς οἰόμενος·
ὡς δὲ διαῤῥῆξαι σθένος οὐκ ἔχον, ἔστενον ἤδη,
οἷά τε χαλκείῃ σφιγκτὸς ἀλυκτοπέδῃ.
καὶ νῦν ὁ τρισάποτμος ἀπὸ τριχὸς ἠέρτημαι,
δεσπότις ἔνθ' ἐρύσῃ, πυκνὰ μεθελκόμενος.

XXIV.

XXII. 2. Vulgo φαιδρύνεις.
XXIII. 2. Cod. ἐμοῦ παλάμας.

XXIV. T. III.

Ὤμοσα μιμνάζειν σέο τηλόθεν, ἀργέτι κούρη,
ἄχρι δυωδεκάτης, ὦ πόποι, ἠριπόλης.
οὐδ' ἔτλην ὁ τάλας. τὸ γὰρ αὔριον ἄμμι φαάνθη
τηλοτέρω μήνης, ναὶ μὰ σέ, δωδεκάτης.
ἀλλὰ θεοὺς ἱκέτευε, φίλη, μὴ ταῦτα χαράξαι
ὅρκια ποιναίης νῶτον ὑπὲρ σελίδος·
θέλγε δὲ σαῖς χαρίτεσσιν ἐμὴν φρένα· μηδ' ἐμὲ μάστιξ,
πότνα, κατασμύξῃ καὶ σέο καὶ μακάρων.

XXV. p. 79.

Δικλίδας ἀμφετίναξεν ἐμοῖς Γαλάτεια προσώποις
ἕσπερος, ὑβριστὴν μῦθον ἐπευξαμένη.
ΥΒΡΙΣ ΕΡΩΤΑΣ ΕΛΥΣΕ. μάτην ὅδε μῦθος ἀλᾶται.
ὕβρις ἐμὴν ἐρέθει μᾶλλον ἐρωμανίην.
ὤμοσα γὰρ λυκάβαντα μένειν ἀπάνευθεν ἐκείνης.
ὦ πόποι· ἀλλ' ἱκέτης πρώϊος εὐθὺς ἔβην.

XXVI.

Ἀνέρα λυσσητῆρι κυνὸς βεβολημένον ἰῷ
ὕδασι θηρείην εἰκόνα φασὶ βλέπειν.
λυσσώων τάχα πικρὸν Ἔρως ἐνέπηξεν ὀδόντα
εἰς ἐμέ, καὶ μανίαις θυμὸν ἐληΐσατο.
σὴν γὰρ ἐμοὶ καὶ πόντος ἐπήρατον εἰκόνα φαίνει,
καὶ ποταμῶν δῖναι, καὶ δέπας οἰνοχόον.

XXVII.

Τὴν πρὶν ἐνεσφρήγισσεν Ἔρως θρασὺς εἰκόνα μορφῆς
ἡμετέρης θερμῷ βένθεϊ σῆς κραδίης,
φεῦ, φεῦ, νῦν ἀδόκητος ἀπέπτυσας· αὐτὰρ ἐγώ τοι
γραπτὸν ἔχω ψυχῇ σῆς τύπον ἀγλαΐης.

T. III. τοῦτον καὶ Φαέθοντι καὶ Αἴδι, βάρβαρε, δείξω,
Κρῆσσαν ἐπισπέρχων εἰς σε δικασπολίην.

## XXVIII.

Δηθύνει Κλεοφάντις· ὁ δὲ τρίτος ἄρχεται ἤδη
λύχνος ὑποκλάζειν ἦκα μαραινόμενος.
αἴθε δὲ καὶ κραδίης πυρσὸς συναπέσβετο λύχνῳ,
μηδέ μ' ὑπ' ἀγρύπνοις δηρὸν ἔκαιε πόθοις.
p. 80. ἆ, πόσα τὴν Κυθέρειαν ἐπώμοσεν ἕσπερος ἥξειν·
ἀλλ' οὔτ' ἀνθρώπων φείδεται οὔτε θεῶν.

## XXIX.

Χθιζά μοι Ερμώνασσα φιλακρήτους μετὰ κώμους
στέμμασιν αὐλείας ἀμφιπλέκοντι θύρας
ἐκ κυλίκων ἐπέχευεν ὕδωρ· ἀμάθυνε δὲ χαίτην,
ἣν μόλις ἐς τρισσὴν πλέξαμεν ἀμφιλύκην.
ἐφλέχθην δ' ἔτι μᾶλλον ὑφ' ὕδατος. ἐκ γὰρ ἐκείνης
λάθριον εἶχε κύλιξ πῦρ γλυκερῶν στομάτων.

## XXX.

Φράζεό μοι, Κλεοφάντις, ὅση χάρις, ὁππότε δοιοὺς
λάβρον ἐπαιγίζων ἶσος ἔρως κλονέει.
ποῖος ἄρης, ἢ τάρβος ἀπείριτον, ἠὲ τίς αἰδὼς
τούσδε διακρινέει, πλέγματα βαλλομένους;
εἴη μοι μελέεσσι τὰ Λήμνιος ἥρμοσεν ἄκμων
δεσμὰ, καὶ Ηφαίστου πᾶσα δολοῤῥαφίη·
μοῦνον ἐγὼ, χαρίεσσα, τεὸν δέμας ἀγκὰς ἑλίξας
θελγοίμην ἐπὶ σοῖς ἅψεσι βαλλόμενος.

XXVIII. 5. Cod. ἕσπερος ἵξειν.
XXX. 4. Vulgo διακρίνει.

δὴ τȣτε καὶ ξεῖνός με καὶ ἐνδήμιος καὶ ὁδίτης, T. III.
πότνια, καὶ ἀρητὴρ, κȣ̀ παράκοιτις ἴδμι.

### XXXI.

Μέχρι τίνος φλογόεσσαν ὑποκλέπτοντες ὀπωπὴν
φώριον ἀλλήλων βλέμμα τιτυσκόμεθα;
λεκτέον ἀμφαδίην μελεδήματα· κἤν τις ἐρύξῃ
μαλθακὰ λυσιπόνȣ πλέγματα συζυγίης,
φάρμακον ἀμφοτέροις ξίφος ἔσσεται. ἥδιον ἡμῖν
ξυνὸν ἀεὶ μεθέπειν ἢ βίον ἢ θάνατον.

### XXXII.

Ὁ πρὶν ἀμαλθάκτοισιν ἐνὶ φρεσὶν ἦθον ἐν ἥβῃ p. 81.
οἰστροφόρȣ Παφίης θεσμὸν ἀπειπάμενος,
γυιοβόροις βελέεσσιν ἀνέμβατος ὁ πρὶν Ἐρώτων,
αὐχένα σοὶ κλίνω, Κύπρι, μεσαιπόλιος.
δέξο με καγχαλόωσα, σοφὴν ὅτι Παλλάδα νικᾷς
νῦν πλέον, ἢ τοπάρος μήλῳ ἐφ' Ἑσπερίδων.

### XXXIII.

Ναὶ τάχα Ταντάλεης Ἀχερόντια πήματα ποινῆς
ἡμετέρων ἀχέων ἐστὶν ἐλαφρότερα.
ȣ̓ γὰρ ἰδὼν σέο κάλλος, ἀπείργετο χείλεα μῖξαι
χείλεϊ σῷ, ῥοδέων ἁβροτέρῳ καλύκων,
Τάνταλος ἀκριτόδακρυς· ὑπερτέλλοντα δὲ πέτρον
δείδιεν· ἀλλὰ θανεῖν δεύτερον ȣ̓ δύναται.
αὐτὰρ ἐγὼ ζωὸς μὲν ἐὼν κατατήκομαι οἴστρῳ,
ἐκ δ' ὀλιγοδρανίης καὶ μόρον ἐγγὺς ἔχω.

### XXXIV.

Κεκρύφαλοι σφίγγȣσι τεὴν τρίχα; τήκομαι οἴστρῳ,
Ῥείης πυργοφόρȣ δείκελον εἰσορόων.

T. III. ἀσκεπές ἐστι κάρηνον; ἐγὼ ξανθίσμασι χαίτης
ἔκχυτον ἐκ στέρνων ἐξεσόβησα νόον.
ἀργενναῖς ὀθόνῃσι κατήορα βόστρυχα κεύθεις;
οὐδὲν ἐλαφροτέρη φλὸξ κατέχει κραδίην.
μορφὴν τριχθαδίην Χαρίτων τριὰς ἀμφιπολεύει·
πᾶσα δ᾽ ἐμοὶ μορφὴ πῦρ ἴδιον προχέει.

p. 82. XXXV.

Πρὸς τὸ Ἀγαθίου ἐλεγεῖον κβ. Μηδὲν ἄγαν.

Ὁ θρασύς, ὑψαύχην τε, καὶ ὀφρύας εἰς ἓν ἀγείρας
κεῖται παρθενικῆς παίγνιον ἀδρανέος·
ὁ πρὶν ὑπερβασίῃ δοκέων τὴν παῖδα χαλέπτειν
αὐτὸς ὑποδμηθεὶς ἐλπίδος ἐκτὸς ἔβη.
καί ῥ᾽ ὁ μὲν ἱκεσίοισι πεσὼν θηλύνεται οἴκτοις·
ἡ δὲ κατ᾽ ὀφθαλμῶν ἄρσενα μῆνιν ἔχει.
παρθένε θυμολέαινα, καὶ εἰ χόλον ἔνδικον αἴθες,
σβέσσον ἀγηνορίην, ἐγγὺς ἴδ᾽ ἐς Νέμεσιν.

XXXVI.

Εἰς ἰχθὺν ὃν ἔπεμψε τῇ κόρῃ.

Εἰ καὶ τηλοτέρω Μερόης τεὸν ἴχνος ἐρείσεις,
πτηνὸς Ἔρως πτηνῷ κεῖσε τάχει με φέρει.
εἰ καὶ ἐς ἀντολίην πρὸς ὁμόχροον ἵξεαι Ἠῶ,
πεζὸς ἀμετρήτοις ἕψομαι ἐν σταδίοις.
εἰ δέ τι σοὶ στέλλω βύθιον γέρας, ἵλαθι κούρη,
εἰς σὲ θαλασσαίη τοῦτο φέρει Παφίη,
κάλλεϊ νικηθεῖσα τεοῦ χροὸς ἱμερόεντος,
τὸ πρὶν ἐπ᾽ ἀγλαΐῃ θάρσος ἀπωσαμένη.

## XXXVII.

T. III.

Ὀφθαλμοὶ, τέο μέχρις ἀφύσσετε νέκταρ Ἐρώτων,
κάλλεος ἀκρήτου ζωροπόται θρασέες;
τῆλε διαθρέξωμεν ὅπῃ σθένος· ἐν δὲ γαλήνῃ
νηφάλια σπείσω Κύπριδι Μειλιχίῃ.
εἰ δ' ἄρα που καὶ κεῖθι κατάσχετος ἔσσομαι οἴστρῳ,
γίνεσθε κρυεροῖς δάκρυσι μυδαλέοι,
ἔνδικον ὀτλήσοντες ἀεὶ πόνον. ἐξ ὑμέων γὰρ, p. 83.
φεῦ, πυρὸς ἐς τόσσην ἤλθομεν ἐργασίην.

## XXXVIII.

Ἱππομένην φιλέουσα νόον προσέρεισα Λεάνδρῳ·
ἐν δὲ Λεανδρείοις χείλεσι πηγνυμένη
εἰκόνα τὴν Ξάνθοιο φέρω φρεσί· πλεξαμένη δὲ
Ξάνθον, ἐς Ἱππομένην νόστιμον ἦτορ ἄγω.
πάντα τὸν ἐν παλάμῃσιν ἀναίνομαι· ἄλλοτε δ' ἄλλου
αἰὲν ἀμοιβαίοις πήχεσι δεχνυμένη,
ἀφνειὴν Κυθέρειαν ὑπέρχομαι. εἰ δέ τις ἡμῖν
μέμφεται, ἐν πενίῃ μιμνέτω οἰογάμῳ.

## XXXIX.

ΣΩΖΕΟ σοὶ μέλλων ἐνέπειν, παλίνορσον ἰωὴν
ἂψ ἀνασειράζω, καὶ πάλιν ἄγχι μένω.
σὴν γὰρ ἐγὼ δασπλῆτα διάστασιν, οἷά τε πικρὴν
νύκτα καταπτήσσω τὴν Ἀχεροντιάδα.
ἤματι γὰρ σέο φέγγος ὁμοίϊον. ἀλλὰ τὸ μέν που
ἄφθογγον· σὺ δ' ἐμοὶ καὶ τὸ λάλημα φέρεις
κεῖνο, τὸ Σειρήνων γλυκερώτερον, ᾧ ἔπι πᾶσαι
εἰσὶν ἐμῆς ψυχῆς ἐλπίδες ἐκκρεμέες.

T. III:

## XL.

Σπείσομεν οἰνοποτῆρες ἐγερσιγέλωτι Λυαίῳ,
ὤσομεν ἀνδροφόνον φροντίδα ταῖς φιάλαις.
σιτοδόκῳ δ' ἄγραυλος ἀνὴρ βαρύμοχθος ἰάλλοι
γαστρὶ μελαμπέπλου μητέρα Φερσεφόνης·
ταυροφόνων δ' ἀμέγαρτα καὶ αἱμαλέων κρέα δόρπων
θηρσὶ καὶ οἰωνοῖς λείψομεν ὠμοβόροις·
p. 84. ὀστέα δ' αὖ νεπόδων ταμεσίχροα χείλεσι φωτῶν
εἰξάτω, οἷς Ἀΐδης φίλτερος ἠελίου·
ἡμῖν δ' ὀλβιόδωρον ἀεὶ μέθυ καὶ βόσις ἔστω
καὶ ποτόν· ἀμβροσίην δ' ἄλλος ἔχειν ἐθέλοι.

## XLI.

Σοὶ τὰ λιποστεφάνων διατίλματα μυρία φύλλων,
σοὶ τὰ νοοπλήκτου κλαστὰ κύπελλα μέθης,
βόστρυχα σοὶ τὰ μύροισι δεδευμένα, τῇδε κονίῃ
σκῦλα ποθοβλήτου κεῖται Ἀναξαγόρα,
σοὶ τάδε, Λαΐς, ἅπαντα. παρὰ προθύροις γὰρ ὁ δειλὸς
τοῖσδε, σὺν ἀκρήβαις πολλάκι παννυχίσας,
οὐκ ἔπος, οὐ χαρίεσσαν ὑπόσχεσιν, οὐδὲ μελιχρῆς
ἐλπίδος ὑβριστὴν μῦθον ἐπεσπάσατο.
φεῦ φεῦ, γυιοτακὴς δὲ λιπὼν τάδε σύμβολα κώμων,
μέμφεται ἀτρέπτῳ κάλλεϊ θηλυτέρων.

## XLII.

Ἀντίγραφον πρὸς τὸ Ἀγαθίου ἐλεγεῖον κτ.

Θεσμὸν Ἔρως οὐκ οἶδε βιημάχος, οὐδέ τις ἄλλη
ἀνέρα νοσφίζει πρῆξις ἐρωμανίης.

XLI. 2. Vat. Cod. κλαστὰ, e correctione tamen; nam primo ſcriptum fuerat πλακτά.

εἰ δέ σε θεσμοπόλοιο μεληδόνος ἔργον ἐρύκει,
οὐκ ἄρα σοι στέρνοις λάβρος ἔνεστιν ἔρως.
ποῖος ἔρως, ὅτε βαιὸς ἁλὸς πόρος οἶδε μερίζειν
σὸν χρόα παρθενικῆς τηλόθεν ὑμετέρης;
νηχόμενος Λείανδρος ὅσον κράτος ἐστὶν ἐρώτων
δείκνυεν, ἐννυχίου κύματος οὐκ ἀλέγων·
σοὶ δὲ, φίλος, παρέασι καὶ ὁλκάδες. ἀλλὰ θαμίζεις
μᾶλλον Ἀθηναίῃ, Κύπριν ἀπωσάμενος.
θεσμοὺς Παλλὰς ἔχει, Παφίη πόθον. εἰπὲ, τίς ἀνὴρ p. 85.
εἶν ἑνὶ θητεύσει Παλλάδι καὶ Παφίῃ;

## XLIII.

Μή ποτε κοιλήνῃς Παφίῃ νόον. ἀντιτύπου γὰρ
εὐθὺς ἀποθρώσκει κοῦφος Ἔρως κραδίης.
οἶστρος ὀλισθήεσσαν ἔχει φύσιν. ἤν τις ὀϊστοῦ
ἄκρον ἕλῃ φλογέου, δύεται ἐντὸς ὅλος.
ἐλπίδι μὴ θέλξῃς φρένα μαχλάδι. γυιοβόρον γὰρ
πῦρ ὑποριπίζει, θυμὸν ἐφελκομένη.

## XLIV.

Βοτρυΐνων ἀκάμαντα φυτῶν λωβήτορα κάπρον,
τὸν θρασὺν ὑψικόμων ἐνναέταν δονάκων,
πολλάκις ἐξερύσαντα θοῶν ἀκμαῖσιν ὀδόντων
δένδρεα, καὶ νομίους τρεψάμενον σκύλακας,
ἀντήσας ποταμοῖο πέλας, πεφρικότα χαίτας,
ἄρτι καὶ ἐξ ὕλας πάγχυ λιπόντα βάθος,
χαλκῷ Ζεινόφιλος κατενήρατο, καὶ παρὰ φηγῷ
θηρὸς ἀθωπεύτου Πανὶ καθῆψε δέρας.

XLIII. 5. Cod. γυιοκόρον.
XLIV. 7. Cod. Ζεινέφιλος. in lemmate Ζενοφίλου.

T. III.

## XLV.

Ἀνδροκλος, ὤπολλον, τόδε σοὶ κέρας, ᾧ ἔπι πουλὺν
θῆρα βαλὼν, ἄγρας εὔσκοπον εἶχε τύχην.
οὔποτε γὰρ πλαγκτὸς ψυρῆς ἐξᾶλτο κεραίας
ἰὸς ἐπ' ἠλεμάτῳ χειρὸς ἐκηβολίῃ.
ὁσσάκι γὰρ τόξοιο παναγρέος ἴαχε νευρὴ,
τοσσάκις ἦν ἀγρευς ἠέρος ἢ ξυλόχου.
ἀνθ' ὧν σοὶ τόδε, Φοῖβε, τὸ Λύκτιον ὅπλον ἀγινεῖ,
χρυσείαις πλέξας μείλιον ἀμφιδέαις.

p. 86.

## XLVI.

Ἀσπίδα ταυρείην, ἔρυμα χροὸς, ἀντιβίων τε
πολλάκις ἐγχείην γευσαμένην χολάδων,
καὶ τὸν ἀλεξιβέλεμνόν ἀπὸ στέρνοιο χιτῶνα,
καὶ κόρυν ἱππείαις θριξὶ δασυνομένην
ἄνθετο Λυσίμαχος γέρας Ἀρεῖ, γηρᾶλέου νῦν
ἀντὶ πανοπλίης βάκτρον ἀμειψάμενος.

## XLVII.

Σοὶ τόδε, πενταίχμοισι ποδῶν ὡπλισμένον ἀκμαῖς,
ἀκροχανὲς φονίῳ κρατὶ συνεξερύσας,
ἄνθετο δέρμα λέοντος ὑπὲρ πίτυν, αἰγιποδη Πὰν,
Τεῦκρος Ἄραψ, καὐτὰν ἀγρότιν αἰγανέαν.
αἰχμῇ δ' ἡμιβρῶτι τύποι μίμνουσιν ὀδόντων,
ᾇ ἔπι βρυχητὰν θὴρ ἐκένωσε χόλον.
ὑδριάδες Νύμφαι δὲ σὺν ὑλονόμοισι χορείαν
στῆσαν, ἐπεὶ καὐτὰς πολλάκις ἐξεφόβει.

## XLVIII. T.III.

Τὸν χαλκοῦν τέττιγα Λυκωρέϊ Λοκρὸς ἀνάπτει
Εὔνομος, ἀθλοσύνας μνᾶμα φιλοστεφάνου.
ἦν γὰρ ἀγὼν φόρμιγγος· ὁ δ' ἀντίος ἵστατο Πάρθις.
ἀλλ' ὅκα δὴ πλάκτρῳ Λοκρὶς ἔκρεξε χέλυς,
βραγχὸν τετριγυῖα λύρας ἀπεκόμπασε χορδά·
πρὶν δὲ μέλος σκάζειν εὔποδος ἁρμονίης,
ἁβρὸν ἐπιτρύζων κιθάρας ὑπερέζετο τέττιξ,
καὶ τὸν ἀποιχομένου φθόγγον ὑπῆλθε μίτου·
τὰν δὲ πάρος λαλαγεῦσαν ἐν ἄλσεσιν ἀγρότιν ἀχὼ
πρὸς νόμον ἁμετέρας τρέψε λυροκτυπίας.
τῷ σε, μάκαρ Λητῷε, τεῷ τέττιγι γεραίρει, p. 87.
χάλκεον ἱδρύσας ᾠδὸν ὑπὲρ κιθάρας.

## XLIX.

Ζηνὶ τόδ' ὀμφάλιον σάκεος τρύφος, ᾧ ἔπι λαιὸν
ἔσχεν ἀριστεύων, ἄνθετο Νικαγόρας·
πᾶν δὲ τὸ λοιπὸν ἄκοντες, ἰσήριθμός τε χαλάζῃ
χερμὰς, καὶ ξιφέων ἐξεκόλαψε γένυς.
ἀλλὰ καὶ ἀμφίδρυπτον ἐὸν τόδε χειρὶ μεναίχμᾳ
σώζετο Νικαγόρᾳ, σῶζε δὲ Νικαγόραν.
θεσμὸν τὸν Σπάρτας μενεφύλοπιν ἀμφὶ βοείᾳ
τῆλέ τις ἀθρήσει πάντα φυλασσόμενον.

## L.

Γυρὸν κυανέης μόλιβον σημάντορα γραμμῆς,
καὶ σκληρῶν ἀκόνην τρηχαλέην καλάμων,

XLVIII. 3. Cod. Vat. ὁ. πάρθης et ſupra γρ. σπάρτας.

T. III. καὶ πλατὺν ὀξυντῆρα μεσοσχιδέων δονακήων,
καὶ κανόνα γραμμῆς ἰθυπόρου ταμίην,
καὶ χρόνιον γλυπτοῖσι μέλαν πεφυλαγμένον ἄντροις,
καὶ γλυφίδας καλάμων ἄκρα μελαινομένων
Ἑρμείῃ Φιλόδημος, ἐπεὶ χρόνῳ ἐκκρεμὲς ἤδη
ἦλθε κατ' ὀφθαλμῶν ῥυσὸν ἐπισκύνιον.

## LI.

Τὸν τροχόεντα μόλιβδον, ὃς ἀτραπὸν οἶδε χαράσσειν
ὀρθὰ παραξύων ἰθυτενῆ κανόνα,
καὶ χάλυβα σκληρὸν καλαμηφάγον, ἀλλὰ καὶ αὐτὸν
ἡγεμόνα γραμμῆς ἀπλανέος κανόνα,
καὶ λίθον ὀκριόεντα, δόναξ ὅθι δισσὸν ὀδόντα
θήγεται ἀμβλυνθεὶς ἐκ δολιχογραφίης,
p. 88. καὶ βυθίην Τρίτωνος ἁλιπλάγκτοιο χαμεύνην,
σπόγγον, ἀκεστορίην πλαζομένης γραφίδος,
καὶ κίστην πολύωπα μελανδόκον εἰν ἑνὶ πάντα
εὐγραφέος τέχνης ὄργανα ῥυομένην
Ἑρμῇ Καλλιμένης, τρομερὴν ὑπὸ γήραος ὄκνῳ
χεῖρα καθαρμόζων ἐκ δολιχῶν καμάτων.

## LII.

Ἄβροχον ἀπλανέος μόλιβον γραπτῆρα κελεύθου,
ἧς ἔπι ῥιζοῦται γράμματος ἁρμονίη,
καὶ κανόνα τροχαλοῖο κυβερνητῆρα μολίβδου,
καὶ λίθακα τρητὴν σπόγγῳ ἐειδομένην,
καὶ μέλανος σταθεροῖο δοχήϊον, ἀλλὰ καὶ αὐτὸν
εὐγραφέων καλάμων ἀκροβαφεῖς ἀκίδας,

σπόγγον, ἅλὸς βλάστημα, χυτῆς λειμῶνα θαλάσσης, T. III.
καὶ χαλκὸν δονάκων τέκτονα λεπταλέων
ἐνθάδε Καλλιμένης φιλομειδέσιν ἄνθετο Μούσαις,
γήραϊ κεκμηὼς ὄμματα καὶ παλάμην.

LIII.

Αὐλοὺς Πανὶ Μελίσκος· ὁ δ' ἔννεπε μὴ γέρας αἴρειν
τούτοις· Ἐκ καλάμων οἶστρον ἐπεσπασάμην.

LIV.

Εἰς εἰκόνα Μαρίας τῆς κιθαρῳδοῦ ἐν Βυζαντίῳ.

Σῶν μὲν κάλλος ἔδειξε μόλις γραφίς· αἴθε δὲ τεύχειν
ἔσθενε καὶ λιγυρῶν ἡδὺ μέλος στομάτων,
ὥς κεν ἐπ' ὀφθαλμοῖσι καὶ οὔασιν, ἔκ τε προσώπου,
ἔκ τε λυροκτυπίης ἶσον ἐθελγόμεθα.

LV. p. 89.

Πλῆκτρον ἔχει φόρμιγγος, ἔχει καὶ πλῆκτρον ἔρωτος·
κρούει δ' ἀμφοτέροις καὶ φρένα καὶ κιθάρην.
τλήμονες οἷς ἄγναμπτον ἔχει νόον· ᾧ δ' ἐπινεύσει,
ἄλλος ὅδ' Ἀγχίσης, ἄλλος Ἄδωνις ὅδε.
εἰ δ' ἐθέλεις, ὦ ξεῖνε, καὶ ἀμφιβόητον ἀκοῦσαι
οὔνομα, καὶ πάτρην, ἐκ Φαρίης Μαρίη.

LVI.

Εἰς ὡρολόγιον δι' ὕδατος.

Ἐνθάδε μιστύλλουσι δρόμον Φαετοντίδος αἴγλης
ἀνέρες ὡράων ἀμφὶ δυωδεκάδι·
ὕδασι δ' ἠελίοιο ταλαντεύουσι κελεύθους,
ἐς πόλον ἐκ γαίης μῆτιν ἐρεισάμενοι.

T. III.

## LVII.

Ἤδη μὲν ζεφύροισι μεμυκότα κόλπον ἀνοίγει
 εἴαρος εὐλείμων θελξινόοιο χάρις·
ἄρτι δὲ δουρατέοισιν ἐπωλίσθησε κυλίνδροις
 ὁλκὰς ἀπ' ἠϊόνων ἐς βυθὸν ἑλκομένη.
λαίφεα κυρτώσαντες ἀταρβέες ἔξιτε ναῦται,
 πρηὺν ἀμοιβαίης φόρτον ἐς ἐμπορίης.
πιστὸς νηυσὶ Πρίηπος, ἐπεὶ Θέτιν εὔχομαι εἶναι
 ἡμετέρου πατρὸς ξεινοδόκον Βρομίου.

## LVIII.

Εἰς βάκχην ἐν Βυζαντίῳ.

Ἔκφρονα τὴν βάκχην οὐχ ἡ φύσις, ἀλλ' ἡ τέχνη
 θήκατο, καὶ μανίην ἐγκατέμιξε λίθῳ.

p. 90.

## LIX.

Εἰς εἰκόνα Θεοδωριάδος.

Ὄμματα μὲν κούρης μόλις ἡ γραφίς, οὔτε δὲ χαίτην,
 οὔτε σέλας χροιῆς ἄκρον ἀπεπλάσατο.
εἴ τις μαρμαρυγὴν δύναται φαετοντίδα γράψαι,
 μαρμαρυγὴν γράψει καὶ Θεοδωριάδος.

## LX.

Εἰς εἰκόνα Κυνεγείρου.

Μηδοφόνους μὲν χεῖρας ὑπὲρ γαμψοῖο κορύμβου
 ναὸς ἀπορνυμένης ἐξέταμον κοπίδες,
ἁνίκα που, Κυνέγειρε, φυγάς ποτε φορτὶς ἐκείνα,
 ὥσπερ ἀπ' εὐναίας, εἴχετο σαῖς παλάμαις.
ἀλλὰ καὶ ὣς ἀπρὶξ δόρυ νήϊον ἀμφιδακοῦσαι
 ἄπνοον ὡμάρτευν τάρβος Ἀχαιμενίοις·

καὶ τὰς μέν τις ἀνὴρ ἕλε βάρβαρος· ἃ δέ γε χειρῶν T. III.
νίκα Μοψοπίοις μίμνε παρ᾽ ἐνναέταις.

## LXI.

Εἰς κῆπον παράλιον.

Πόντος ὑποκλύζει χθονὸς ἕδραν· πλωτὰ δὲ χέρσου
νῶτα θαλασσαίοις ἄλσεσι τηλεθάει.
ὡς σοφὸς, ὅστις ἔμιξε βυθὸν χθονὶ, φύκια κήποις,
Νηϊάδων προχοαῖς χεύματα Νηρεΐδων.

## LXII.

Ἐνθάδ᾽ ἐριδμαίνουσι τίνος πλέον ἔπλετ᾽ ὁ χῶρος
Νύμφαι Νηϊάδες, Νηρεΐδες, Δρυάδες·
ταῖς δὲ θεμιστεύει μεσάτη Χάρις, οὐδὲ δικάζειν p. 91.
οἶδεν, ἐπεὶ ξυνὴν τέρψιν ὁ χῶρος ἔχει.

## LXIII.

Εἰς λουτρὸν δίδυμον ἐν ᾧ λούονται καὶ γυναῖκες καὶ ἄνδρες.

Ἄγχι μὲν ἐλπὶς ἔρωτος· ἑλεῖν δ᾽ οὐκ ἔστι γυναῖκας.
εἶρξε πυλὶς Παφίην τὴν μεγάλην ὀλίγη.
ἀλλ᾽ ἔμπης γλυκὺ τοῦτο. ποθοβλήτοις γὰρ ἐπ᾽ ἔργοις
ἐλπὶς ἀληθείης ἐστὶ μελιχροτέρη.

## LXIV.

Εἰς οἶκον ὑψηλὸν ἐν Βυζαντίῳ.

Τρισσόθεν εἰσορόω πολυτερπέα νῶτα θαλάσσης,
πάντοθεν ἠματίῳ φέγγεϊ βαλλόμενος.
εἰς ἐμὲ γὰρ κροκόπεπλος ὅταν περικίδναται Ἠὼς,
τερπομένη, στείχειν πρὸς δύσιν οὐκ ἐθέλει.

T. III.

## LXV.

Εἰς τὸ μέγα Πραιτώριον καλλωπισθέν.

Κόσμον Ἰȣςῖνος βασιλεὺς ῥυπόωντα καθήρας
 καὶ τὰ μέγιςα Δίκης ἠγλάϊσεν τεμένη.
σοῖς δὲ πόνοις, Δομνῖνε, κατηφέα νύκτα διώκεις
 ἐκ Θέμιδος μεγάρων, ἐκ βιοτῆς μερόπων.

## LXVI.

Εἰς κωνωπεῶνα.

Οὐ βριαρόν τινα θῆρα, καὶ ȣ̓ τινα πόντιον ἰχθὺν,
 ȣ̓ πτερὸν ἀγρεύω πλέγμασιν ἡμετέροις,
p. 92. ἀλλὰ βροτȣ̀ς ἐθέλοντας. ἀλεξήτειρα δὲ τέχνη
 ἀνέρα μυιάων κέντρον ἀλευόμενον
ἐκ θαλίης ἀβρῶτα μεσημβριάοντα φυλάσσει,
 ȣ̓δὲν ἀφαυρότέρη τείχεος ἀςυόχȣ.
ὕπνȣ δ' ἀςυφέλικτον ἄγω χάριν. ἀλλὰ καὶ αὐτȣ̀ς
 δμῶας μυιοσόβȣ ῥύομαι ἀτμενίης.

## LXVII.

Καλλιγάμοις λέκτροις περικίδναμαι· εἰμὶ δὲ κεδνῆς
 δίκτυον ȣ̓ Φοίβης, ἀλλ' ἁπαλῆς Παφίης.
ἀνέρα δ' ὑπνώοντα μίτῳ πολύωπι καλύπτω,
 ζωοφόρων ἀνέμων ȣ̓δὲν ἀτεμβόμενον.

## LXVIII.

Εἰς τάβλαν.

Εζόμενος μὲν τῇδε παρ' εὐλάϊγγι τραπέζῃ
 παίγνια κινήσεις τερπνὰ βολοκτυπίης.
μήτε δὲ νικήσας μεγαλίζεο, μήτ' ἀπολειφθεὶς
 ἄχνυσο, τὴν ὀλίγην μεμφόμενος βολίδα.

LXV. 4. Scr. μεγάρων καὶ μερόπων βιοτῆς.

καὶ γὰρ ἐπὶ σμικροῖσι νόος διαφαίνεται ἀνδρός· T. III.
καὶ κύβος ἀγγέλλει βένθος ἐχεφροσύνης.

## LXIX.

Παίγνια μὲν τάδε πάντα· Τύχης δ' ἑτερότροπος ὁρμὴ
ταῖς ἀλόγοις ταύταις ἐμφέρεται βολίσι.
καὶ βροτέου βιότου σφαλερὸν μίμημα νοήσεις,
νῦν μὲν ὑπερβάλλων, νῦν δ' ἀπολειπόμενος.
αἰνέομεν δὴ κεῖνον, ὃς ἐν βιότῳ τε κύβῳ τε
χάρματι καὶ λύπῃ μέτρον ἐφηρμόσατο.

## LXX.

p. 93.

Τοῖς μὲν πρηϋνόμοις τάδε παίγνια· τοῖς δ' ἀκολάστοις
λύσσα καὶ ἀμπλακίη καὶ πόνος αὐτόματος.
ἀλλὰ σὺ μὴ λέξῃς τι θεημάχον ὕστατος ἕρπων,
μηδ' ἀναροιβδήσῃς ῥινοβόλῳ πατάγῳ.
δεῖ γὰρ μήτε πονεῖν ἐν ἀθύρμασι, μήτε τι παίζειν
ἐν σπουδῇ. καιρῷ δ' ἴσθι νέμειν τὸ πρέπον.

## LXXI.

Μήτε βαθυκτεάνοιο τύχης κουφίζεο ῥοίζῳ,
μήτε σέο γνάμψῃ φροντὶς ἐλευθερίην.
πᾶς γὰρ ὑπ' ἀσταθέεσσι βίος πελεμίζεται αὔραις,
τῇ καὶ τῇ θαμινῶς ἀντιμεθελκόμενος.
ἡ δ' ἀρετὴ σταθερόν τι καὶ ἄτροπον, ἧς ἔπι μούνης
κύματα θαρσαλέως ποντοπόρει βιότου.

## LXXII.

Ὄρθριος εὐπλέκτοιο λίνου νεφοειδέϊ κόλπῳ
ἔμπεσε σὺν κίχλῃ κόσσυφος ἠδυβόας.

T. III. καὶ τὰν μὲν πανάφυκτος ἕλε βρόχος· αἰκῶ δ' ἄπιστα
ἐξ ὀρνιθοπέδας ᾠδὸς ἐρημοφίλας.
ἤ τάχα που τριμάκαιρα φιλαγρέτις ὄρνιν ἀοιδὸν
Αρτεμις εὐμόλπῳ λῦσεν ἄνακτι λύρης.

## LXXIII.

Καλὰ τὰ παρθενίης κειμήλια· παρθενίη δὲ
τὸν βίον ὤλεσεν ἂν πᾶσι φυλαττομένη.
τοὔνεκεν ἐνθέσμως ἄλοχον λάβε, καί τινα κόσμῳ
δὸς βροτὸν ἀντὶ σέθεν· φεῦγε δὲ μαχλοσύνην.

## LXXIV.

p. 94.

Εἰς τὰ ἐν Πυθίοις θερμά.

Βούλει μαθεῖν, ἄνθρωπε,
θερμῶν ἄτεχνον ῥεῦμα,
πῶς καὶ πόθεν νοσοῦσι
φανὲν, πρόκειται πᾶσιν
ἀνάργυρον δώρημα,
καὶ προσφιλὲς γάνυσμα;
ἔγωγε τοῦτο δείξω,
ἐγὼ φέρων διδάξω
ὅσον σοφοὶ νοοῦσιν,
ὅσων φύσις παιδεύει,
καὶ πεῖρα συνδικάζει.
πρόσεχε· φράσων γὰρ ἥκω.

Ενερθε γῆς σήραγγας
εἶναι στενὰς νομίζουσιν·
ὕδωρ ἐκεῖθεν ἔνθεν
ἀντιτρέχον πιλεῖσθαι·

πιλούμε-

πιλούμενον δὲ, θέρμην T. III.
οὐ τὴν τυχοῦσαν πάσχειν.

Ἄλλοι λέγουσι τοῦτο·
μέταλλά που θειώδη
γῆς ἐν μυχοῖς ὑπάρχειν·
τὸ γειτονοῦν οὖν νᾶμα
θέρμης τυχὸν βιαίας,
κάτω μένειν οὐκ ἴσχον,
ἄνω τρέχειν τῷ πλήθει.

Ποῖον δέχῃ; τὸ πρῶτον; p. 95.
ἀλλ' οὐ δέδεγμαι τοῦτο·
τῷ δευτέρῳ σύμφημι.
ὀδμὴ γάρ ἐστιν, οἶδας,
μυδῶσα, δυσπνοοῦσα,
τρανόν τε μαρτυροῦσα.

Οὕτω προῆλθε πᾶσι
τὸ θερμόβλυστον ῥεῖθρον,
Ἱπποκράτης ἄψυχος,
τέχνης ἄνευ Γαληνός.
πίστις δὲ τούτου, νῆσος
τὸ πῦρ ἄνω φυσῶσα
πολλῷ βρέμον σὺν ἤχῳ,
πολλῇ τε σὺν κινήσει.
οἶδεν φέρειν τοιαῦτα
Τιτανία Μηδίας,
καὶ Περσικὴ Πιττάκη,
καὶ Λυδία πλουτοῦσα·

T. III. μεταλλόχρυσον γαῖαν.
Ἡρακλέων στηλῶν δὲ
πόῤῥω πέφυκε πλεῖστα.
ἐν δ' αὖ γε Πιθηκούσαις,
καὶ Λιπάρᾳ τῇ νήσῳ
ἀφεγγὲς ἐστιν ἆσθμα,
ὃ νυκτί περ παμφαῖνον
πέμπει λίθους θειώδεις,
πολυψόφους, βροντώδεις,
ὕψει τὸ πᾶν δηλοῦντας.
ἔστι δὲ μικρὰ ταῦτα
πρὸς ἄλλα κρείττω μείζω.
p. 96. πηγὴ τελεῖ γὰρ λήθην·
ἄλλη μέθην ποιεῖ δέ·
ἄλλη δ' ἔλαιον βλύζει·
ἄλλη γάλα προτείνει·
καί που τροχάζει νᾶμα
κτηνῶν ἄκος νοσούντων·
καί που ποθοῦσιν οἶνον
μίσητρόν ἐστιν ὕδωρ·
καί που μέσον θαλάσσης
πίδαξ ἀναῤῥοιβδεῖται·
καὶ χασμάτων ἐκπνεῖται
προλεκτικόν που πνεῦμα.
ἄσφαλτον ἄλλη γῆ δὲ
πῶς ἐξάγει; τί τοῦτο;
ὦ θαυμάτων τὸ θαῦμα·
πηγὴ ψόγῳ θολοῦται,

αἰνουμένη δὲ λάμπει. T. III.
ἄλλοι λέγουσιν ἄλλην
κρυπτοὺς δόλους ἐλέγχειν·
ἄλλην καθαρτικὴν δὲ
χυμῶν μόνων θρυλλοῦσιν·
ἄλλην δέμας κρατύνειν
χαῦνον διϊστοροῦσιν.
ὕδωρ πικρὸν τελεῖ δὲ
φῶς ἡλίου καυσῶδες,
ὃ νὺξ γλυκαίνειν οἶδεν
εἰς ἡδύληπτον ἕλξιν.
ὄλβος δὲ πηγῆς ἐστι
φύσιν κάτω τὴν κούφην,
ὁλκὴν δὲ τὴν βαρεῖαν
ἄνω φέρων ὡς ἄχνην. p. 97.
ἄλλος δὲ ῥοῦς μικρός σοι,
ὃς σωμάτων τὰς θλάσεις,
ὀστῶν τε τὰς κατάξεις
σφίγγει, στρέφει, πιαίνει.
Θέλεις προσοίσω πλείω;
ἔστιν, λέγουσι, νᾶμα,
ὅπερ βαλὼν εἰς ἄγγος,
εἰ νυξὶν αἰθριάζοις,
κρυσταλλόπηκτον εὕροις.
ἔστιν, λέγουσιν, ἄλλο,
ἐξ οὗ πιεῖν προκύψας,
δῦνον βλέπεις, σὲ φεῦγον,
γῆς μητρὸς ὡς ἐν κόλποις.

T. III. ἔστιν δὲ ῥοῦς, ὢ θαῦμα,
ὅς, εἰ δεδέξεταί τι,
λίθον τελεῖ τὸ πρᾶγμα
ἐν ἡμέραις οὐ πλείσταις.
ἄλλην λέγουσι κρήνην
βραχὺ βρύουσαν ὕδωρ,
ἥτις παρόντος ὄχλου
πλείω δίδωσι ῥεῖθρα.
ἄλλην δέ που πιστοῦνται,
ἣ χείματος παρόντος
ἄνικμός ἐστι πᾶσα·
προχεῖ θέρους δὲ νᾶμα.
ἄλλην ἀκούεις πάντως
ὕδωρ φέρειν νιτρῶδες,
ὡς ῥυμμάτων μὴ δεῖσθαι
λελουμένους ἐκεῖθι.
p. 98. θερμὰ προχεῖ δὲ λίμνη,
ὡς μὴ πίνεσθαι ζώοις·
ὄζει γὰρ ὥς τι πῦον,
ἢ σῆψις ἄλλης ὕλης.
ἐκεῖ λέγουσιν εἶναι
πολλὰς φυτῶν αἰγείρους
ἤλεκτρον ἐξαγούσας,
τὸ χρυσόμορφον εἶδος.
πίπτει δὲ τοῦτο πρῶτον
ὡς δάκρυον γλοιῶδες·
ἔπειτα δὴ πετροῦται.
ὢ τοῦ ξένου μετάλλου.

Δεῦρο φράσω καὶ τἆλλα. T. III.
φέρει τόπος τις λίμνην
μικρὰν λίαν, κυκλώδη,
πρὸς ἣν θέλων λυθῆναι,
πεπλησμένην εὑρήσεις.
ἕως δὲ πεντήκοντα
λελυμένυς καθαίρει·
εἰ δ' αὖ τις αὐτῇ πλείυς
ἄνδρας φέρει λυθῆναι,
ἔξω τρέχυσα ῥίπτει
τὺς ἀκρίτως τρυφῶντας.

Πέτρας καπνὸς δ' ἐξέρπει
κρύπτων ἔσω τὸ καῖον,
ὅπερ σαφῶς ἀνάψεις,
ἔλαιον εἴπερ σάξεις·
ἄλλη δέ τις βραχεῖα
πῦρ ἐξέθαλψε πέτρα,
εἰς ἣν ἔλαιον ῥαίνων, p. 99.
πάντως σβέσεις τὸ φαῖνον.
δέλτοι φέρυσιν ἄλλην
ὥρᾳ θέρυς βαθεῖα
πῦρ ἐξ ὀπῆς ἀνίσχειν,
χειμῶνος ὕδωρ ῥεῖν δέ.
λίθυς ἔχει δὲ ῥεῖθρον
ἅπτοντας ὡσεὶ δᾷδας,
ὡς ῥιπίδι ψυχάζων,
τὸν φλογμὸν ἐκπραΰνεις·

T. III. εἰ δ' αἷμα βαίνων σπείσεις,
τὸ πῦρ πλέον τυφοῦται.

Ἄλλως ὀπῆς ὠθεῖται
ὕδωρ τε καὶ πῦρ μίγδην,
καὶ τὴν φίλεχθρον μῖξιν
τετρακτύος πιστοῦται.
οὕτω φύσεις ἀπείρους
ὁ δεσπότης ἁπάντων
κτίζων, ἄγων, ἰθύνων,
κιρνῶν, πλέκων, ὡς οἶδε,
πρὸς θαῦμα καὶ λατρείαν
φύσεις σαφῶς ἐγείρει.
τοῦτον κάλει θεόν σου,
τοῦτον φρεσὶ φαντάζου,
μηδὲν τυπῶν πρὸς εἶδος,
εἰ μὴ θέλεις γε πταίειν.
ἄγνωστόν ἐστι πνεῦμα,
ἄρρητόν ἐστι πρᾶγμα,
ἄληκτόν ἐστι θαῦμα,
ἀναρχοφωτόμυστον,
p. 100. ἀρρητολεπτόπνευστον,
κόσμους φέρον καὶ βίους
ἐν πανσόφῳ χωρίῳ,
ἐν ἐνδίκῳ προνοίᾳ.

Οὕτω τὰ μὲν κατεῖδον,
τὰ δ' αὖ βίβλοι βοῶσιν,
τὰ δ' αὖ συνῆξε πεῖρα·

καὶ πίϛις ἐϛὶ πάντως T. III.
τὰ δῆλα τῶν ἀδήλων,
τὰ μικρὰ τῶν μεγίϛων.
τούτων σκοπῶν τὸ θαῦμα,
οἶδα, πλέον ποθήσεις
τὴν τρισσόφωτον φαῦσιν·
ποθῶν δὲ καὶ ζητήσεις·
ζητῶν δὲ καὶ θεώσεις
μετουσίᾳ τὸ κρεῖττον.

## LXXV.

Οὐ τὸ ζῆν χαρίεσσαν ἔχει φύσιν, ἀλλὰ τὸ ῥῖψαι
φροντίδας ἐκ ϛέρνων τὰς πολιοκροτάφους.
πλοῦτον ἔχειν ἐθέλω τὸν ἐπάρκιον· ἡ δὲ περισσὴ
θυμὸν ἀεὶ κατέδει χρυσομανὴς μελέτη.
ἔνθεν ἐν ἀνθρώποισιν ἀρείονα πολλάκι δήεις
καὶ πενίην πλούτου, καὶ βιότου θάνατον.
ταῦτα σὺ γιγνώσκων κραδίης ἴθυνε κελεύθους,
εἰς μίαν εἰσορόων ἐλπίδα, ΤΗΝ ΣΟΦΙΗΝ.

## LXXVI.

Σιγᾶς Χρυσεόμαλλε τὸ χάλκεον, οὐκ ἔτι δ' ἡμῖν
εἰκόνας ἀρχεγόνων ἐκτελέεις μερόπων
νεύμασιν ἀφθόγγοισι· τεῇ δ', ὄλβιστε, σιωπῇ p. 101.
νῦν ϛυγερὴ τελέθει, τῇ πρὶν ἐθελγόμεθα.

## LXXVII.

[α]Οὔνομά μοι.. [β]τί σε τοῦτο; [α]πατρὶς δέ μοι.. [β]ἐς τί δὲ τοῦτο;
[α]κλεινοῦ δ' εἰμὶ γένους. [β]εἰ γὰρ ἀφαυροτάτου;

T. III. [α] ζήσας ἐνδόξως ἔλιπον βίον. [β] εἰ γὰρ ἀδόξως;
[α] κεῖμαι δ' ἐνθάδε νῦν ... [β] τίς τίνι ταῦτα λέγεις;

## LXXVIII.

Αττικὸς εἰς ξυνήν με πανάγρεος ἐλπίδα μοίρης
θυμῷ θαρσαλέῳ ζῶν ἐλάχηνε τάφον,
παίζων ἐξ ἀρετῆς θανάτου φόβον. ἀλλ' ἐπὶ δηρὸν
ἠέλιος σοφίης μιμνέτω ἠελίῳ.

## LXXIX.

Πρηΰς, ἐλευθερίην ἐπιειμένος, ἡδὺς ἰδέσθαι,
ἐν βιότῳ προλιπὼν υἱέα γηροκόμον,
τύμβον ἔχει Θεόδωρος ἐπ' ἐλπίδι κρείσσονι μοίρης,
ὄλβιος ἐν καμάτοις, ὄλβιος ἐν θανάτῳ.

## LXXX.

Εἰς τὸν ἐν Ἴῳ Ὁμήρου τάφον.

Ενθάδε Πιερίδων τὸ σοφὸν στόμα, θεῖον Ὅμηρον,
κλεινὸς ἐπ' ἀγχιάλῳ τύμβος ἔχει σκοπέλῳ.
εἰ δ' ὀλίγη γεγαυῖα τόσον χάδεν ἀνέρα νῆσος,
μὴ τόδε θαμβήσῃς, ὦ ξένε, δερκόμενος.
καὶ γὰρ ἀλητεύουσα κασιγνήτη ποτὲ Δῆλος
μητρὸς ἀπ' ὠδίνων δέξατο Λητοΐδην.

p. 102.

## LXXXI.

Δαμόχαρις μοίρης πυμάτην ὑπεδύσατο σιγήν.
φεῦ, τὸ καλὸν μούσης βάρβιτον ἠρεμέει·
ὤλετο γραμματικῆς ἱερὴ βάσις. ἀμφιρύτη Κῶς,
καὶ πάλι πένθος ἔχεις οἷον ἐφ' Ἱπποκράτει.

T. III.

## LXXXII.

Εἰ καὶ ἐπὶ ξείνης σε, Λεόντιε, γαῖα καλύπτει,
εἰ καὶ ἐρικλαύτων τῆλ' ἔθανες γονέων,
πολλά σοι ἐκ βλεφάρων ἐχύθη περιτύμβια φωτῶν
δάκρυα, δυςλήτῳ πένθεϊ δαπτομένων.
πᾶσι γὰρ ἦσθα λίην πεφιλημένος, οἷά τε πάντων
ξυνὸς ἐὼν κοῦρος, ξυνὸς ἐὼν ἕταρος.
αἲ αἲ, λευγαλέη καὶ ἀμείλιχος ἔπλετο Μοῖρα,
μηδὲ τεῆς ἥβης, δύσμορε, φεισαμένη.

## LXXXIII.

Ἐπὶ τῇ ἰδίᾳ θυγατρὶ, ἧς ὄνομα Μακεδονία.

Λέκτρα σοι ἀντὶ γάμων ἐπιτύμβια, παρθένε κούρη,
ἐςόρεσαν παλάμαις πενθαλέαις γενέται.
καὶ σὺ μὲν ἀμπλακίας βιότου καὶ μόχθον ἐλευθοῦς
ἔκφυγες· οἱ δὲ γόων πικρὸν ἔχουσι νέφος.
δωδεκέτιν γὰρ μοῖρα, Μακηδονίη, σε καλύπτει,
κάλλεσιν ὁπλοτέρην, ἤθεσι γηραλέην.

---

# ΛΕΟΝΤΙΟΥ

p. 103.

## ΣΧΟΛΑΣΤΙΚΟΥ.

---

## I.

Ψαῦε μελιςαγέων ςομάτων, δέπας. εὗρες, ἄμελγε.
οὐ φθονέω· τὴν σὴν δ' ἤθελον αἶσαν ἔχειν.

T. III.

II.

Εἰς εἰκόνα Γαβριηλίου Ἐπάρχου ἐν Βυζαντίῳ.

Καὶ Φαέθων γραφίδεσσιν ἔχει τύπον· ἀλλὰ χαράσσει
ἠέλιον τέχνη, κρυπτομένων φαέων.
καὶ σὲ σοφὲ πτολίαρχε γράφει Γαβριήλιε τέχνη
ἐκτὸς σῶν ἀρετῶν, ἐκτὸς ὅλων καμάτων.

III.

Εἰς εἰκόνα Καλλινίκου Κουβικουλαρίου.

Κάλλεϊ μὲν νικᾷς κραδίης τόσον ὅσσον ὀπωπῆς.
τῆς γὰρ ἐπωνυμίης ἄξια πάντα φέρεις.
αἰεὶ δ' ἐν θαλάμοισι κατευνάζων βασιλῆα
πᾶσαν ὑποσπείρεις ὕπνον μειλιχίην.

IV.

Πέτρον ὁρᾷς χρυσέοισιν ἐν εἵμασιν· αἱ δὲ παρ' αὐτὸν
ἀρχαὶ, ἀμοιβαίων μάρτυρές εἰσι πόνων.
ἀντολίης πρώτη, καὶ διχθαδίη μετὰ τήνδε
κόχλου πορφυρέου, καὶ πάλιν ἀντολίης.

p. 104.

V.

Εἰς εἰκόνα ὀρχηστρίδος.

Μουσάων δεκάτη, Χαρίτων Ῥοδόκλεια τετάρτη,
τερπωλὴ μερόπων, ἄστεος ἀγλαΐη,
ὄμματά σοι, καὶ ταρσὰ ποδήνεμα, καὶ σοφὰ χειρῶν
δάκτυλα, καὶ Μουσέων κρέσσονα καὶ Χαρίτων.

VI.

Εἰς εἰκόνα ὀρχηστρίδος Ἰταμίνης ἐν τῷ Συσθενίῳ.

Εἰμὶ μὲν Ἑλλαδίη Βυζαντιὰς, ἐνθάδε δ' ἔστην
ἧχι χοροστασίην εἴαρι δῆμος ἄγει,

ὁππόθι πορθμῷ γαῖα μερίζεται. ἀμφότεραι γὰρ T. III.
ἄντυγες ὀρχηθμοὺς ᾔνεσαν ἡμετέρους.

VII.

Θῆλυς ἐν ὀρχηθμοῖς κρατέει φύσις· εἴξατε κοῦροι.
Μοῦσα καὶ Ἑλλαδίη τοῦτον ἔθεντο νόμον.
ἡ μὲν, ὅτι πρώτη κινήσιος εὕρετο ῥυθμούς·
ἡ δ᾽, ὅτι τῆς τέχνης ἦλθεν ἐς ἀκρότατον.

VIII.

Ἕκτορα μέν τις ἄεισε, νέον μέλος· Ἑλλαδίη δὲ
ἑσσαμένη χλαῖναν, πρὸς μέλος ἠντίασεν.
ἦν δὲ πόθος καὶ δεῖμα παρ᾽ ὀρχηθμοῖσιν Ἐνυοῦς·
ἄρσενι γὰρ ῥώμῃ θῆλυν ἔμιξε χάριν.

IX. p. 105.

Εἰς ὀρχηστρίδος εἰκόνα διάχρυσον ἐν Βυζαντίῳ.

Οὔ τις ἐπ᾽ Ἀνθούσῃ χρυσὸν βάλεν, ἀλλὰ καὶ αὐτῇ
ἀμφεχύθη Κρονίδης, ὡς τοπάρος Δανάῃ·
σώματι δ᾽ οὐκ ἐπέλασσεν, ἐπεὶ νέον ἔλλαβεν αἰδὼς,
μή τινι Μουσάων μίσγεται οὐκ ἐθέλων.

X.

Εἰς εἰκόνα Λιβανίας ὀρχηστρίδος.

Οὔνομ᾽ ἔχεις Λιβάνου, Χαρίτων δέμας, ἤθεα Πειθοῦς,
παρθένε, καὶ Παφίης κεστὸν ὑπὲκ λαγόνων.
αὐτὰρ ἐν ὀρχηθμοῖσιν, Ἔρως ἅτε κοῦρος, ἀθύρεις,
κάλλεϊ καὶ τέχνῃ πάντας ἐφελκομένη.

T. III.

## XI.

Εἰς οἶκον κείμενον μέσον τοῦ Ζευξίππου καὶ τοῦ Ἱππικοῦ.

Ἐν μὲν τῇ Ζεύξιππον ἔχω πέλας, ἡδὺ λοετρόν·
ἐκ δ' ἑτέρης ἵππων χῶρον ἀεθλοφόρων.
τοὺς ῥα θεησάμενος, καὶ τῷδ' ἔνι χρῶτα λοέσσας
δεῦρο καὶ ἄμπνευσον δαιτὶ παρ' ἡμετέρῃ.
καί κε πάλιν σταδίοις ποτὶ δείελον ὥριος ἔλθοις,
ἐγγύθεν ἐγγὺς ἰὼν γείτονος ἐκ θαλάμου.

## XII.

Εἰς Πορφύριον ἡνίοχον.

Ἀγχίσην Κυθέρεια, καὶ Ἐνδυμίωνα Σελήνη
φίλατο· μυθεῦνται τοῖα παλαιγενέες.
p. 106. νῦν δὲ νέος τις μῦθος ἀείσεται, ὡς τάχα Νίκη
ὄμματα καὶ δίφρους φίλατο Πορφυρίου.

## XIII.

Εἰς εἰκόνα Σατύρου.

Τὸν Σάτυρον Διόνυσος ἰδὼν τόσον ἄλγος ἔχοντα,
καί μιν ἐποικτείρας, θήκατο λαΐνεον.
ἀλλ' οὐδ' ὣς ἀπέληξε βαρυτλήτων ὀδυνάων·
εἰσέτι γὰρ μογέει, καὶ λίθος ὤν, ὁ τάλας.

## XIV.

Εἰς εἰκόνα Ἰαμβλίχου ἰατροῦ.

Ὁ γλυκὺς ἐν πάντεσσιν Ἰάμβλιχος, ὃς ποτὶ γῆρας
ἤλυθεν ἁγνὸς ἐὼν Κυπριδίων ὀάρων·
ἔργα δ' ἀκεστορίης ἐφέπων, σοφίην τε διδάσκων,
κέρδεσιν οὐδ' ὁσίοις χεῖρας ὑπεστόρεσε.

## XV. T. III.

Εἰς λουτρὸν μικρὸν παρακείμενον τῷ τοῦ Ζευξίππου.

Μὴ νεμέσα, Ζεύξιππε, παραντέλλοντι λοετρῷ.
καὶ μεγάλην παρ' ἅμαξαν ἐρωτύλος ἦδυ φαείνει.

## XVI.

Εἰς λουτρὸν παρακείμενον τῷ δημοσίῳ λουτρῷ ἐν Βυζαντίῳ.

Δείματό με ξυνοῖο παρὰ προθύροισι λοετροῦ
  ἀστὸς ἀνὴρ, ἀρετῆς εἵνεκεν, οὐκ ἔριδος.
κεῖνο μέλοι πλεόνεσσιν· ἐγὼ δ' ὀλίγοις τε φίλοις τε
  ἐντύνω προχοὰς, καὶ μύρα, καὶ χάριτας.

## XVII. p. 107.

Εἰς τὰ θερμὰ τὰ βασιλικά.

Θερμὰ τάδ' ἀτρεκέως βασιλήϊα. τήνδε γὰρ αὐτοῖς
  οἱ πρὶν ἀγασσάμενοι θῆκαν ἐπωνυμίην.
οὐ γὰρ ὑπὸ βροτέῳ πυρὶ θάλπεται ἀγλαὸν ὕδωρ,
  αὐτομάτη δὲ λιβὰς τίκτεται αἰθομένη·
οὐδὲ ῥόου ψυχροῦ ποτιδεύεται ἀμφὶ λοετρὰ,
  ἀλλ' οἷον ποθέεις, τοῖον ὑπεκφέρεται.

## XVIII.

Πέτρου ὁρᾷς ῥητῆρος ἀεὶ γελόωσαν ὀπωπὴν,
  ἔξοχου εἰν ἀγοραῖς, ἔξοχου ἐν φιλίῃ.
ἐν δὲ Διωνύσου θηεύμενος ὤλετο μοῦνος,
  ὑψόθεν ἐκ τέγεος σὺν πλεόνεσσι πεσὼν,
βαιὸν ἐπιζήσας, ὅσον ἤρκεσε. τοῦτον ἔγωγε
  ἄγριον οὐ καλέω, τὸν δὲ φύσει θάνατον.

## XIX.

Χειρεδίου τόδε σῆμα, τὸν ἔτρεφεν Ατθὶς ἄρουρα,
  εἰκόνα ῥητήρων τῆς προτέρης δεκάδος,

T. III. ῥηϊδίως πείθοντα δικασπόλον. ἀλλὰ δικάζων
οὔποτε τῆς ὀρθῆς οὐδ' ὅσον ἐτράπετο.

## XX.

Κεῖται ἐνὶ Τροίῃ Τελαμώνιος, οὔ τινι δ' ἔμπης
ἀντιβίων ὀπάσας εὖχος ἑοῦ θανάτου.
τόσσης γὰρ χρόνος ἄλλον ἐπάξιον ἀνέρα τόλμης
οὐχ εὑρὼν, παλάμῃ θῆκεν ὑπ' αὐτοφόνῳ.

p. 108.

## XXI.

Αἴας ἐν Τροίῃ μετὰ μυρίον εὖχος ἀέθλων
μέμφεται οὐκ ἐχθροῖς κείμενος, ἀλλὰ φίλοις.

## XXII.

Εἰς Πλάτωνα τὸν κιθαρῳδόν.

Ὀρφέος οἰχομένου, τάχα τις ποτὲ λείπετο Μοῦσα·
σεῦ δὲ, Πλάτων, φθιμένου, παύσατο καὶ κιθάρη.
ἦν γὰρ ἔτι προτέρων μελέων ὀλίγη τις ἀποῤῥὼξ
ἐν σαῖς σωζομένη καὶ φρεσὶ καὶ παλάμαις.

## XXIII.

Εἰς Ῥόδην τὴν γυναῖκα Γεμέλλου, τὴν Τυρίαν, ἐν Βυζαντίῳ τελευτήσασαν.

Σῆμα Ῥόδης. Τυρίη δὲ γυνὴ πέλεν· ἀντὶ δὲ πάτρης
ἵκετο τήνδε πόλιν, κηδομένη τεκέων.
αὐτὴ ἀειμνήστοιο λέχος κόσμησε Γεμέλλου,
ὃς πάρος εὐνομίης ἴδμονα θῆκε πόλιν.
γρηῢς μὲν μόρον εὗρεν, ὄφελλε δὲ μυρία κύκλα
ζώειν· τῶν ἀγαθῶν οὐ δεχόμεσθα κόρον.

# ΑΡΑΒΙΟΥ T.III.p.109.

## ΣΧΟΛΑΣΤΙΚΟΥ.

### I.

Νεῖλος, Περσὶς, Ἴβηρ, Σόλυμοι, δύσις, Ἀρμενὶς, Ἰνδοὶ,
  καὶ Κόλχοι σκοπέλων ἐγγύθι Καυκασίων,
καὶ πεδία ζείοντα πολυσπερέων Ἀγαρηνῶν
  Λογγίνου ταχινῶν μάρτυρές εἰσι πόνων.
ὡς δὲ ταχὺς βασιλῆϊ διάκτορος ἤεν ὁδεύων,
  καὶ ταχὺς εἰρήνην ὤπασε κευθομένην.

### II.

Εἰκόνα Λογγίνῳ χρυσέην πόλις εἶχεν ὀπάσσαι,
  εἰ μὴ πότνια Δίκη χρυσὸν ἀπεστρέφετο.

### III.

Εἰς Ἀταλάντην καὶ Ἱππομένην.

Ἕδνα γάμων ἔῤῥιπτες, ἢ ἀμβολίην ταχυτῆτος,
  τοῦτο γέρας κούρῃ χρύσειον, Ἱππόμενες;
ἄμφω μῆλον ἄνυσσεν, ἐπεὶ καὶ παρθένον ὁρμῆς
  εἶργεν, καὶ ζυγίης σύμβολον ἦν Παφίης.

### IV. p. 110.

Εἰς εἰκόνα Ἀνδρομέδης.

Κηφεὺς Ἀνδρομέδην, ἢ ζωγράφος ἄνθετο πέτραις;
  καὶ γὰρ ἀπ᾽ ὀφθαλμῶν ἡ κρίσις ἀμφίβολος.
κῆτος δὲ σπιλάδεσσιν ἐπὶ γναμπτῆς ἐχαράχθη,
  ἢ ἀπὸ Νηρῆος γείτονος ἐξανέδυ;

Υ. III. ἔγνων ταῦτα. σοφός τις ἀνὴρ κάμε. δεινὸς ἀληθῶς
τεύξατο καὶ βλεφάρων καὶ πραπίδων ἀπάτην.

V.

Εἰς εἰκόνα Ἑλένης.

Αργείης Ἑλένης ἐρόεις τύπος, ὅν ποτε βώτης
ἥρπασε, τὸν Ξένιον Ζῆνα παρωσάμενος.

VI.

Εἰς ἄγαλμα Πανός.

Ην τάχα συρίζοντος ἐναργέα Πανὸς ἀκούειν,
πνεῦμα γὰρ ὁ πλάστης ἐγκατέμιξε τύπῳ.
ἀλλ' ὀρέων φεύγουσαν ἀμήχανος ἄστατον Ηχὼ
πηκτίδος ἠρνήθη φθόγγον ἀνωφελέα.

VII.

Εἰς προάστειον.

Υδασι, καὶ κήποισι, καὶ ἄλσεσι, καὶ Διονύσῳ,
καὶ πόντου πλήθει γείτονος εὐφροσύνη.
τερπνὰ δ' ἐμοὶ γαίης τε καὶ ἐξ ἁλὸς ἄλλοθεν ἄλλος
καὶ γριπεὺς ὀρέγει δῶρα καὶ ἀγρονόμος.
τοὺς δ' ἐν ἐμοὶ μίμνοντας ἢ ὀρνίθων τις ἀείδων,
ἢ γλυκὺ πορθμήων φθέγμα παρηγορέει.

---

ΜΑΚΕ-

# ΜΑΚΕΔΟΝΙΟΥ T.III.p.111.

## ΥΠΑΤΟΥ.

### I.

Πρὸς τὴν ἐρωμένην.

Ἡμερίδας τρυγόωσιν ἐτήσιον, οὐδέ τις αὐτῶν
τοὺς ἕλικας, κόπτων βότρυν, ἀποστρέφεται.
ἀλλά σε τὴν ῥοδόπηχυν, ἐμῆς ἀπάτημα μερίμνης,
ὑγρὸν ἐπιπλέξας ἅμματι δεσμὸν, ἔχω.
καὶ τρυγόω σὸν ἔρωτα, καὶ οὐ θέρος, οὐκ ἔαρ ἄλλο
οἶδα νέμειν, ὅτι μοι πᾶσα γέμεις χαρίτων.
ὧδε καὶ ἡβήσειας ὅλον χρόνον· ἢν δέ τις ἔλθῃ
λόξος ἕλιξ ῥυτίδων, τλήσομαι ὡς φιλέων.

### II.

Ἐπὶ γυναικὶ παλιμβόλῳ.

α Αὔριον ἀθρήσω σε. β τὸ δ' οὔ ποτε γίνεται ἡμῖν,
ἠθάδος ἀμβολίης αἰὲν ἀεξομένης.
ταῦτά μοι ἱμείροντι χαρίζεαι· ἄλλα δ' ἐς ἄλλους
δῶρα φέρεις, ἐμέθεν πίστιν ἀπειπαμένη.
α ὄψομαι ἑσπερίη σε. β τί δ' ἕσπερός ἐστι γυναικῶν;
γῆρας ἀμετρήτῳ πληθόμενον ῥυτίδι.

I. 3. Cod. ἐμῆς ἀνάθημα μερ. 5. Cod. τὴν ἔρ. 6. Id. Cod. οἶδα μένειν, ἔτι. 7. Cod. εἰ δέ.
II. 5. Cod. ἑσπερίην.

T. III. p. 112.

## III.

*Ἐπί τινι κόρῃ παράκλησις.*

Ἦλθες ἐμοὶ ποθέοντι παρ' ἐλπίδα· τὴν δ' ἐνὶ θυμῷ
  ἐξεσάλαξας ὅλην θάμβεϊ φαντασίαν·
καὶ τρομέω, κραδίης τε βυθὸς πελεμίζεται οἴστρῳ,
  ψυχῆς πνιγομένης κύματι κυπριδίῳ.
ἀλλ' ἐμὲ τὸν ναυηγὸν ἐπ' ἠπείροιο φανέντα
  σῶε, τεῶν λιμένων ἔνδοθι δεξαμένη.

## IV.

Τὴν φιλοπαιγνιγέλωτα κόρην ἐπὶ νυκτὸς ὀνείρῳ
  εἶχον, ἐπισφίγξας πήχεσιν ἡμετέροις.
πείθετ' ἐμοὶ ξύμπαντα, καὶ οὐκ ἀλέγιζεν ἐμεῖο
  κύπριδι παντοίῃ σώματος ἁπτομένου,
ἀλλὰ βαρύζηλός τις Ἔρως κατὰ νύκτα λοχήσας
  ἐξέχεε φιλίην, ὕπνον ἀποσκεδάσας.
ὧδέ μοι οὐδ' αὐτοῖσιν ἐν ὑπναλέοισιν ὀνείροις
  ἄφθονός ἐστιν Ἔρως κέρδεος ἡδυγάμου.

## V.

Τήν ποτε βακχεύουσαν ἐν εἴδεϊ θηλυτεράων,
  τὴν χρυσοκροτάλῳ σειομένην σπατάλῃ,
γῆρας ἔχει καὶ νοῦσος ἀμείλιχος· οἱ δὲ φιληταὶ,
  οἵ ποτε τριλλίστως ἀντίον ἐρχόμενοι,
νῦν μέγα πεφρίκασι· τὸ δ' αὐξοσέληνον ἐκεῖνο
  ἐξέλιπε, συνόδου μηκέτι γινομένης.

## VI.

p. 113. Ἕλκος ἔχω τὸν ἔρωτα. ῥέει δ' ἐμοὶ ἕλκεος ἰχώρ,
  δάκρυον, ὠτειλῆς οὔποτε τερσομένης.

III. 3. Cod. κραδίη δὲ βυθῷ π. οἴστρῳ.

εἰμὶ καὶ ἐκ κακότητος ἀμήχανος, ὐδὲ Μαχάων T. III.
ἠπία μοι πάσσαι φάρμακα δευομένῳ.
Τήλεφός εἰμι, κόρη· σὺ δὲ γίνεο πιςὸς Ἀχιλλεύς·
κάλλεϊ σῷ παῦσον τὸν πόθον, ὡς ἔβαλες.

VII.

Κιχλίζεις, χρεμέτισμα γάμυ προκέλευθον ἱεῖσα,
ἥσυχά μοι νεύεις· πάντα μάτην ἐρέθεις.
ὤμοσα τὴν δυσέρωτα κόρην, τρισὶν ὤμοσα πέτραις
μήποτε μειλιχίοις ὄμμασιν εἰσιδέειν.
παῖζε μόνη τὸ φίλημα· μάτην κόππυζε σεαυτῇ,
χείλεσι γυμνοτάτοις, ὅτινι μισγομένοις.
αὐτὰρ ἐγὼν ἑτέρην ὁδὸν ἔρχομαι· εἰσὶ γὰρ ἄλλαι
κρέσσονες εὐλέκτρυ Κύπριδος ἐργάτιδες.

VIII.

Λῆξον Ἔρως κραδίης τε καὶ ἥπατος· εἰ δ' ἐπιθυμεῖς
βάλλειν, ἄλλο τί μυ τῶν μελέων κατάβα.

IX.

Φωσφόρε, μὴ τὸν Ἔρωτα βιάζεο, μηδὲ διδάσκυ,
Ἀρεῖ γειτονέων, νηλεὲς ἦτορ ἔχειν.
ὡς δὲ πάρος Κλυμένης ὁρόων Φαέθοντα μελάθρῳ
ὐ δρόμον ὠκυπόδην εἶχες ἀπ' ἀντολίης.
ὕτω μοι περὶ νύκτα, μόγις ποθέοντι φανεῖσαν,
ἔρχεο δηθύνων, ὡς παρὰ Κιμμερίοις.

X. p. 114.

Τὴν Νιόβην κλαίυσαν ἰδών ποτε βυκόλος ἀνὴρ
θάμβεεν, εἰ λείβειν δάκρυον οἶδε λίθος.

VI. 4. Fort. ἠπιά κεν πάσσαι.

T. III. αὐτὰρ ἐμὲ στενάχοντα τόσην κατὰ νυκτὸς ὁμίχλην
ἔμπνοος Εὐίππης οὐκ ἐλέαιρε λίθος.
αἴτιος ἀμφοτέροισιν ἔρως ὀχετηγὸς ἀνίης,
τῇ Νιόβῃ τεκέων, αὐτὰρ ἐμοὶ παθέων.

## XI.

Τὸ στόμα ταῖς χαρίτεσσι, προσώπατα δ' ἄνθεσι θάλλει,
ὄμματα τῇ Παφίῃ, τὴν χέρα τῇ κιθάρῃ·
συλεύεις βλεφάρων φάος ὄμμασιν, οὔας ἀοιδῇ·
πάντοθεν ἀγρεύεις τλήμονας ἠϊθέους.

## XII.

Τὸ ξίφος ἐκ κολεοῖο τί σύρεται; οὐ μά σε, κούρη,
οὐχ ἵνα τι πρήξω Κύπριδος ἀλλότριον,
ἀλλ' ἵνα σοι τὸν Ἄρηα, καὶ ἄζαλέον περ ἐόντα,
δείξω τῇ μαλακῇ Κύπριδι πειθόμενον.
οὗτος ἐμοὶ ποθέοντι συνέμπορος, οὐδὲ κατόπτρου
δεύομαι, ἐν δ' αὐτῷ δέρκομαι αὐτὸν ἐγώ·
καὶ καλὸς ὡς ἐν ἔρωτι. σὺ δ' ἢν ἀπ' ἐμεῖο λυθείης,
τὸ ξίφος ἡμετέρην δύσεται ἐς λαγόνα.

## XIII.

Παρμενὶς οὐκ ἔργῳ. τὸ μὲν οὔνομα καλὸν ἀκούσας
ᾠισάμην· σὺ δ' ἐμοὶ πικροτέρη θανάτου.
καὶ φεύγεις φιλέοντα, καὶ οὐ φιλέοντα διώκεις,
ὄφρα πάλιν κεῖνον καὶ φιλέοντα φύγῃς.
p. 115. κεντροπαγὲς δ' ἄγκιστρον ἔφυ στόμα, καί με δακόντα
εὐθὺς ἔχει ῥοδέου χείλεος ἐκκρεμέα.

XI. 1. Cod. βάλλει.
XIII. 5. Cod. κεντρομανές. 6. Cod. χείλευς ἐκρέμεα.

XIV. T. III.

Τῷ χρυσῷ τὸν ἔρωτα μετέρχομαι. οὐ γὰρ ἀρότρῳ
ἔργα μελισσάων γίνεται ἢ σκαπάνῃ·
ἀλλ' ἔαρι δροσερῷ. μέλιτός γε μὲν Ἀφρογενείης
ὁ χρυσὸς τελέθει ποικίλος ἐργατίνης.

XV.

Οὐ λαλέει τὸ κάτοπτρον· ἐγὼ δὲ πάλιν σευ ἐλέγξω
τὴν νοθοκαλλοσύνην φύκεϊ χριομένην.
τοῦτο καὶ ἡδυλύρης ποτὲ Πίνδαρός αἶσχος ἐλέγχων,
εἶπεν ΑΡΙΣΤΟΝ ΥΔΩΡ, φύκεος ἐχθρότατον.

XVI.

Τῷ ψιμύθῳ μὲν ἀεὶ λιποσαρκέα τεῖνε παρειὴν,
Λαοδίκη, λαοῖς ἔνδικα τινυμένη·
μή ποτε δ' εὐρύνῃς σέο χείλεα. τίς γὰρ ὀδόντων
οὔρχατον ἐμπήξει φαρμακόεντι δόλῳ;
τὴν χάριν ἐξέῤῥευσας ὅσην ἔχες. οὐκ ἀπὸ πηγῆς
ἀγλαΐη μελέων ἕλκεται ἀενάου.
ὡς δὲ ῥόδον θαλέθεσκες ἐν εἴαρι· νῦν δ' ἐμαράνθης,
γήραος αὐχμηρῷ καρφομένη θέρει.

XVII.

Ἐχθές μοι συνέπινε γυνὴ, περὶ ἧς λόγος ἔῤῥει
οὐχ ὑγιής. παῖδες, θραύσατε τὰς κύλικας.

XVIII. p. 116.

Ἤθελον οὐ χρυσόν τε καὶ ἄστεα μυρία γαίης,
οὐδ' ὅσα τὰς Θήβας εἶπεν Ὅμηρος ἔχειν·
ἀλλ' ἵνα μοι τροχόεσσα κύλιξ βλύσσειε λυαίῳ,
χείλεος ἀενάῳ νάματι λουομένου,

T. III. καὶ γεραρῶν συνέπινε φίλων χορός· οἱ δὲ περισσοὶ
ἀνέρες ἐργατίναι κάμνον ἐφ' ἡμερίσιν.
οὗτος ἐμοὶ πολὺς ὄλβος, ἀεὶ φίλος· οὐδ' ἀλεγίζω
τῶν χρυσέων ὑπάτων, τὴν φιάλην κατέχων.

XIX.

Χανδοπόται, βασιλῆος ἀεθλητῆρες Ἰάκχου,
ἔργα κυπελλομάχου στήσομεν εἰλαπίνης,
Ἰκαρίου σπένδοντες ἀφειδέα δῶρα Λυαίου.
ἄλλοισι μελέτω Τριπτολέμοιο γέρα,
ἦχι βόες, καὶ ἄροτρα, καὶ ἱστοβοεὺς, καὶ ἐχέτλη,
καὶ στάχυς, ἁρπαμένης ἴχνια Φερσεφόνης.
εἴ ποτε δὲ στομάτεσσι βαλεῖν τινα βρῶσιν ἀνάγκη,
ἀσταφὶς οἰνοπόταις ἄρκιος ἡ Βρομίου.

XX.

Χθιζὸν ἐμοὶ νοσέοντι παρίστατο δήϊος ἀνὴρ
ἰητρὸς, δεπάων νέκταρ ἀπειπάμενος.
εἶπε δ' ὕδωρ πίνειν, ἀνεμώλιος· οὐδ' ἐδιδάχθη,
ὅττι μένος μερόπων οἶνον Ὅμηρος ἔφη.

XXI.

Ἀνέρες, οἷσι μέμηλεν ἀπήμονος ὄργια Βάκχου,
ἐλπίσιν ἡμερίδων ῥίψατε τὴν πενίην.
p. 117. αὐτὰρ ἐμοὶ κρητὴρ μὲν ἔοι δέπας· ἄγχι δὲ ληνὸς,
ἄγχι πίθος, λιπαρῆς ἔνδιον εὐφροσύνης.
αὐτίκα δ' ἡμετέροιο πιὼν κρητῆρα Λυαίου
παισὶ Καναστραίοις μαρνάμεναι ἐθέλω.

XXI. 6. In optimo Planudeae Cod. μαρναμένην.

T. III.

οὐ τρομέω δὲ θάλασσαν ἀμείλιχον, ὐδὲ κεραυνὲς,
πιςὸν ἀταρβήτε θάρσος ἔχων Βρομίε.

## XXII.

Νῆα Ποσειδάωνι πολύπλανος ἄνθετο Κράντος,
ἔμπεδον ἐς νηὸν πέζαν ἐρεισάμενος,
αὔρης ὐκ ἀλέγυσαν ἐπὶ χθονὸς, ἧς ἔπι Κράντος
εὐρὺς ἀνακλινθεὶς ἄτρομον ὕπνον ἔχει.

## XXIII.

Νῆά σοι, ὦ πόντε βασιλεῦ καὶ κοίρανε γαίης,
ἀντίθεμαι Κράντος, μηκέτι τεγγομένην,
νῆα, πολυπλανέων ἀνέμων πτερὸν, ἧς ἔπι δειλὸς
πολλάκις ὠϊσάμην εἰσελάαν Αΐδην.
πάντα δ' ἀπειπάμενος, φόβον, ἐλπίδα, πόντον, ἀέλλας,
πιςὸν ὑπὲρ γαίης ἴχνιον ἡδρασάμην.

## XXIV.

Τὴν κιθάρην Εὔμολπος ἐπὶ τριπόδων ποτὲ Φοίβῳ
ἄνθετο, γηραλέην χεῖρ' ἐπιμεμφόμενος,
εἶπε δέ· Μὴ ψαύσαιμι λύρης ἔτι, μηδ' ἐθελήσω
τῆς πάρος ἁρμονίης ἐμμελέτημα φέρειν.
ἠϊθέοις μελέτω κιθάρης μίτος· ἀντὶ δὲ πλήκτρε,
σκηπανίῳ τρομερὰς χεῖρας ἐρεισόμεθα.

## XXV.

p. 118.

Δάφνις ὁ συρικτὰς τρομερῷ περὶ γήραϊ κάμνων,
χειρὸς ἀεργηλᾶς, τάνδε, βαρυχομένας,
Πανὶ φιλαγραύλῳ νομίαν ἀνέθηκα κορύναν,
γήραϊ ποιμενίων παυσάμενος καμάτων.

T. III. ῥηϊδίως πείθοντα δικασπόλον. ἀλλὰ δικάζων
οὔποτε τῆς ὀρθῆς οὐδ' ὅσον ἐτράπετο.

## XX.

Κεῖται ἐνὶ Τροίῃ Τελαμώνιος, οὔ τινι δ' ἔμπης
ἀντιβίων ὀπάσας εὖχος ἑοῦ θανάτου.
τόσσης γὰρ χρόνος ἄλλον ἐπάξιον ἀνέρα τόλμης
οὐχ εὑρὼν, παλάμῃ θῆκεν ὑπ' αὐτοφόνῳ.

p. 108.

## XXI.

Αἴας ἐν Τροίῃ μετὰ μυρίον εὖχος ἀέθλων
μέμφεται οὐκ ἐχθροῖς κείμενος, ἀλλὰ φίλοις.

## XXII.

Εἰς Πλάτωνα τὸν κιθαρῳδόν.

Ὀρφέος οἰχομένου, τάχα τις ποτὲ λείπετο Μοῦσα·
σεῦ δὲ, Πλάτων, φθιμένου, παύσατο καὶ κιθάρη.
ἦν γὰρ ἔτι προτέρων μελέων ὀλίγη τις ἀποῤῥὼξ
ἐν σαῖς σωζομένη καὶ φρεσὶ καὶ παλάμαις.

## XXIII.

Εἰς Ῥόδην τὴν γυναῖκα Γεμέλλου, τὴν Τυρίαν, ἐν Βυζαντίῳ τελευτήσασαν.

Σῆμα Ῥόδης. Τυρίη δὲ γυνὴ πέλεν· ἀντὶ δὲ πάτρης
ἵκετο τήνδε πόλιν, κηδομένη τεκέων.
αὐτὴ ἀειμνήστοιο λέχος κόσμησε Γεμέλλου,
ὃς πάρος εὐνομίης ἴδμονα θῆκε πόλιν.
γρηῦς μὲν μόρον εὗρεν, ὄφελλε δὲ μυρία κύκλα
ζώειν· τῶν ἀγαθῶν οὐ δεχόμεσθα κόρον.

# ΑΡΑΒΙΟΥ T.III.p.109.

## ΣΧΟΛΑΣΤΙΚΟΥ.

I.

Νεῖλος, Περσὶς, Ἴβηρ, Σόλυμοι, δύσις, Ἀρμενὶς, Ἰνδοὶ,
καὶ Κόλχοι σκοπέλων ἐγγύθι Καυκασίων,
καὶ πεδία ζείοντα πολυσπερέων Ἀγαρηνῶν
Λογγίνου ταχινῶν μάρτυρές εἰσι πόνων.
ὡς δὲ ταχὺς βασιλῆϊ διάκτορος ἦεν ὁδεύων,
καὶ ταχὺς εἰρήνην ὤπασε κευθομένην.

II.

Εἰκόνα Λογγίνῳ χρυσέην πόλις εἶχεν ὀπάσσαι,
εἰ μὴ πότνα Δίκη χρυσὸν ἀπεστρέφετο.

III.

Εἰς Ἀταλάντην καὶ Ἱππομένην.

Ἕδνα γάμων ἔῤῥιπτες, ἢ ἀμβολίην ταχυτῆτος,
τοῦτο γέρας κούρῃ χρύσεον, Ἱππόμενες;
ἄμφω μῆλον ἄνυσσεν, ἐπεὶ καὶ παρθένον ὁρμῆς
εἶργεν, καὶ ζυγίης σύμβολον ἦν Παφίης.

IV. p. 110.

Εἰς εἰκόνα Ἀνδρομέδης.

Κηφεὺς Ἀνδρομέδην, ἢ ζωγράφος ἄνθετο πέτραις;
καὶ γὰρ ἀπ᾽ ὀφθαλμῶν ἡ κρίσις ἀμφίβολος.
κῆτος δὲ σπιλάδεσσιν ἐπὶ γναμπτῆς ἐχαράχθη,
ἢ ἀπὸ Νηρῆος γείτονος ἐξανέδυ;

Υ. III. ἔγνων ταῦτα. σοφός τις ἀνὴρ κάμε. δεινὸς ἀληθῶς
τεύξατο καὶ βλεφάρων καὶ πραπίδων ἀπάτην.

## V.

Εἰς εἰκόνα Ἑλένης.

Ἀργείης Ελένης ἐρόεις τύπος, ἣν ποτε βούτης
ἥρπασε, τὸν Ξένιον Ζῆνα παρωσάμενος.

## VI.

Εἰς ἄγαλμα Πανός.

Ην τάχα συρίζοντος ἐναργέα Πανὸς ἀκούειν,
πνεῦμα γὰρ ὁ πλάστης ἐγκατέμιξε τύπῳ.
ἀλλ' ὀρόων φεύγουσαν ἀμήχανος ἄστατον Ηχὼ
πηκτίδος ἠρνήθη φθόγγον ἀνωφελέα.

## VII.

Εἰς προάστειον.

Υδασι, καὶ κήποισι, καὶ ἄλσεσι, καὶ Διονύσῳ,
καὶ πόντου πλήθω γείτονος εὐφροσύνῃ.
τερπνὰ δ' ἐμοὶ γαίης τε καὶ ἐξ ἁλὸς ἄλλοθεν ἄλλος
καὶ γριπεὺς ὀρέγει δῶρα καὶ ἀγρονόμος.
τοὺς δ' ἐν ἐμοὶ μίμνοντας ἢ ὀρνίθων τις ἀείδων,
ἢ γλυκὺ πορθμήων φθέγμα παρηγορέει.

---

MAKE-

# ΜΑΚΕΔΟΝΙΟΥ T.III.p.111.

## ΥΠΑΤΟΥ.

### I.

Πρὸς τὴν ἐρωμένην.

Ημερίδας τρυγόωσιν ἐτήσιον, ἐδέ τις αὐτῶν
τὰς ἕλικας, κόπτων βότρυν, ἀποστρέφεται.
ἀλλά σε τὴν ῥοδόπηχυν, ἐμῆς ἀπάτημα μερίμνης,
ὑγρὸν ἐπιπλέξας ἅμματι δεσμὸν, ἔχω.
καὶ τρυγόω σὸν ἔρωτα, καὶ ὐ θέρος, ὐκ ἔαρ ἄλλο
οἶδα, νέμειν, ὅτι μοι πᾶσα γέμεις χαρίτων.
ὧδε καὶ ἡβήσειας ὅλον χρόνον· ἣν δέ τις ἔλθῃ
λόξος ἕλιξ ῥυτίδων, τλήσομαι ὡς φιλέων.

### II.

Επὶ γυναικὶ παλιμβόλῳ.

ᵃ Αὔριον ἀθρήσω σε. ᵝ τὸ δ' ὐ ποτε γίνεται ἡμῖν,
ἠθάδος ἀμβολίης αἰὲν ἀεξομένης.
ταῦτά μοι ἱμείροντι χαρίζεαι· ἄλλα δ' ἐς ἄλλες
δῶρα φέρεις, ἐμέθεν πίστιν ἀπειπαμένη.
ᵃ ὄψομαι ἑσπερίη σε. ᵝ τί δ' ἕσπερός ἐστι γυναικῶν;
γῆρας ἀμετρήτῳ πληθόμενον ῥυτίδι.

I. 3. Cod. ἐμῆς ἀνάθημα μερ. 5. Cod. τὸν ὑγ. 6. Id. Cod. οἶδα μένειν, ἔτι. 7. Cod. εἰ δέ.
II. 5. Cod. ἑσπερίην.

T.III.p.112.

III.

Ἐπί τινι κόρῃ παράκλησις.

Ἦλθες ἐμοὶ ποθέοντι παρ' ἐλπίδας· τὴν δ' ἐνὶ θυμῷ
ἐξεσάλαξας ὅλην θάμβεϊ φαντασίην,
καὶ τρομέω, κραδίης τε βυθὸς πελεμίζεται οἴστρῳ,
ψυχῆς πνιγομένης κύματι κυπριδίῳ.
ἀλλ' ἐμὲ τὸν ναυηγὸν ἐπ' ἠπείροιο φανέντα
σῶε, τεῶν λιμένων ἔνδοθι δεξαμένη.

IV.

Τὴν φιλοπαιγμοσύνην κόρην ἐπὶ νυκτὸς ὀνείρῳ
εἶχον, ἐπισφίγξας πήχεσιν ἡμετέροις.
πείθετ' ἐμοὶ ξύμπαντα, καὶ οὐκ ἀλέγιζεν ἐμεῖο
κύπριδι παντοίῃ σώματος ἁπτομένου,
ἀλλὰ βαρύζηλός τις Ἔρως κατὰ νύκτα λοχήσας
ἐξέχεε φιλίην, ὕπνον ἀποσκεδάσας.
οὐδέ μοι οὐδ' αὐτοῖσιν ἐν ὑπναλέοισιν ὀνείροις
ἄφθονός ἐστιν Ἔρως κέρδεος ἡδυγάμου.

V.

Τήν ποτε βακχεύουσαν ἐν εἴδεϊ θηλυτεράων,
τὴν χρυσοκροτάλῳ σειομένην σπατάλῃ,
γῆρας ἔχει καὶ νοῦσος ἀμείλιχος· οἱ δὲ φιληταὶ,
οἵ ποτε τριλλίστως ἀντίον ἐρχόμενοι,
νῦν μέγα πεφρίκασι· τὸ δ' αὐξοσέληνον ἐκεῖνο
ἐξέλιπε, συνόδου μηκέτι γινομένης.

VI.

p. 113. Ἕλκος ἔχω τὸν ἔρωτα. ῥέει δ' ἐμοὶ ἕλκεος ἰχὼρ,
δάκρυον, ὠτειλῆς οὔποτε τερσομένης.

III. 3. Cod. κραδίη δὲ βυθῷ π. οἴστρου.

εἰμὶ καὶ ἐκ κακότητος ἀμήχανος, οὐδὲ Μαχάων T. III.
ἤπία μοι πάσσαι φάρμακα δευομένῳ.
Τήλεφός εἰμι, κόρη, σὺ δὲ γίνεο πιστὸς Ἀχιλλεύς·
κάλλεϊ σῷ παῦσον τὸν πόθον, ὡς ἔβαλες.

VII.

Κιχλίζεις, χρεμέτισμα γάμου προκέλευθον ἰεῖσα,
ἥσυχά μοι νεύεις· πάντα μάτην ἐρέθεις.
ὤμοσα τὴν δυσέρωτα κόρην, τρισὶν ὤμοσα πέτραις
μήποτε μειλιχίοις ὄμμασιν εἰσιδέειν.
παῖζε μόνη τὸ φίλημα· μάτην κόπτυζε σεαυτῇ,
χείλεσι γυμνοτάτοις, οὔτινι μισγομένοις.
αὐτὰρ ἐγὼν ἑτέρην ὁδὸν ἔρχομαι· εἰσὶ γὰρ ἄλλαι
κρέσσονες εὐλέκτρου Κύπριδος ἐργάτιδες.

VIII.

Λῆξον Ερως κραδίης τε καὶ ἥπατος· εἰ δ᾽ ἐπιθυμεῖς
βάλλειν, ἄλλο τί μου τῶν μελέων κατάβα.

IX.

Φωσφόρε, μὴ τὸν Ερωτα βιάζεο, μηδὲ διδάσκου,
Αρεϊ γειτονέων, νηλεὲς ἦτορ ἔχειν.
ὡς δὲ πάρος Κλυμένης ὁρόων Φαέθοντα μελάθρῳ
οὐ δρόμον ὠκυπόδην εἶχες ἀπ᾽ ἀντολίης.
οὕτω μοι περὶ νύκτα, μόγις ποθέοντι φανεῖσαν,
ἔρχεο δηθύνων, ὡς παρὰ Κιμμερίοις.

X. p. 114.

Τὴν Νιόβην κλαίουσαν ἰδών ποτε βουκόλος ἀνὴρ
θάμβεεν, εἰ λείβειν δάκρυον οἶδε λίθος.

VI. 4. Fort. ἤπιά κεν πάσσαι.

T. III. αὐτὰρ ἐμὲ στενάχοντα τόσην κατὰ νυκτὸς ὀμίχλην
ἔμπνοος Εὐίππης οὐκ ἐλέαιρε λίθος.
αἴτιος ἀμφοτέροισιν ἔρως ὀχετηγὸς ἀνίης,
τῇ Νιόβῃ τεκέων, αὐτὰρ ἐμοὶ παθέων.

## XI.

Τὸ στόμα ταῖς χαρίτεσσι, προσώπατα δ' ἄνθεσι θάλλεις,
ὄμματα τῇ Παφίῃ, τὴν χέρα τῇ κιθάρῃ·
συλεύεις βλεφάρων φάος ὄμμασιν, οὔας ἀοιδῇ·
πάντοθεν ἀγρεύεις τλήμονας ἠϊθέους.

## XII.

Τὸ ξίφος ἐκ κολεοῖο τί σύρεται; οὐ μά σε, κούρη,
οὐχ ἵνα τι πρήξω Κύπριδος ἀλλότριον,
ἀλλ' ἵνα σοι τὸν Ἄρηα, καὶ ἄζαλέον περ ἐόντα,
δείξω τῇ μαλακῇ Κύπριδι πειθόμενον.
οὗτος ἐμοὶ ποθέοντι συνέμπορος, οὐδὲ κατόπτρου
δεύομαι, ἐν δ' αὐτῷ δέρκομαι αὐτὸν ἐγώ·
καὶ καλὸς ὡς ἐν ἔρωτι. σὺ δ' ἢν ἀπ' ἐμεῖο λυθείης,
τὸ ξίφος ἡμετέρην δύσεται ἐς λαγόνα.

## XIII.

Παρμενὶς οὐκ ἔργῳ. τὸ μὲν οὔνομα καλὸν ἀκούσας
ᾠισάμην· σὺ δ' ἐμοὶ πικροτέρη θανάτου.
καὶ φεύγεις φιλέοντα, καὶ οὐ φιλέοντα διώκεις,
ὄφρα πάλιν κεῖνον καὶ φιλέοντα φύγῃς.
p. 115. κεντροπαγὲς δ' ἄγκιστρον ἔφυ στόμα, καί με δακόντα
εὐθὺς ἔχει ῥοδέου χείλεος ἐκκρεμέα.

XI. 1. Cod. βάλλει.
XIII. 5. Cod. κεντρομανές. 6. Cod. χείλευς ἐκρίμεθα.

XIV. T. III.

Τῷ χρυσῷ τὸν ἔρωτα μετέρχομαι. οὐ γὰρ ἀρότρῳ
ἔργα μελισσάων γίνεται ἢ σκαπάνῃ·
ἀλλ' ἔαρι δροσερῷ. μέλιτός γε μὲν Ἀφρογενείης
ὁ χρυσὸς τελέθει ποικίλος ἐργατίνης.

XV.

Οὐ λαλέει τὸ κάτοπτρον· ἐγὼ δὲ πάλιν σευ ἐλέγξω
τὴν νοθοκαλλοσύνην φύκεϊ χριομένην.
τοῦτο καὶ ἡδυλόγης ποτὲ Πίνδαρος αἶσχος ἐλέγχων,
εἶπεν ΑΡΙΣΤΟΝ ΥΔΩΡ, φύκεος ἐχθρότατον.

XVI.

Τῷ ψιμύθῳ μὲν ἀεὶ λιποσαρκέα τεῖνε παρειήν,
Λαοδίκη, λαοῖς ἔνδικα τινυμένη·
μή ποτε δ' εὐρύνῃς σέο χείλεα. τίς γὰρ ὀδόντων
ὕρχατον ἐμπήξει φαρμακόεντι δόλῳ;
τὴν χάριν ἐξέρρευσας ὅσην ἔχες. οὐκ ἀπὸ πηγῆς
ἀγλαΐη μελέων ἕλκεται ἀενάου.
ὡς δὲ ῥόδον θαλέθεσκες ἐν εἴαρι· νῦν δ' ἐμαράνθης,
γήραος αὐχμηρῷ καρφομένη θέρεϊ.

XVII.

Ἐχθές μοι συνέπινε γυνή, περὶ ἧς λόγος ἔρρει
οὐχ ὑγιής. παῖδες, θραύσατε τὰς κύλικας.

XVIII. p. 116.

Ἤθελον οὐ χρυσόν τε καὶ ἄστεα μυρία γαίης,
οὐδ' ὅσα τὰς Θήβας εἶπεν Ὅμηρος ἔχειν·
ἀλλ' ἵνα μοι τροχόεσσα κύλιξ βλύσσειε λυαίῳ,
χείλεος ἀενάῳ νάματι λουομένου,

T. III. καὶ γεραρῶν συνέπινε φίλων χορός· οἱ δὲ περισσοὶ
ἀνέρες ἐργατίναι κάμνον ἐφ' ἡμερίσιν.
οὗτος ἐμοὶ πολὺς ὄλβος, ἀεὶ φίλος· οὐδ' ἀλεγίζω
τῶν χρυσέων ὑπάτων, τὴν φιάλην κατέχων.

XIX.

Χανδοπόται, βασιλῆος ἀεθλητῆρες Ἰάκχου,
ἔργα κυπελλομάχου στήσομεν εἰλαπίνης,
Ἰκαρίου σπένδοντες ἀφειδέα δῶρα Λυαίου.
ἄλλοισι μελέτω Τριπτολέμοιο γέρα,
ἧχι βόες, καὶ ἄροτρα, καὶ ἱστοβοεὺς, καὶ ἐχέτλη,
καὶ στάχυς, ἁρπαμένης ἴχνια Φερσεφόνης.
εἴ ποτε δὲ στομάτεσσι βαλεῖν τινα βρῶσιν ἀνάγκη,
ἀσταφὶς οἰνοπόταις ἄρκιος ἡ Βρομίου.

XX.

Χθιζὸν ἐμοὶ νοσέοντι παρίστατο δήϊος ἀνὴρ
ἰητρὸς, δεπάων νέκταρ ἀπειπάμενος.
εἶπε δ' ὕδωρ πίνειν, ἀνεμώλιος· οὐδ' ἐδιδάχθη,
ὅττι μένος μερόπων οἶνον Ὅμηρος ἔφη.

XXI.

Ἀνέρες, οἷσι μέμηλεν ἀπήμονος ὄργια Βάκχου,
ἐλπίσιν ἡμερίδων ῥίψατε τὴν πενίην.
p. 117. αὐτὰρ ἐμοὶ κρητὴρ μὲν ἔοι δέπας· ἄγχι δὲ ληνὸς,
ἄγχι πίθος, λιπαρῆς ἔνδιον εὐφροσύνης.
αὐτίκα δ' ἡμετέροιο πιὼν κρητῆρα Λυαίου
παισὶ Καναστραίοις μαρνάμεναι ἐθέλω.

XXI. 6. In optimo Planudeae Cod. μαρναμένην.

ὃ τρομέω δὲ θάλασσαν ἀμείλιχον, ἠδὲ κεραυνὸς, T. III.
πιστὸν ἀταρβήτου θάρσος ἔχων Βρομίου.

XXII.

Νῆα Ποσειδάωνι πολύπλανος ἄνθετο Κράντος,
ἔμπεδον ἐς νηοῦ πέζαν ἐρεισάμενος,
αὔρης οὐκ ἀλέγουσαν ἐπὶ χθονὸς, ἧς ἔπι Κράντος
εὐρὺς ἀνακλινθεὶς ἄτρομον ὕπνον ἔχει.

XXIII.

Νῆά σοι, ὦ πόντου βασιλεῦ καὶ κοίρανε γαίης,
ἀντίθεμαι Κράντος, μηκέτι τεγγομένην,
νῆα, πολυπλανέων ἀνέμων πτερὸν, ἧς ἔπι δειλὸς
πολλάκις ᾠισάμην εἰσελάαν Αΐδην.
πάντα δ' ἀπειπάμενος, φόβον, ἐλπίδα, πόντον, ἄελλαν,
πιστὸν ὑπὲρ γαίης ἴχνιον ἡδρασάμην.

XXIV.

Τὴν κιθάρην Εὔμολπος ἐπὶ τριπόδων ποτὲ Φοίβῳ
ἄνθετο, γηραλέην χεῖρ' ἐπιμεμφόμενος,
εἶπε δέ· Μὴ ψαύσαιμι λύρης ἔτι, μηδ' ἐθελήσω
τῆς πάρος ἁρμονίης ἐμμελέτημα φέρειν.
ἠϊθέοις μελέτω κιθάρης μίτος· ἀντὶ δὲ πλήκτρου,
σκηπανίῳ τρομερὰς χεῖρας ἐρεισόμεθα.

XXV. p. 118.

Δάφνις ὁ συριχτὰς τρομερῷ περὶ γήραϊ κάμνων,
χειρὸς ἀεργηλᾶς, τάνδε, βαρυνομένας,
Πανὶ φιλαγραύλῳ νομίαν ἀνέθηκα κορύναν,
γήραϊ ποιμενίων παυσάμενος καμάτων.

T. III. εἰσέτι γὰρ σύριγγι μελίσδομαι, εἰσέτι φωνὰ
ἄτρομος ἐν τρομερῷ σώματι ναιετάει.
ἀλλὰ λύκοις σίντῃσιν ἀν' οὔρεα μή τις ἐμεῖο
αἰπόλος ἀγγείλῃ γήραος ἀδρανίην.

## XXVI.

Κισσοκόμα Βρομίῳ Σάτυρον σεσαλαγμένον οἴνῳ
ἀμπελοεργὸς ἀνὴρ ἄνθετο, Δηναγόρας.
τῷ δὲ καρηβαρέοντι, δορὴν, τρίχα, κισσὸν, ὀπώρην,
πάντα λέγοις μεθύειν, πάντα συνεκλέλυται·
καὶ φύσιν ἀφθόγγοισι τύποις μιμήσατο τέχνη,
ὕλης ἀντιλέγειν μηδὲν ἀνασχομένης.

## XXVII.

Τὸν κύνα, τὸν πάσης κρατερῆς ἐπιίδμονα θήρης,
ἔξεσε μὲν Λεύκων, ἄνθετο δ' Ἀλκιμένης.
Ἀλκιμένης δ' οὐχ εὗρέ τι μέμψεται· ὡς δ' ἴδ' ὁμοίην
εἰκόνα παντοίῳ σχήματι φαινομένην,
κλοιὸν ἔχων, πέλας ἦλθε, λέγων Λεύκωνι κελεύειν
τῷ κυνὶ καὶ βαίνειν· πεῖθε γὰρ ὡς ὑλάων.

## XXVIII.[a]

Δίκτυον ἀκρομόλιβδον Ἀμύντιχος ἀμφὶ τριαίνῃ
δῆσε γέρων, ἁλίων παυσάμενος καμάτων.
p. 119. ἐς δὲ Ποσειδάωνα καὶ ἁλμυρὸν οἶδμα θαλάσσης
εἶπεν, ἀποσπένδων δάκρυον ἐκ βλεφάρων·
Οἶσθα, μάκαρ, κέκμηκα· κακῷ δ' ἐπὶ γήραος ἡμῖν
ἄλλυτος ἡβάσκει γυιοτακὴς πενίη.

XXVI. 1. Cod. κισσοκόμαν.

θρέψον ἔτι σπαῖρον τὸ γερόντιον, ἀλλ' ἀπὸ γαίης, Γ. III.
ὡς ἐθέλεις, μεδέων καὶ χθονὶ καὶ πελάγει.

## XXVIII. b

p. 332.

Ἀνάθημα τῇ Δήμητρι παρὰ γεωργοῦ.

Τὼ βόε μοι, οἳ τόνδε τετεύχατον, ἵλαθι Δηοῖ,
δέχνυσο δ' ἐκ μάζης, οὐκ ἀπὸ βουκολίων·
δὸς δὲ βόε ζώειν ἐτύμω, καὶ πλῆσον ἀρούρας
δράγματος, ὀλβίστην ἀντιδιδοῦσα χάριν.
σῷ γὰρ ἀρουροπόνῳ φιλαλήθεϊ τέτρατος ἤδη
ὀκτάδος ἑνδεκάτης ἐστὶ φίλος λυκάβας,
οὐδέποτ' ἀμήσαντι Κορινθικὸν, οὔ ποτε πικρᾶς
τῆς ἀφιλοσταχύου γευσαμένῳ πενίης.

## XXIX.

p. 119.

Τῷ ξοάνῳ τὸν παῖδα Θυώνιχον, οὐχ ἵνα λεύσσῃς
ὡς καλὸς ἐν τῇδε μνάματος ἀγλαΐᾳ,
ἀλλ' ἵνα σοι τὸν ἄεθλον ὃν ἐξεπόνησε μαθόντι,
ὦ 'γαθὲ, τᾶς αὐτᾶς ζᾶλος ἔοι μανίας.
οὗτος ὁ μὴ κλίνας καμάτῳ πόδα, πάντα δ' ἀγῶνι
ἅλικα νικήσας, ὁπλότερον, πρότερον.

## XXX.

Εἰς λουτρὸν ἐν Λυκίᾳ.

Πιστότατος μερόπων τις ἔοι πυλαωρὸς ἐμεῖο,
κρίνων λουομένων καιρὸν ἐσηλυσίης,
μή τινα Νηϊάδων τις ἐμοῖς ἐνὶ χεύμασι γυμνὴν,
ἢ μετὰ καλλικόμων Κύπριν ἴδῃ Χαρίτων
οὐκ ἐθέλων· ΧΑΛΕΠΟΙ ΔΕ ΘΕΟΙ ΦΑΙΝΕΣΘΑΙ ΕΝΑΡΓΕΙΣ.
τίς γὰρ Ὁμηρείοις ἀντιφέροιτο λόγοις;

XXVIII. a 8. Fort. ὡς δύναται.

T. III. 

## XXXI.

Εἰς οἶκον ἐν Κιβύρᾳ.

Εὐσεβίη τὸ μέλαθρον ἀπὸ πρώτοιο θεμέθλου
ἄχρι καὶ ὑψηλοὺς ἤγαγεν εἰς ὀρόφους.
p. 120. οὐ γὰρ ἀπ' ἀλλοτρίων κτεάνων ληΐστορι χαλκῷ
ὄλβον ἀολλίζων τεῦξε Μακηδόνιος·
οὐδὲ λιπερνήτης κενεῷ καὶ ἀκερδέϊ μόχθῳ
κλαῦσε, δικαιοτάτου μισθοῦ ἀτεμβόμενος.
ὡς δὲ πόνων ἄμπαυμα φυλάσσεται ἀνδρὶ δικαίῳ,
ὧδε καὶ εὐσεβέων ἔργα μένοι μερόπων.

## XXXII.

Εἰς Σάρδεις.

Τμώλῳ ὑπ' ἠνεμόεντι, ῥοὴν παρὰ Μαίονος Ερμου,
Σάρδιες, ἡ Λυδῶν ἔξοχός εἰμι πόλις.
μάρτυς ἐγὼ πρώτη γενόμην Διός· οὐ γὰρ ἐλέγχειν
λάθριον υἷα Ρέης ἤθελον ἡμετέρης.
αὐτὴ καὶ Βρομίῳ γενόμην τροφός· ἐν δὲ κεραυνῷ
ἔδρακον εὐρυτέρῳ φωτὶ φαεινόμενον.
πρώταις δ' ἡμετέρῃσιν ἐν ὀργάσιν οἰνὰς ὀπώρη
οὔθατος ἐκ βοτρύων ξανθὸν ἄμελξε γάνος.
πάντα με κοσμήσαντο· πολὺς δ' ἐμὲ πολλάκις αἰὼν
ἄστεσιν ὀλβίστοις εὗρε μεγαιρομένην.

## XXXIII.

Συῤῥέντου τρηχεῖα μυρίπνοε χαῖρε κονίη,
καὶ Πολλεντίνων γαῖα μελιχροτάτη.
ἐστὲ γὰρ αἱ τριπόθητοι, ἀφ' ὧν βρομιώδεα πηλὸν
φύρησαν Βάκχῳ τριζυγέες Χάριτες,

πλούτου καὶ πενίης κοινὸν κτέαρ, οἷς μὲν, ἀνάγκης  T. III.
σκεῦος· τοῖς δὲ, τρυφῆς χρήσει περισσοτέρη.

## XXXIV.

p. 121.

Φειδωλός τις ἀνὴρ ἀφθόνων θησαυρὸν ὀνείρῳ,
ἤθελ' ἀποθρώσκειν, πλούσιον ὕπνον ἔχων·
ὡς δ' ἴδε τὴν προτέρην, σκιόεν μετὰ κέρδος ὀνείρου,
ἐξ ὕπνου πενίην, ἀντεκάθευδε πάλιν.

## XXXV.

Μνήμη καὶ Λήθη, μέγα χαίρετον· ἡ μὲν ἐπ' ἔργοις
Μνήμη τοῖς ἀγαθοῖς, ἡ δ', ἐπὶ λευγαλέοις.

## XXXVI.

Κάπρον μὲν χέρσῳ Κόδρος ἔκτανε· τὴν δὲ ταχεῖαν
εἰν ἁλὶ καὶ χαροποῖς κύμασιν εἷλ' ἔλαφον.
εἰ δ' ἦν καὶ πτηνὴ θηρῶν φύσις, οὐδ' ἂν ἐν αἰθέρι
τὴν κείνου κενεὴν Ἄρτεμις εἶδε χέρα.

## XXXVII.

Ἔπταρον ἄγχι τάφοιο, καὶ ἤθελον αὐτὸς ἀκοῦσαι
οἷά περ ᾠισάμην, μοῖραν ἐμῆς ἀλόχου.
ἔπταρον εἰς ἀνέμους· ἄλοχον δ' ἐμοὶ οὔ τι κιχάνει
λυγρὸν ἐν ἀνθρώποις, οὐ νόσος, οὐ θάνατος.

## XXXVIII.

Πρὸς τὸ Ἀραβίου ἐπίγραμμα β.

Παρθένος εὐπατέρεια Δίκη, πρέσβειρα πολήων,
οὐ τὸν ἐν εὐσεβίῃ χρυσὸν ἀποστρέφεται.

XXXIV. 2. Vulgo ἀποθνήσκειν.
XXXVI. 3. οὐδ' ἂν ἐν αἴθρι.
XXXVII. 4. Cod. λύτρον c. a.

T. III. ἀλλὰ καὶ αὐτὰ τάλαντα Διὸς πάγχρυσα τελέσθη,
οἷσι ταλαντεύει πάντα νόμον βιότου,
ΚΑΙ ΤΟΤΕ ΔΗ ΧΡΥΣΕΙΑ ΠΑΤΗΡ ΕΤΙΤΑΙΝΕ ΤΑΛΑΝΤΑ,
εἰ μὴ Ὁμηρείων ἐξελάθου χαρίτων.

p. 122.

## XXXIX.

Εἰ βίον ἐν μερόπεσσι Τύχης παίζουσιν ἑταῖραι
Ἐλπίδες, ἀμβολάδην πάντα χαριζόμεναι,
παίζομαι, εἰ βροτός εἰμι. βροτὸς δ' εὖ οἶδα καὶ αὐτὸς
θνητὸς ἐών· δολιχαῖς δ' ἐλπίσι παιζόμενος,
αὐτὸς ἑκόντι γέγηθα πλανώμενος, οὐδὲ γενοίμην
εἰς κρίσιν ἡμετέρην πικρὸς Ἀριστοτέλης.
τὴν γὰρ Ἀνακρείοντος ἐνὶ πραπίδεσσι φυλάσσω
παρφασίην, ὅτι ΔΕΙ ΦΡΟΝΤΙΔΑ ΜΗ ΚΑΤΕΧΕΙΝ.

## XL.

Πανδώρης ὁρόων γελόω πίθον, οὐδὲ γυναῖκα
μέμφομαι, ἀλλ' αὐτῶν τὰ πτερὰ τῶν ἀγαθῶν.
ὡς γὰρ ἀπ' Οὐλύμποιο μετὰ χθονὸς ἤθεα πάσης
πωτῶνται, πίπτειν καὶ κατὰ γῆν ὄφελον.
ἡ δὲ γυνὴ μετὰ πῶμα κατωχρήσασα παρειὰς
ὤλεσεν ἀγλαΐην ὧν ἔφερε χαρίτων.
ἀμφοτέρων δ' ἥμαρτεν ὁ νῦν βίος, ὅττι καὶ αὐτὴν
γηράσκουσαν ἔχει, καὶ πίθος οὐδὲν ἔχει.

## XLI.

Γαῖα, καὶ Εἰλήθυια, σὺ μὲν τέκες, ἡ δὲ καλύπτεις·
χαίρετον· ἀμφοτέρας ἤνυσα τὸ στάδιον.
εἶμι δὲ, μὴ νοέων πόθι νείσομαι· οὐ γὰρ ἐς ὑμέας
οἶδα, τίς, ἢ τίνος ὤν, ἠὲ πόθεν μετέβην.

# ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΣΧΟΛΑΣΤΙΚΟΥ.

T.III.p.123.

I.

Ἄρσενας ἄλλος ἔχοι· φιλέειν δ' ἐγὼ οἶδα γυναῖκας,
ἐς χρονίην φιλίην οἷα φυλασσομένας.
οὐ καλὸν ἡβητῆρες. ἀπεχθαίρω γὰρ ἐκείνην
τὴν τρίχα, τὴν φθονερήν, τὴν ταχὺ φυομένην.

II.

Ὡς εἶδον Μελίτην, ὦχρος μ' ἕλε. καὶ γὰρ ἀκοίτης
κείνῃ ἐφωμάρτει· τοῖα δ' ἔλεξα τρέμων·
Τοῦ σοῦ ἀνακροῦσαι δύναμαι πυλεῶνος ὀχῆας,
δικλίδος ἡμετέρης τὴν βάλανον χαλάσας,
καὶ δισσῶν προθύρων πλαδαρὴν κρηπῖδα περήσας,
ἄκρον ἐπιβλῆτος μεσσόθι πηξάμενος.
ἡ δὲ λέγει γελάσασα, καὶ ἀνέρα λοξὸν ἰδοῦσα·
Τῶν προθύρων ἀπέχου, μὴ σκεύην ὀλέσῃς.

III.

Τὼς τρητὼς δόνακας, τὸ νάκος τόδε, τάν τε κορύναν
ἄνθεσο Πανὶ φίλῳ, Δάφνι γυναικοφίλα.
ὦ Πὰν, δέχνυσο δῶρα τὰ Δάφνιδος. ἴσα γὰρ αὐτῷ
καὶ μολπὰν φιλέεις, καὶ δύσερως τελέθεις.

II. 1. Cod. ἀκοίτη. 8. Cod. μὴ σκαφίην ὀλέσεις.

T. III.

## IV.

Οἰνοπότας Ξενοφῶν κενεὸν πίθον ἄνθετο Βάκχῳ.
δέχνυσο δ᾽ εὐμενέως. ἄλλο γὰρ οὐδὲν ἔχει.

---

p. 124.

# ΜΙΧΑΗΛΙΟΥ
## ΓΡΑΜΜΑΤΙΚΟΥ.

---

### Εἰς εἰκόνα Αγαθίου Σχολαστικοῦ.

Η πόλις Αγαθίαν τὸν ῥήτορα, τὸν στιχαοιδὸν,
δίζυγος εὐεπίης ῥυθμὸν ἀγασσαμένη,
ὡς μήτηρ ἐτέλεσσεν ἐφ᾽ υἱέϊ, καὶ πόρε τήνδε
εἰκόνα, καὶ στοργῆς μάρτυρα καὶ σοφίης·
Μεμνόνιον δὲ τοκῆα, κασίγνητόν τε σὺν αὐτῷ
ἔστησε, γενεῆς σύμβολα σεμνοτάτης.

---

# ΘΩΜΑ ΠΑΤΡΙΚΙΟΥ
## ΚΑΙ
## ΛΟΓΟΘΕΤΟΥ ΤΟΥ ΔΡΟΜΟΥ.

---

### Εἰς Αναστάσιον.

Τὸν θρασὺν ἡνιοχῆα λελασμένον ἅρματος ἄθλων
ἐνθάδ᾽ Αναστάσιον κείμενον οὖδας ἔχει,
ὃς τόσσους ἀνεδήσατο πρὶν στεφάνους, ὅσα ἄλλοι
ἔδρακον ἡνιόχων ἤματα ἱππασίης.

---

# ΘΩΜΑ

## ΣΧΟΛΑΣΤΙΚΟΥ.

T.III.p.125.

Ῥητορικῆς φιλέω τρεῖς ἀστέρας, οὕνεκα μοῦνοι
  πάντων ῥητήρων εἰσὶν ἀρειότεροι.
σεῖο πόνους φιλέω, Δημόσθενες· εἰμὶ δὲ λίην
  καὶ Φιλαριστείδης καὶ φιλοθουκυδίδης.

# ΣΩΦΡΟΝΙΟΥ

## ΙΕΡΟΣΟΛΥΜΩΝ ΠΑΤΡΙΑΡΧΟΥ.

### I.

Εἰς τόπον ἐπιξενουμένων.

Ὁ πρὶν ἀλώμενος, καὶ ἀνέστιον ἴχνος ἐλαύνων,
  εἴτ' ἀφ' ὁδοιπορίης, εἴτ' ἀπὸ ναυτιλίης,
ἐνθάδε νῦν προσιὼν, στῆσον, ξένε, σὸν πόδα· δεῦρο
  ναιετάειν ἐθέλων, οἶκον ἕτοιμον ἔχεις.
εἰ δ' ἐμὲ καὶ τίς ἔτευξεν ἀνακρινέοις, πολιήτης
  Εὐλόγιος, Φαρίης ἀρχιερεὺς ἀγαθός.

### II.

Εἰς Ιωάννην τὸν Ἐλεήμονα Πάπαν Ἀλεξανδρείας.

Τύμβε, τίς, ἢ πόθεν ἦν, ἔτι παῖς τίνος, ἔργα καὶ ὄλβον
  νεκροῦ, ὃν ἔνδον ἔχεις, ἔννεπε, κευθόμενον.

I. 3. Cod. Vat. στῆσον, ξεῖνε, πόδα.
II. 1. Codd, ἦν δ' ἔτι. aut δὲ τί, 2. Vulg. νεκρόν.

T.III.p.126.β οὗτος Ιωάννης, Κύπριος γένος, υἱὸς ἐτύχθη
εὐγενέος Στεφάνου· ἦν δὲ νομεὺς Φαρίης.
κτήμασι μὲν πολύολβος ὅλων πλέον, ὧν τρέφε Κύπρος,
ἐκ πατέρος πατέρων, ἐξ ὁσίων τε πόνων·
ἔργα δὲ θέσκελα πάντα λέγειν, ἅπερ ἐν χθονὶ τεῦξεν,
οὐδ' ἐμοῦ ἐστι νόου οὐδ' ἑτέρων στομάτων.
πάντα γὰρ ἄνδρα παρῆλθε φαεινοτάτης ἀρετῇσι
δόξαντα κρατέειν ταῖς ἀρεταῖς ἑτέρων.
τοῦ καὶ κάλλεα πάντα, τάπερ πτόλις ἔλλαχεν αὐτη,
— εἰσὶ φιλοφροσύνης κόσμος ἀρειότατος.

III.

Εἰς τὸν αὐτόν.

Αρχὸς Ιωάννης Φαρίης ἀρετῶν ἱερήων
ἐνθάδε νῦν μετὰ τέρμα φίλῃ παρὰ πατρίδι κεῖται·
θνητὸν γὰρ λάχε σῶμα, καὶ εἰ βίον ἄφθιτον ἔσχεν,
ἀθανάτους πρήξεις τε κατὰ χθόνα ῥέξεν ἀπείρους.

p. 127. ΚΟΣΜΑ ΜΟΝΑΧΟΥ.

Εἰς Πύῤῥον μέλλοντα σφάξαι τὴν Πολυξένην.

Πύῤῥος ἐγώ· σπεύδω δὲ πατρὸς χάριν. ἡ δὲ κυνῶπις
Παλλάδα κικλήσκει, γνωτὸν ἔχουσα Πάριν.

II. 12. Fort. φιλοφροσύνης κόσμος ἀρειοτάτης. Cod. ἀρειοτάτης.
III. 4. Scr. πρήξεις γε. aut in ſuper. verſ. σῶμα, βίον δ' εἶθ' ἄφθιτον ἔσχεν.

ΜΙΧΑΗΛ

# ΜΙΧΑΗΛ ΤΟΥ ΨΕΛΛΟΥ. T. III.

Εἰς τὸν χαλκοῦν ἵππον, τὸν ἐν τῷ Ἱπποδρόμῳ, ἀπηωρημένον τὸν πόδα ἔχοντα.

Ἔμπνους ὁ χαλκοῦς ἵππος οὗτος, ὃν βλέπεις,
ἔμπνους ἀληθῶς, καὶ φριμάξεται τάχα.
τὸν πρόσθιον δὲ τοῦτον ἐξαίρων πόδα,
βαλεῖ σε καὶ λὰξ, εἰ παρέλθοις πλησίον.
δραμεῖν καθορμᾷ, στῆθι, μὴ προσεγγίσῃς,
μᾶλλον δὲ φεῦγε, μὴ λάβῃς τὸ τοῦ λόγου.

# ΛΕΟΝΤΟΣ ΦΙΛΟΣΟΦΟΥ. p. 128.

## I.

Εἰς βίβλον μηχανικήν.

Βίβλος μηχανική· Κυρῖνος δέ μιν ἐξεπόνησε,
Μαρκέλλου γνωτοῖο συνερχομένου κατὰ μόχθον.

## II.

Εἰς βίβλον Παύλου ἀστρολόγου.

Θέσφατα μαντώης Φοιβηΐδος ὄργια τέχνης
ἀστρολόγων Παῦλός μ᾽ ἐδιδάξατο κύδιμος ἀνήρ.

Mich. Pſ. 4. Vulgo εἰ παρέλθῃς.

T. III.

## III.

Εἰς βίβλȣς Πρόκλȣ καὶ Θέωνος.

Βίβλος Θέωνος καὶ Πρόκλȣ τῶν πανσόφων,
βίβλος πόλȣ τε καὶ χθονὸς φέρει μέτρα.
Θέων πόλον μὲν, καὶ Πρόκλος μετρεῖ χθόνα·
Πρόκλος μὲν ȣ̓̃ν γῆν, καὶ Θέων μετρεῖ πόλον.
ἄμφω δ' ἐπίσης τῶν ἐπαίνων ἄξιοι,
ἄμφω δ' ἀμοιβὴν τῶν λόγων τετευχάτην.
Θέων Πρόκλȣ μὲν λαμβάνων σοφὰς θέσεις,
δείκνυσι ταύταις τȣ̀ς δρόμȣς τῶν ἀςέρων·
Πρόκλος δὲ δείξεις τȣ̃ Θέωνος λαμβάνων
ταύταις ἀναλύει καὶ προβάλλει τὰς θέσεις.
p. 129. ἀλλ' ὦ σοφὴ ξυνωρὶ χαῖρέ μοι λίαν.
χαίροις Θέων ἄριςε, πάνσοφον κάρα,
ὁ νῦν πυκάζων τὴν Ἀλεξάνδρȣ πόλιν·
χαίροις δὲ καὶ σὺ Πρόκλε, τȣ̃ Σαρπηδόνος
ἄριςον αἷμα τοῖς ὅλοις βοώμενον.

## IV.

Εἰς τὴν βίβλον Λευκίππης.

Ἔρωτα πικρὸν, ἀλλὰ σωφρόνων βίον
ὁ Κλειτοφῶντος μὲν παρεμφαίνει λόγος·
ὁ Λευκίππης δὲ σωφρονέςατος βίος
ἅπαντας ἐξίςησι, πῶς τετυμμένη,
κεκαρμένη τε, καὶ κατηχρειωμένη,
τὸ δὴ μέγιςον, τρὶς θανȣ̃σ' ἐκαρτέρει.

IV. 1. Cod. σώφρονα. Fort. ἀλλὰ βιοτὴν σώφρονα. 2. Cod. ὁ Κλ. ὥςπερ ἐμφαίνει.

εἴπερ δὲ καὶ σὺ σωφρονεῖν θέλεις, φίλε, T. III.
μὴ τὴν πάρεργον τῆς γραφῆς σκόπει θέαν·
τὴν τȣ̃ λόγȣ δὲ πρῶτα συνδρομὴν μάθε.
νυμφοστολεῖ γὰρ τȣ̀ς ποθȣ̃ντας ἐμφρόνως.

## V.

Τῇ τῶν λόγων σȣ κογχύλῃ, Πορφύριε,
βάπτεις τὰ χείλη, καὶ στολίζεις τὰς φρένας.

## VI.

Εἰς παρθένον φθαρεῖσαν Ὁμηρόκεντρα.

Μῆτερ ἐμὴ δύσμητερ, ἀπηνέα θυμὸν ἔχȣσα,
λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς ȣ̓̃τασεν ἀνὴρ
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδȣσι βροτοὶ ἄλλοι,
γυμνὸς ἄτερ κόρυθός τε καὶ ἀσπίδος, ȣ̓δ' ἔχεν ἔγχος.
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· αὐτὰρ ἔπειτα p. 130.
ȣ̓ρόν τε προέηκεν ἀπήμονά τε λιαρόν τε.

## VII.

Εἰς τȣ̀ς Ῥωμαίων μῆνας.

Μὴν Ὑπάτων ὁ πρῶτος. ὁ δεύτερος αὔλακα τέμνει.
ὁ τρίτος Αὐσονίων γενεὴν ἐπὶ μῶλον ἐγείρει.
τέτρατος ἀγγέλλει ῥοδοδάκτυλος εἴαρος ὥρην.
εἰμὶ ῥόδων γενέτης. καὶ ἐγὼ κρίνα λευκὰ κομίζω.
ȣ̃τος ἀμαλλοδέτης. τὰ δ' ἐμὰ πτερὰ Νεῖλον ἐγείρει.
ȣ̃τος ἐρισταφύλῳ πεφιλημένος ἔπλετο Βάκχῳ.
τεύχω δ' οἶνον ἐγὼ μελιηδέα, χάρμα βροτοῖσι.
δαῖτα φέρω χαρίεσσαν ἐς ȣ̓̃νομα φωτὸς ἑκάστȣ.
φορμίζειν δεδάηκα καὶ ὑπνώοντας ἐγείρειν.

IV. 10. Cod. ν. δὲ τύς.

T. III. εἰσέτι γὰρ σύριγγι μελίσδομαι, εἰσέτι φωνὴ
ἄτρομος ἐν τρομερῷ σώματι ναιετάει.
ἀλλὰ λύκοις σίντῃσιν ἀν' οὔρεα μή τις ἐμεῖο
αἰπόλος ἀγγείλῃ γήραος ἀδρανίην.

## XXVI.

Κισσοκόμῳ Βρομίῳ Σάτυρον σεσαλαγμένον οἴνῳ
ἀμπελοεργὸς ἀνὴρ ἄνθετο, Ληναγόρας.
τῷ δὲ καρηβαρέοντι, δορήν, τρίχα, κισσόν, ὀπώρην,
πάντα λέγοις μεθύειν, πάντα συνεκλέλυται·
καὶ φύσιν ἀφθόγγοισι τύποις μιμήσατο τέχνη,
ὕλης ἀντιλέγειν μηδὲν ἀνασχομένης.

## XXVII.

Τὸν κύνα, τὸν πάσης κρατερῆς ἐπιΐδμονα θήρης,
ἔξεσε μὲν Λεύκων, ἄνθετο δ' Ἀλκιμένης.
Ἀλκιμένης δ' οὐχ εὗρε τί μέμψεται· ὡς δ' ἴδ' ὁμοίην
εἰκόνα παντοίῳ σχήματι φαινομένην,
κλοιὸν ἔχων, πέλας ἦλθε, λέγων Λεύκωνι κελεύειν
τῷ κυνὶ καὶ βαίνειν· πεῖθε γὰρ ὡς ὑλάων.

## XXVIII.[a]

Δίκτυον ἀκρομόλιβδον Ἀμύντιχος ἀμφὶ τριαίνῃ
δῆσε γέρων, ἁλίων παυσάμενος καμάτων.
p. 119. ἐς δὲ Ποσειδάωνα καὶ ἁλμυρὸν οἶδμα θαλάσσης
εἶπεν, ἀποσπένδων δάκρυον ἐκ βλεφάρων·
Οἶσθα, μάκαρ, κέκμηκα· κακοῦ δ' ἐπὶ γήραος ἡμῖν
ἄλλυτος ἡβάσκει γυιοτακὴς πενίη.

XXVI. 1. Cod. κισσοκόμαν.

θρέψον ἔτι σπαῖρον τὸ γερόντιον, ἀλλ' ἀπὸ γαίης, T. III.
ὡς ἐθέλῃς, μεδέων καὶ χθονὶ καὶ πελάγει.

## XXVIII. b

p. 332.

Ἀνάθημα τῇ Δήμητρι παρὰ γεωργοῦ.

Τὼ βόε μοι, οἳ τόνδε τετεύχατον, ἵλαθι Δηοῖ, i
δέχνυσο δ' ἐκ μάζης, οὐκ ἀπὸ βουκολίων·
δὸς δὲ βόε ζώειν ἐτύμω, καὶ πλῆσον ἀρούρας
δράγματος, ὀλβίστην ἀντιδιδοῦσα χάριν.
σῷ γὰρ ἀρουροπόνῳ φιλαλήθεϊ τέτρατος ἤδη b
ὀκτάδος ἑνδεκάτης ἐστὶ φίλος λυκάβας,
οὐδέποτ' ἀμήσαντι Κορινθικόν, οὔ ποτε πικρᾶς
τῆς ἀφιλοσταχύου γευσαμένῳ πενίης.

## XXIX.

p. 119.

Τῷ ξοάνῳ τὸν παῖδα Θυώνιχον, οὐχ ἵνα λεύσσῃς
ὡς καλὸς ἐν τῇδε μνάματος ἀγλαΐᾳ,
ἀλλ' ἵνα σοι τὸν ἄεθλον ὃν ἐξεπόνησε μαθόντι,
ὦ 'γαθέ, τᾶς αὐτᾶς ζᾶλος ἔοι μανίας.
οὗτος ὁ μὴ κλίνας καμάτῳ πόδα, πάντα δ' ἀγῶνι,
ἅλικα νικήσας, ὁπλότερον, πρότερον.

## XXX.

Εἰς λουτρὸν ἐν Λυκίᾳ.

Πιστότατος μερόπων τις ἔοι πυλαωρὸς ἐμεῖο,
κρίνων λουομένων καιρὸν ἐσηλυσίης,
μή τινα Νηϊάδων τις ἐμοῖς ἐνὶ χεύμασι γυμνήν,
ἢ μετὰ καλλικόμων Κύπριν ἴδῃ Χαρίτων
οὐκ ἐθέλων· ΧΑΛΕΠΟΙ ΔΕ ΘΕΟΙ ΦΑΙΝΕΣΘΑΙ ΕΝΑΡΓΕΙΣ.
τίς γὰρ Ὁμηρείοις ἀντιφέροιτο λόγοις;

XXVIII. a 8. Fort. ὡς δύναται.

T. III.

## XXXI.

Εἰς οἶκον ἐν Κιβύρᾳ.

Εὐσεβίη τὸ μέλαθρον ἀπὸ πρώτοιο θεμέθλου
ἄχρι καὶ ὑψηλοὺς ἤγαγεν εἰς ὀρόφους.
p. 120. οὐ γὰρ ἀπ' ἀλλοτρίων κτεάνων ληΐστορι χαλκῷ
ὄλβον ἀολλίζων τεῦξε Μακηδόνιος·
οὐδὲ λιπερνήτης κενεῷ καὶ ἀκερδέϊ μόχθῳ
κλαῦσε, δικαιοτάτου μισθοῦ ἀτεμβόμενος.
ὡς δὲ πόνων ἄμπαυμα φυλάσσεται ἀνδρὶ δικαίῳ,
ὧδε καὶ εὐσεβέων ἔργα μένοι μερόπων.

## XXXII.

Εἰς Σάρδεις.

Τμώλῳ ὑπ' ἠνεμόεντι, ῥοὴν παρὰ Μαίονος Ερμου,
Σάρδιες, ἡ Λυδῶν ἔξοχός εἰμι πόλις.
μάρτυς ἐγὼ πρώτη γενόμην Διός· οὐ γὰρ ἐλέγχειν
λάθριον υἷα Ῥέης ἤθελον ἡμετέρης.
αὐτὴ καὶ Βρομίῳ γενόμην τροφός· ἐν δὲ κεραυνῷ
ἔδρακον εὐρυτέρῳ φωτὶ φαεινόμενον.
πρώταις δ' ἡμετέρῃσιν ἐν ὀργάσιν οἰνὰς ὀπώρη
οὔθατος ἐκ βοτρύων ξανθὸν ἄμελξε γάνος.
πάντα με κοσμήσαντο· πολὺς δ' ἐμὲ πολλάκις αἰὼν
ἄστεσιν ὀλβίστοις εὗρε μεγαιρομένην.

## XXXIII.

Συῤῥέντου τρηχεῖα μυρίπνοε χαῖρε κονίη,
καὶ Πολλεντίνων γαῖα μελιχροτάτη.
ἐτὶ γὰρ αἱ τριπόθητοι, ἀφ' ὧν βρομιώδεα πηλὸν
φύρησαν Βάκχῳ τριζυγέες Χάριτες,

πλούτου καὶ πενίης κοινὸν κτέαρ, οἷς μὲν, ἀνάγκης T. III.
σκεῦος· τοῖς δὲ, τρυφῆς χρῆσι περισσοτέρη.

XXXIV. p. 121.

Φειδωλός τις ἀνὴρ ἀφθόνων θησαυρὸν ὀνείρῳ,
ἤθελ' ἀπαθρώσκειν, πλούσιον ὕπνον ἔχων·
ὡς δ' ἴδε τὴν προτέρην, σκίδεν μετὰ κέρδος ὀνείρου,
ἐξ ὕπνου πενίην, ἀντεκάθευδε πάλιν.

XXXV.

Μνήμη καὶ Λήθη, μέγα χαίρετον· ἡ μὲν ἐπ' ἔργοις
Μνήμη τοῖς ἀγαθοῖς, ἡ δ', ἐπὶ λευγαλέοις.

XXXVI.

Κάπρον μὲν χέρσῳ Κόδρος ἔκτανε· τὴν δὲ ταχεῖαν
εἰν ἁλὶ καὶ χαροποῖς κύμασιν εἷλ' ἔλαφον.
εἰ δ' ἦν καὶ πτηνὴ θηρῶν φύσις, οὐδ' ἂν ἐν αἴθρῃ
τὴν κείνου κενεὴν Ἄρτεμις εἶδε χέρα.

XXXVII.

Ἔπταρον ἄγχι τάφοιο, καὶ ἤθελον αὐτὸς ἀκοῦσαι
οἷά περ ᾠσάμην, μοῖραν ἐμῆς ἀλόχου.
ἔπταρον εἰς ἀνέμους· ἄλοχον δ' ἐμοὶ οὔ τι κιχάνει
λυγρὸν ἐν ἀνθρώποις, οὐ νόσος, οὐ θάνατος.

XXXVIII.

Πρὸς τὸ Ἀραβίου ἐπίγραμμα β.

Παρθένος εὐπατέρεια Δίκη, πρέσβειρα πολήων,
οὐ τὸν ἐν εὐσεβίῃ χρυσὸν ἀποστρέφεται.

XXXIV. 2. Vulgo ἀποθνήσκειν.
XXXVI. 3. οὐδ' ἂν ἐν αἴθρι.
XXXVII. 4. Cod. λύτρον ε. α.

T. III. ἀλλὰ καὶ αὐτὰ τάλαντα Διὸς πάγχρυσα τελέσθη,
οἷσι ταλαντεύει πάντα νόμον βιότου,
ΚΑΙ ΤΟΤΕ ΔΗ ΧΡΥΣΕΙΑ ΠΑΤΗΡ ΕΤΙΤΑΙΝΕ ΤΑΛΑΝΤΑ,
εἰ μὴ Ὁμηρείων ἐξελάθου χαρίτων.

p. 122.

## XXXIX.

Εἰ βίον ἐν μερόπεσσι τύχης παίζουσιν ἑταῖραι
Ἐλπίδες, ἀμβολάδην πάντα χαριζόμεναι,
παίζομαι, εἰ βροτός εἰμι. βροτὸς δ' εὖ οἶδα καὶ αὐτὸς
θνητὸς ἐών· δολιχαῖς δ' ἐλπίσι παιζόμενος,
αὐτὸς ἑκόντι γέγηθα πλανώμενος, οὐδὲ γενοίμην
εἰς κρίσιν ἡμετέρην πικρὸς Ἀριστοτέλης.
τὴν γὰρ Ἀνακρείοντος ἐνὶ πραπίδεσσι φυλάσσω
παρφασίην, ὅτι ΔΕΙ ΦΡΟΝΤΙΔΑ ΜΗ ΚΑΤΕΧΕΙΝ.

## XL.

Πανδώρης ὁρόων γελόω πίθον, οὐδὲ γυναῖκα
μέμφομαι, ἀλλ' αὐτῶν τὰ πτερὰ τῶν ἀγαθῶν.
ὡς γὰρ ἀπ' Οὐλύμποιο μετὰ χθονὸς ἤθεα πάσης
πωτῶνται, πίπτειν καὶ κατὰ γῆν ὄφελον.
ἡ δὲ γυνὴ μετὰ πῶμα κατωχρήσασα παρειὰς
ὤλεσεν ἀγλαΐην ὧν ἔφερε χαρίτων.
ἀμφοτέρων δ' ἥμαρτεν ὁ νῦν βίος, ὅττι καὶ αὐτὴν
γηράσκουσαν ἔχει, καὶ πίθος οὐδὲν ἔχει.

## XLI.

Γαῖα, καὶ Εἰλήθυια, σὺ μὲν τέκες, ἡ δὲ καλύπτεις·
χαίρετον· ἀμφοτέρας ἤνυσα τὸ στάδιον.
εἶμι δὲ, μὴ νοέων πόθι νείσομαι· οὐ γὰρ ἐς ὑμέας
οἶδα, τίς, ἢ τίνος ὤν, ἠὲ πόθεν μετέβην.

# ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΣΧΟΛΑΣΤΙΚΟΥ. T.III.p.123.

## I.

Ἄρσενας ἄλλος ἔχοι· φιλέειν δ' ἐγὼ οἶδα γυναῖκας,
ἐς χρονίην φιλίην οἷα φυλασσομένας.
οὐ καλὸν ἡβητῆρες. ἀπεχθαίρω γὰρ ἐκείνην
τὴν τρίχα, τὴν φθονερήν, τὴν ταχὺ φυομένην.

## II.

Ὡς εἶδον Μελίτην, ὠχρός μ' ἕλε. καὶ γὰρ ἀκοίτης
κείνῃ ἐφωμάρτει· τοῖα δ' ἔλεξα τρέμων·
Τοῦ σοῦ ἀνακροῦσαι δύναμαι πυλεῶνος ὀχῆας,
δικλίδος ἡμετέρης τὴν βάλανον χαλάσας,
καὶ δισσῶν προθύρων πλαδαρὴν κρηπῖδα περήσας,
ἄκρον ἐπιβλῆτος μεσσόθι πηξάμενος.
ἡ δὲ λέγει γελάσασα, καὶ ἀνέρα λοξὸν ἰδοῦσα·
Τῶν προθύρων ἀπέχου, μὴ σκεύην ὀλέσῃς.

## III.

Τοὺς τρητοὺς δόνακας, τὸ νάκος τόδε, τάν τε κορύναν
ἄνθεσο Πανὶ φίλῳ, Δάφνι γυναικοφίλα.
ὦ Πάν, δέχνυσο δῶρα τὰ Δάφνιδος. ἶσα γὰρ αὐτῷ
καὶ μολπὰν φιλέεις, καὶ δύσερως τελέθεις.

II. 1. Cod. ἀκοίτῃ. 8. Cod. μὴ σκαφίην ὀλέσεις.

T. III. IV.

Οἰνοπότας Ξενοφῶν κενεὸν πίθον ἄνθετο Βάκχῳ·
δέχνυσο δ' εὐμενέως. ἄλλο γὰρ οὐδὲν ἔχει.

p. 124. ΜΙΧΑΗΛΙΟΥ
ΓΡΑΜΜΑΤΙΚΟΥ.

Εἰς εἰκόνα Αγαθίου Σχολαστικοῦ.

Η πόλις Αγαθίαν τὸν ῥήτορα, τὸν στιχαοιδὸν,
δίζυγος εὐεπίης ῥυθμὸν ἀγασσαμένη,
ὡς μήτηρ ἐτέλεσσεν ἐφ' υἱέϊ, καὶ πόρε τήνδε
εἰκόνα, καὶ στοργῆς μάρτυρα καὶ σοφίης·
Μεμνόνιον δὲ τοκῆα, κασίγνητόν τε σὺν αὐτῷ
ἔστησε, γενεῆς σύμβολα σεμνοτάτης.

ΘΩΜΑ ΠΑΤΡΙΚΙΟΥ
ΚΑΙ
ΛΟΓΟΘΕΤΟΥ ΤΟΥ ΔΡΟΜΟΥ.

Εἰς Ανεστάσιον.

Τὸν θρασὺν ἡνιοχῆα λελασμένον ἅρματος ἄθλων
ἐνθάδ' Ανεστάσιον κείμενον οὖδας ἔχει,
ὃς τόσσους ἀνεδήσατο πρὶν στεφάνους, ὅσα ἄλλοι
ἔδρακον ἡνιόχων ἤματα ἱππασίης.

## ΘΩΜΑ
### ΣΧΟΛΑΣΤΙΚΟΥ.

T.III.p.125.

Ῥητορικῆς φιλέω τρεῖς ἀστέρας, οὕνεκα μοῦνοι
πάντων ῥητήρων εἰσὶν ἀρειότεροι.
σεῖο πόνους φιλέω, Δημόσθενες· εἰμὶ δὲ λίην
καὶ Φιλαριστείδης καὶ φιλοθουκυδίδης.

## ΣΩΦΡΟΝΙΟΥ
### ΙΕΡΟΣΟΛΥΜΩΝ ΠΑΤΡΙΑΡΧΟΥ.

### I.

Εἰς τόπον ἐπιξενουμένων.

Ὁ πρὶν ἀλώμενος, καὶ ἀνέστιον ἴχνος ἐλαύνων,
εἴτ' ἀφ' ὁδοιπορίης, εἴτ' ἀπὸ ναυτιλίης,
ἐνθάδε νῦν προσιὼν, στῆσον, ξένε, σὸν πόδα· δεῦρο
ναιετάειν ἐθέλων, οἶκον ἕτοιμον ἔχεις.
εἰ δ' ἐμὲ καὶ τίς ἔτευξεν ἀνακρινέοις, πολιήτης
Εὐλόγιος, Φαρίης ἀρχιερεὺς ἀγαθός.

### II.

Εἰς Ιωάννην τὸν Ελεήμονα Πάπαν Αλεξανδρείας.

Τύμβε, τίς, ἢ πόθεν ἦν, ἔτι παῖς τίνος, ἔργα καὶ ὄλβον
νεκροῦ, ὃν ἔνδον ἔχεις, ἔννεπε, κευθόμενον.

I. 3. Cod. Vat. στῆσον, ξεῖνε, πόδα.
II. 1. Codd, ἦν δ' ἔτι. aut δὲ τί, 2. Vulg. νεκρόν.

T.III.p.126.β ὄτος Ιωάννης, Κύπριος γένος, υἱὸς ἐτύχθη
εὐγενέος Στεφάνου· ἦν δὲ νομεὺς Φαρίης.
κτήμασι μὲν πολύολβος ὅλων πλέον, ὧν τρέφε Κύπρος,
ἐκ πατέρος πατέρων, ἐξ ὁσίων τε πόνων·
ἔργα δὲ θέσκελα πάντα λέγειν, ἅπερ ἐν χθονὶ τεῦξεν,
οὐδ' ἐμοῦ ἐστι νόου, οὐδ' ἑτέρων στομάτων.
πάντα γὰρ ἄνδρα παρῆλθε φαεινοτάτης ἀρετῇσι
δόξαντα κρατέειν ταῖς ἀρεταῖς ἑτέρων.
τοῦ καὶ κάλλεα πάντα, τάπερ πτόλις ἔλλαχεν αὕτη,
εἰσὶ, φιλοφροσύνης κόσμος ἀρειότατος.

III.

Εἰς τὸν αὐτόν.

Αρχὸς Ιωάννης Φαρίης ἀρετῶν ἱερήων
ἐνθάδε νῦν μετὰ τέρμα φίλη παρὰ πατρίδι κεῖται·
θνητὸν γὰρ λάχε σῶμα, καὶ εἰ βίον ἄφθιτον ἔσχεν,
ἀθανάτους πρήξεις τε κατὰ χθόνα ῥέξεν ἀπείρους.

p. 127. ## ΚΟΣΜΑ ΜΟΝΑΧΟΥ.

Εἰς Πύῤῥον μέλλοντα σφάξαι τὴν Πολυξένην.

Πύῤῥος ἐγώ· σπεύδω δὲ πατρὸς χάριν. ἡ δὲ κυνῶπις
Παλλάδα κικλήσκει, γνωτὸν ἔχουσα Πάριν.

II. 12. Fort. φιλοφροσύνης κόσμος ἀρειοτάτης. Cod. ἀρειοτάτος.
III. 4. Scr. πρήξεις γε. aut in ſuper. verſ. σῶμα, βίον δ' εἶθ' ἄφθιτον ἔσχεν.

ΜΙΧΑΗΛ

## Μ Ι Χ Α Η Λ  T. III.

### ΤΟΥ ΨΕΛΛΟΥ.

Εἰς τὸν χαλκοῦν ἵππον, τὸν ἐν τῷ Ἱπποδρόμῳ, ἀπηωρημένον τὸν πόδα ἔχοντα.

Ἔμπνους ὁ χαλκοῦς ἵππος οὗτος, ὃν βλέπεις,
ἔμπνους ἀληθῶς, καὶ φριμάξεται τάχα.
τὸν πρόσθιον δὲ τοῦτον ἐξαίρων πόδα,
βαλεῖ σε καὶ λὰξ, εἰ παρέλθοις πλησίον.
δραμεῖν καθορμᾷ, στῆθι, μὴ προσεγγίσῃς,
μᾶλλον δὲ φεῦγε, μὴ λάβῃς τὸ τοῦ λόγου.

## Λ Ε Ο Ν Τ Ο Σ  p. 128.

### ΦΙΛΟΣΟΦΟΥ.

I.

Εἰς βίβλον μηχανικήν.

Βίβλος μηχανική· Κυρῖνος δέ μιν ἐξεπόνησε,
Μαρκέλλου γνωτοῖο συνεργομένου κατὰ μόχθον.

II.

Εἰς βίβλον Παύλου ἀστρολόγου.

Θέσφατα μαντῴης Φοιβηΐδος ὄργια τέχνης
ἀστρολόγων Παῦλός μ' ἐδιδάξατο κύδιμος ἀνήρ.

Mich. Pſ. 4. Vulgo εἰ παρέλθῃς.

T. III.

## III.

Εἰς βίβλους Πρόκλου καὶ Θέωνος.

Βίβλος Θέωνος καὶ Πρόκλου τῶν πανσόφων,
βίβλος πόλου τε καὶ χθονὸς φέρει μέτρα.
Θέων πόλον μὲν, καὶ Πρόκλος μετρεῖ χθόνα·
Πρόκλος μὲν οὖν γῆν, καὶ Θέων μετρεῖ πόλον.
ἄμφω δ' ἐπίσης τῶν ἐπαίνων ἄξιοι,
ἄμφω δ' ἀμοιβὴν τῶν λόγων τετευχάτην.
Θέων Πρόκλου μὲν λαμβάνων σοφὰς θέσεις,
δείκνυσι ταύταις τοὺς δρόμους τῶν ἀστέρων·
Πρόκλος δὲ δείξεις τοῦ Θέωνος λαμβάνων
ταύταις ἀναλύει καὶ προβάλλει τὰς θέσεις.
p. 129. ἀλλ' ὦ σοφὴ ξυνωρὶ χαῖρέ μοι λίαν.
χαίροις Θέων ἄριστε, πάνσοφον κάρα,
ὁ νῦν πυκάζων τὴν Ἀλεξάνδρου πόλιν·
χαίροις δὲ καὶ σὺ Πρόκλε, τοῦ Σαρπηδόνος
ἄριστον αἷμα τοῖς ὅλοις βοώμενον.

## IV.

Εἰς τὴν βίβλον Λευκίππης.

Ἔρωτα πικρὸν, ἀλλὰ σωφρόνων βίον
ὁ Κλειτοφῶντος μὲν παρεμφαίνει λόγος·
ὁ Λευκίππης δὲ σωφρονέστατος βίος
ἅπαντας ἐξίστησι, πῶς τετυμμένη,
κεκαρμένη τε, καὶ κατηχρειωμένη,
τὸ δὴ μέγιστον, τρὶς θανοῦσ' ἐκαρτέρει.

IV. 1. Cod. σώφρονα. Fort. ἀλλὰ βιοτὴν σώφρονα. 2. Cod. ὁ Κλ. ὥσπερ ἐμφαίνει.

εἴπερ δὲ καὶ σὺ σωφρονεῖν θέλεις, φίλε, T. III.
μὴ τὴν πάρεργον τῆς γραφῆς σκόπει θέαν·
τὴν τῦ λόγυ δὲ πρῶτα συνδρομὴν μάθε.
νυμφοστολεῖ γὰρ τὺς ποθῦντας ἐμφρόνως.

## V.

Τῇ τῶν λόγων σου κογχύλῃ, Πορφύρις,
βάπτεις τὰ χείλη, καὶ στολίζεις τὰς φρένας.

## VI.

Εἰς παρθένον φθαρεῖσαν Ομηρόκεντρα.

Μῆτερ ἐμὴ δύσμητερ, ἀπηνέα θυμὸν ἔχυσα,
λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς ὔτασεν ἀνὴρ
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδυσι βροτοὶ ἄλλοι,
γυμνὸς ἄτερ κόρυθός τε καὶ ἀσπίδος, ὐδ' ἔχεν ἔγχος.
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· αὐτὰρ ἔπειτα p. 130.
ὑρόν τε προέηκεν ἀπήμονά τε λιαρόν τε.

## VII.

Εἰς τὺς Ρωμαίων μῆνας.

Μὴν Ὑπάτων ὁ πρῶτος. ὁ δεύτερος αὔλακα τέμνει.
ὁ τρίτος Αὐσονίων γενεὴν ἐπὶ μῶλον ἐγείρει.
τέτρατος ἀγγέλλει ῥοδοδάκτυλος εἴαρος ὥρην.
εἰμὶ ῥόδων γενέτης. καὶ ἐγὼ κρίνα λευκὰ κομίζω.
ὗτος ἀμαλλοδέτης. τὰ δ' ἐμὰ πτερὰ Νεῖλον ἐγείρει.
ὗτος ἐρισταφύλῳ πεφιλημένος ἔπλετο Βάκχῳ.
τεύχω δ' οἶνον ἐγὼ μελιηδέα, χάρμα βροτοῖσι.
δαῖτα φέρω χαρίεσσαν ἐς ὔνομα φωτὸς ἑκάστυ.
φορμίζειν δεδάηκα καὶ ὑπνώοντας ἐγείρειν.

IV. 10, Cod. v. δὲ τύς.

T. III. ## III.

Εἰς βίβλους Πρόκλου καὶ Θέωνος.

Βίβλος Θέωνος καὶ Πρόκλου τῶν πανσόφων,
βίβλος πόλου τε καὶ χθονὸς φέρει μέτρα.
Θέων πόλον μὲν, καὶ Πρόκλος μετρεῖ χθόνα·
Πρόκλος μὲν οὖν γῆν, καὶ Θέων μετρεῖ πόλον.
ἄμφω δ' ἐπίσης τῶν ἐπαίνων ἄξιοι,
ἄμφω δ' ἀμοιβὴν τῶν λόγων τετευχάτην.
Θέων Πρόκλου μὲν λαμβάνων σοφὰς θέσεις,
δείκνυσι ταύταις τοὺς δρόμους τῶν ἀστέρων·
Πρόκλος δὲ δείξεις τοῦ Θέωνος λαμβάνων
ταύταις ἀναλύει καὶ προβάλλει τὰς θέσεις.
p. 129. ἀλλ' ὦ σοφὴ ξυνωρὶ χαῖρέ μοι λίαν.
χαίροις Θέων ἄριστε, πάνσοφον κάρα,
ὁ νῦν πυκάζων τὴν Ἀλεξάνδρου πόλιν·
χαίροις δὲ καὶ σὺ Πρόκλε, τοῦ Σαρπηδόνος
ἄριστον αἷμα τοῖς ὅλοις βοώμενον.

## IV.

Εἰς τὴν βίβλον Λευκίππης.

Ἔρωτα πικρὸν, ἀλλὰ σωφρόνων βίον
ὁ Κλειτοφῶντος μὲν παρεμφαίνει λόγος·
ὁ Λευκίππης δὲ σωφρονέστατος βίος
ἅπαντας ἐξίστησι, πῶς τετυμμένη,
κεκαρμένη τε, καὶ κατηχρειωμένη,
τὸ δὴ μέγιστον, τρὶς θανοῦσ' ἐκαρτέρει.

IV. 1. Cod. σώφρονα. Fort. ἀλλὰ βιοτὴν σώφρονα. 2. Cod. ὁ
Κλ. ὥσπερ ἐμφαίνει.

εἴπερ δὲ καὶ σὺ σωφρονεῖν θέλεις, φίλε, T. III.
μὴ τὴν πάρεργον τῆς γραφῆς σκόπει θέαν·
τὴν τȣ͂ λόγȣ δὲ πρῶτα συνδρομὴν μάθε.
νυμφοστολεῖ γὰρ τȣ̀ς ποθȣ͂ντας ἐμφρόνως.

## V.

Τῇ τῶν λόγων σȣ κογχύλῃ, Πορφύριε,
βάπτεις τὰ χείλη, καὶ στολίζεις τὰς φρένας.

## VI.

Εἰς παρθένον φθαρεῖσαν Ομηρȣκεντρα.

Μῆτερ ἐμὴ δύσμητερ, ἀπηνέα θυμὸν ἔχȣσα,
λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς ȣ̃τασεν ἀνὴρ
νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδȣσι βροτοὶ ἄλλοι,
γυμνὸς ἄτερ κόρυθός τε καὶ ἀσπίδος, ȣ̓δ' ἔχεν ἔγχος.
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· αὐτὰρ ἔπειτα p. 130.
ȣ̓ρὸν τε προέηκεν ἀπήμονά τε λιαρόν τε.

## VII.

Εἰς τȣ̀ς Ρωμαίων μῆνας.

Μὴν Ὑπάτων ὁ πρῶτος. ὁ δεύτερος αὔλακα τέμνει.
ὁ τρίτος Αὐσονίων γενεὴν ἐπὶ μῶλον ἐγείρει.
τέτρατος ἀγγέλλει ῥοδοδάκτυλος εἴαρος ὥρην.
εἰμὶ ῥόδων γενέτης. καὶ ἐγὼ κρίνα λευκὰ κομίζω.
ȣ̃τος ἀμαλλοδέτης. τὰ δ' ἐμὰ πτερὰ Νεῖλον ἐγείρει.
ȣ̃τος ἐριστaφύλῳ πεφιλημένος ἔπλετο Βάκχῳ.
τεύχω δ' οἶνον ἐγὼ μελιηδέα, χάρμα βροτοῖσι.
δαῖτα φέρω χαρίεσσαν ἐς ȣ̃νομα φωτὸς ἑκάστȣ.
φορμίζειν δεδάηκα καὶ ὑπνώοντας ἐγείρειν.

IV. 10, Cod. v. δὲ τȣ́ς.

T. III. VIII.

Ὧν ἥδε βίβλος ἔνδον ὠδίνει, φίλε,
βαθὺς χαρακτὴρ καὶ περισκελὴς ἄγαν.
δεῖται κολυμβητοῦ δὲ πάντως Δηλίου.
εἰ δ' ἂν κυβιστήσει τις εἰς ἐμοὺς μυχοὺς,
καὶ πᾶν μεταλλεύσειεν ἀκριβῶς βάθος,
γεωμετρῶν τὰ πρῶτα λήψεται γέρα,
σοφὸς δ' ἀναμφίλεκτος εἷς ῥηθήσεται.
τούτων δὲ μάρτυς ἐγγυητής τε Πλάτων.

IX.

Σχῆμα παλαιοτάτων ἀνδρῶν κηρύκιον ἄθρει,
Θρινακίης οἰκιστὰ Κορίνθιε, ὅς ποτ' ἔπινες
ἀμφιβόητα ῥέεθρα Συρηκοσίης Αρεθούσης.

p. 131. X.

Εἰς τὸ μονημέριον, ἤγουν θεατροκυνηγίαν, ἐν ᾗ προσμάχονται ἄνδρες θηρίοις.

Τοξότα, Πιερίδων μεδέων, ἑκατηβόλε Φοῖβε,
εἰπὲ κασιγνήτῃ κρατερὰς ἵνα θῆρας ἐγείρῃ,
ὅσσον ἐπιψαῦσαι μερόπων δέμας, ὅσσον ἀῦσαι
λαῶν τερπομένων ἱερὸν στόμα· μηδὲ νοήσαι,
Ζηνὸς μειλιχίοιο λαχὼν θρόνον, ἀνέρος οἶτον.

---

ΘΕΑΙΤΗΤΟΣ

VI.

Vide Tom. II. p. 229.

# ΕΙΣ ΤΙΝΑ ΕΝ ΒΥΖΑΝΤΙῼ T.III.p.132.

## ΑΝΑΘΗΜΑΤΑ ΕΠΙΓΡΑΜΜΑΤΑ ΑΔΕΣΠΟΤΑ.

### I.

Εἰς τὴν Εὐγενίου πύλην.

Οὗτος Ἰουλιανὸς λαοσσόα τείχεα πήξας,
　στῆσε τρόπαιον, ἑῆς σύμβολον ἀγρυπνίης,
σφάζειν ἀντιβίους ἐχθροὺς ἀπάνευθε μενοινῶν,
　ἢ προπάροιθε κροτεῖν τῆς πόλεως πολέμους.

### II.

Εἰς τὸν ἐν τῷ Ἱπποδρόμῳ τετράπλευρον κίονα.

Κίονα τετράπλευρον, ἀεὶ χθονὶ κείμενον ἄχθος,
　μοῦνος ἀναστῆσαι Θευδόσιος βασιλεὺς
τολμήσας, Πρόκλῳ ἐπεκέκλετο, καὶ τόσος ἔστη
　κίων ἠελίοις ἐν τριακονταδύο.

### III.

Εἰς τὴν ἁψῖδα ἐν τῇ Βασιλικῇ.

Τετραπόροις ἁψῖσι πύλην Θεόδωρος ἐγείρας,
ἄξιός ἐστι πόλιν καὶ τέτρατον ἡνιοχεῦσαι.

### IV. p. 133.

Εἰς τὸ ἕτερον μέρος τῆς αὐτῆς ἁψῖδος.

Ἔπρεπέ σοι, Θεόδωρε, Τύχης εὐκίονα νηὸν
　ἔργου κοσμῆσαι θαύμασι τοσσατίου,
δῶρά τε κυδήεντα πορεῖν χρυσάσπιδι Ῥώμῃ,
　ἥ σ' Ὕπατον τεῦξε, καὶ τρισέπαρχον ὁρᾷ.

T. III.

V.

Εἰς πύλην τὴν ἐπιλεγομένην Ξυλοκέρκου.

Θευδόσιος τόδε τεῖχος ἄναξ, καὶ Ἔπαρχος Ἐώας
Κωνσταντῖνος ἔτευξαν ἐν ἤμασιν ἑξήκοντα.

VI.

Εἰς τὴν πύλην τοῦ Ῥηγίου.

Ἤμασιν ἑξήκοντα φιλοσκήπτρῳ βασιλῆϊ
Κωνσταντῖνος Ἔπαρχος ἐδείματο τείχεϊ τεῖχος.

VII.

Εἰς τὸ Μουσεῖον.

Εὔνους μὲν βασιλεῖ Μουσήλιος· ἔργα βοῶσι
δημόσια· σθεναρὴν πράγματα πίστιν ἔχει.
Μουσεῖον Ῥώμῃ δ' ἐχαρίσσατο, καὶ βασιλῆος
εἰκόνα θεσπεσίην ἐντὸς ἔγραψε δόμων.

VIII.

Εἰς τὸ αὐτό.

Τιμὴν μουσοπόλοις, πόλεως χάριν, ἐλπίδα κούρων,
ὅπλα δὲ τῆς ἀρετῆς, χρήματα τοῖς ἀγαθοῖς.
p. 134. ταῦτα λόγοις ἀνέθηκεν ἑκὼν Μουσήλιος ἔργα,
πιστεύων καθαρῶς ὡς θεός ἐστι λόγος.

IX.

Εἰς τὸ αὐτό.

Μουσείου τὰ μὲν αὐτὸς ἐτεύξατο, πολλὰ δὲ σώσας
ἑστῶτα σφαλερῶς, ἤδρασεν ἀσφαλέως.

X.

Οὗτος ὁ κοσμήσας Ὑπάτων θρόνον, ὃν τρισέπαρχον
καὶ πατέρα βασιλῆες ἑὸν καλέσαντο μέγιστοι,

IX. 2. Cod. ἴδρυσεν.

χρύσεος ἕστηκεν Αὐρηλιανὸς, τὸ δὲ ἔργον T. III.
τῆς βουλῆς, ἧς αὐτὸς ἑκὼν κατέπαυσεν ἀνίας.

## XI.

Εἰς στήλην Θεοδοσίου βασιλέως.

Ἔκθορες ἀντολίηθε, φαεσφόρος ἥλιος ἄλλος,
Θευδόσιε, θνητοῖσι, πόλου μέσον, ἠπιόθυμε,
Ὠκεανὸν παρὰ ποσσὶν ἔχων καὶ ἀπείρονα γαῖαν,
πάντοθεν αἰγλήεις, κεκορυθμένος, ἀγλαὸν ἵππον
ῥηϊδίως μεγάθυμε καὶ ἐσσύμενον κατερύκων.

## XII.

Ζήνωνα πτολίαρχος Ἰουλιανὸς βασιλῆα·
Ζήνωνος παράκοιτιν Ἰουλιανὸς Ἀριάδνην.

## XIII.

Οἶκον ἄναξ Ἑλικῶνος ἀνηβήσαντα νοήσας
κυδαλίμοις καμάτοισιν Ἰουλιανοῦ πολιάρχου,
Πιερικῶν προπάροιθε δόμων παγχρύσεος ἔστη.

## XIV.

Κῦδος Ἰουλιανοῦ παναοίδιμον, ὃς μετὰ κόσμον p. 135.
Πιερίδων χρύσεον στῆσεν Ἀναστάσιον.

## XV.

Εἰς οἶκον τὸν ἐπιλεγόμενον Χαλκῆ ἐν τῷ Παλατίῳ.

Οἶκος Ἀναστασίοιο τυραννοφόνου βασιλῆος
μοῦνος ὑπερτέλλω πανυπείροχος ἄστεσι γαίης,
θαῦμα φέρων πάντεσσιν, ἐπεὶ κοσμήτορες ἔργων
ὕψος ὁμοῦ μῆκός τε καὶ ἄπλετον εὖρος ἰδόντες,
ἀσκεπὲς ἐφράσσαντο πελώριον ἔργον ἐᾶσαι.

XIV. 2. Vulgo χρυσείην — Ἀναστασίην.

T. III. ἀλλὰ πολυμήτιο λαχὼν πρεσβήϊα τέχνης
Αἰθέριος πολύϊδρις ἐμὴν τεχνήσατο μορφὴν,
ἀχράντῳ βασιλῆϊ φέρων πρωτάγρια μόχθων.
ἔνθεν ἀπειρέσιον μέγεθος περὶ παντὶ τιταίνων,
Αὐσονίης νίκησα βοώμενα θαύματα γαίης.
εἶξον ἀρειοτέραισι, χάρις Καπετωλίδος αὐλῆς,
εἰ καὶ χαλκείων ὀρόφων ἀμαρύγματα πέμπεις·
κρύψον ἀμετρήτων μεγάρων τεινόμενον αὐλαῖς,
Πέργαμε, φαιδρὸν ἄγαλμα τεὸν, Ρεφίνιον ἄλσος·
μηδὲ τανυπλεύροισιν ἀρηρότα, Κόζικε, πέτροις
Αδριανῦ βασιλῆος ἀμεμφέα νηὸν ἀείσῃς.
ὔ μοι Πυραμίδων ἰκέλη κρίσις, ὐδὲ Κολοσσῦ,
ὐδὲ Φάρυ· μεγάλην μῦνος δ' ὑπερέδραμον αἴγλην.
αὐτὸς ἐμὸς σκηπτῦχος Ισαυροφόνον μετὰ νίκην
χρυσοφαές μ' ἐτέλεσσεν ἐδέθλιον Ηριγενείης,
πάντη τετραπόρων ἀνέμων πεπετασμένον αὔραις.

p. 136.

## XVI.

Εἰς εἰκόνα Αναστασίυ βασιλέως ἐν τῷ εὐρίπῳ.

Εἰκόνα σοὶ, βασιλεῦ κοσμοφθόρε, τήνδε σιδήρυ
ἄνθεσαν, ὡς χαλκῦ πολλὸν ἀτιμοτέρην,
ἀντὶ φόνυ, πενίης τ' ὀλοῆς, λιμῦ τε, καὶ ὀργῆς,
εἷς πάντα φθείρεις ἐκ φιλοχρημοσύνης.

## XVII.

Εἰς τὴν αὐτήν.

Εγγύθι τῆς Σκύλλης χαλεπὴν στήσαντο Χάρυβδιν,
ἄγριον ὠμηστὴν τῦτον Αναστάσιον.
δείδιθι καὶ σὺ, Σκύλλα, τεαῖς φρεσὶ, μή σε καὶ αὐτὴν
βρώξῃ, χαλκείην δαίμονα κερματίσας.

## XVIII. T. III.

Πρόκλος ἐγὼ Παύλου, Βυζάντιος, ὃν περὶ δῶμα
τηλεθάοντα Δίκης βασιλήϊος ἥρπασεν αὐλή,
ὄφρ' εἴην στόμα πιστὸν ἐρισθενέος βασιλῆος.
ἀγγέλλει δ' ὅδε χαλκὸς ὅσον γέρας ἐστὶν ἀέθλων.
καὶ τὰ μὲν εἴκελα πάντα καὶ υἱέϊ καὶ γενετῆρι·
ἐν δ' Ὑπάτων ῥάβδοισι πάϊς νίκησε τοκῆα.

## XIX.

Εἰς στήλην Ἰουστινιανοῦ βασιλέως ἐν τῷ Αὐγουστιῶνι.

Ταῦτά σοι, ὦ βασιλεῦ Μηδοκτόνε, δῶρα κομίζει
σῆς Ῥώμης γενέτης καὶ πάϊς Εὐστάθιος,
πῶλον ὑπὲρ νίκης, Νίκην στεφανηφόρον ἄλλην,
καί σε μετηνεμίῳ πώλῳ ἐφεζόμενον.
ὕψου Ἰουστινιανὲ τεὸν κράτος, ἐν χθονὶ δ' αἰεὶ p. 137.
δεσμὸς ἔχοι Μήδων καὶ Σκυθέων προμάχους.

## XX.

Εἰς τὴν αὐτήν.

Πῶλον ὁμοῦ καὶ ἄνακτα καὶ ὀλλυμένην Βαβυλῶνα
χαλκὸς ἀπὸ σκύλων ἔπλασεν Ἀσσυρίων·
ἔστι δ' Ἰουστινιανός, ὃν ἀντολίης ζυγὸν ἕλκων
στῆσεν Ἰουλιανός, μάρτυρα Μηδοφόνον.

## XXI.

Ἐν τῇ εἰσόδῳ τοῦ Ἡραίου.

Τοῦτον Ἰουστινιανὸς ἀγακλέα δείματο χῶρον,
ὕδατι καὶ γαίῃ κάλλος ἐπικρεμάσας.

XIX. 5. Vulgo ὕψος.

T. III. XXII.

Φαιδρὸν Ἰουστινιανὸς ἄναξ ἐμὲ χῶρον ἐγείρει,
  Ἠελίῳ παρέχων θάμβος ἀνερχομένῳ.
οὔποτε γὰρ τοιοῦτον ἐπὶ χθονὸς ἔδρακε κάλλος
  ὑψόθεν οὐρανίην οἶμον ἐπερχόμενος.

XXIII.

Εἰς στήλην Ἰουστίνου βασιλέως ἐν τῷ λιμένι.

Τοῦτο παρ' αἰγιαλοῖσιν ἐγὼ Θεόδωρος Ἔπαρχος
στῆσα φαεινὸν ἄγαλμα Ἰουστίνῳ βασιλῆϊ,
ὄφρα καὶ ἐν λιμένεσσιν ἑὴν πετάσειε γαλήνην.

p. 138. XXIV.

Εἰς ἄλλην στήλην τοῦ αὐτοῦ.

Ἰουστῖνον κατὰ χρέος τὸν δεσπότην
Ἰουλιανὸς Ἔπαρχος, ὡς εὐεργέτην.

XXV.

Εἰς εἰκόνα τῆς Σοφίας Αὐγούστης ἐν τῇ εἰσόδῳ τοῦ Ζευξίππου.

Αὐσονίων δέσποιναν Ἰουλιανὸς πολιοῦχος,
  ὡς σοφίης μεστὴν, ἄνθετο τὴν Σοφίην.

XXVI.

Εἰς εἰκόνα τοῦ αὐτοῦ Ἰουστίνου.

Ἄλλον ὑπὲρ νίκας ἐναρηφόρον ἔνδοθι Σούσων
  ὁ θρασὺς ἀντήσει Μῆδος ἄνακτι τύπον·
ἄλλον ἀκειρεκόμας Ἀβάρων στρατὸς ἔκτοθεν Ἴστρου,
  κείρας ἐκ κεφαλῆς βόστρυχον αὐσταλέης·
τῷ δ' ὑπὲρ εὐνομίας ἐριθηλέος ἐνθάδε τοῦτον
  ἐξ Ὑπάτου μίτρης στῆσεν ἄνασσα πόλις.

XXVI. 6. Fort. εἰς ὑπάτου μ.

ἔμπεδος ἀλλὰ μένοις Βυζαντιὰς ἔμμορε Ῥώμα, T. III.

θεῖον Ἰουστίνου κάρτος ἀμειψαμένα.

## XXVII.

Εἰς τὴν βάσιν τοῦ ὡρολογίου τοῦ εἰς τὴν ἀψῖδα τὴν εἰς τὴν Βασιλικήν.

Δῶρον Ἰουστίνοιο τυραννοφόνου βασιλῆος
καὶ Σοφίης ἀλόχου, φέγγος ἐλευθερίης,
ὡράων σκοπίαζε σοφὸν σημάντορα χαλκὸν
αὐτῆς ἐκ μονάδος μέχρι δυωδεκάδος,
ὅντινα συληθέντα, Δίκης θρόνον ἡνιοχεύων p. 139.
εὗρεν Ἰουλιανὸς χερσὶν ἀδωροδόκοις.

## XXVIII.

Εἰς τὴν Βασιλικὴν τῶν παιδευτηρίων.

Χῶρος ἐγὼ θεσμοῖσιν ἀνειμένος· ἐνθάδε πηγὴ
ἄφθονος Αὐσονίων ἐκκέχυται νομίμων,
ἣ πᾶσιν τέταται μὲν ἀείναος, ἠϊθέοις δὲ
ἐνθάδ' ἀγειρομένοις πάντα δίδωσι ῥόον.

## XXIX.

Εἰς εἰκόνα Θεοδώρου ἄρχοντος.

Ῥητῆρες Θεόδωρον ἐμέλλομεν εἰς ἓν ἰόντες
χρυσείαις γραφίδεσσιν ἀειμνήστοισι γεραίρειν,
εἰ μὴ χρυσὸν ἔφευγε καὶ ἐν γραφίδεσσιν ἐόντα.

## XXX.

Νικήταν δορίτολμον ἄναξ, στρατὸς, ἄστεα, δῆμος
στῆσαν ὑπὲρ μεγάλων Μηδοφόνων καμάτων.

XXVI. 7. Vulgo ἄμμορε. In lemmate et v. 8. vulgo Ἰουστινιανοῦ legitur.

T. III.

XXXI.

Τὸν μέγαν ἐν πολέμοισι, τὸν ἄτρομον ἡγεμονῆα,
Νικήταν ἀρετῶν εἵνεκεν οἱ Πράσινοι.

XXXII.

Εἰς τὸν τρίκλινον τῆς Μαγναύρας.

Ὀτραλέως τολύπευσαν τόνδε δόμον βασιλῆες,
αἰχμὴν ὀλβοδότειραν ἀπὸ ϛαυροῖο λαχόντες,
αὐτὸς ἄναξ Ηρακλῆς σὺν Κωνϛαντίῳ υἱῖ.

XXXIII.

p. 140.

Εἰς ὡρολόγιον.

Κῆπος ἔην ὅδε χῶρος· ἀπὸ σκιερῶν δὲ πετήλων
νυκτοφανὴς τελέθων ἔσκεπεν ἠέλιον.
νῦν δὲ παναιγλήεντα καὶ εὔδιον εὗρε τελέσσαι
Σέργιος αὐτόπτης μυϛιπόλος τριάδος,
ἔνθα λίθος ϛατὸς ὦτος ἀειδίνητον ἀνάγκην
ἑπτάκις ἀγγέλλει ἄντυγος ὠρανίης.

XXXIV.

Εἰς τὸ αὐτό.

Μηχανικῇ Φαέθοντα βιάζεται ἁρμονικοῖσι
γνώμοσιν ἀγρεύειν τὸν δρόμον ἠελίου·
βαιὸς δ' ἀμφιέπει λίθος ἄντυγας Ηριγενείης,
ὡρονόμῳ σοφίῃ καὶ σκιόεντι τύπῳ.
Σεργίου ἀρχιερῆος ἐπουρανίῃσιν ἐφετμαῖς
τοῦτο συνειργάσθη ἔργον ἐπιχθονίων.

XXXV.

Τὸ τετράπλευρον θαῦμα τῶν μεταρσίων,
χρόνῳ φθαρὲν, νῦν Κωνϛαντῖνος δεσπότης,

ὁ Ῥωμανοῦ παῖς, δόξα τῆς σκηπτουχίας, T. III.
κρεῖττον νουργεῖ τῆς πάλαι θεωρίας.
ὁ γὰρ Κολοσσὸς θάμβος ἦν ἐν τῇ Ῥόδῳ,
καὶ χαλκὸς οὗτος θάμβος ἐστὶν ἐνθάδε.

# ΣΥΜΜΙΚΤΑ ΗΡΩΙΚΑ p. 141.

## ΑΔΕΣΠΟΤΑ.

### I.

Ὡς ἀπὸ τοῦ Ἔρωτος ἐρῶντες.

Τίς πυρὶ πῦρ ἐδάμασσε; τίς ἔσβεσε λαμπάδι πυρσόν;
τίς κατ' ἐμῆς νευρῆς ἑτέρην ἐτανύσσατο νευρήν;
καινὸς Ἔρως κατ' Ἔρωτος ἐμῷ μένει ἰσοφαρίζει.

### II.

Φιλομήλης ἐπιστολὴ πρὸς τὴν ἀδελφὴν Πρόκνην.

Σός με πόσις κακοεργὸς ἐνὶ σπήλυγγι βαθείῃ
μουνώσας βαρύποτμον, ἐμὴν ἀπέκερσε κορείην·
στυγνὰ δ' ἐμοὶ πόρεν ἕδνα πολυτλήτοιο γάμοιο.
γλῶσσαν ἐμὴν ἐθέρισσε, καὶ ἔσβεσεν ἀλλάδα φωνήν.

Ἄλλως.

Χαῖρε, Πρόκνη, παρὰ σεῖο κασιγνήτης Φιλομήλης,
χαίρειν εἰ τόδε γ' ἐστίν· ἐμοῦ δέ σοι ἄλγεα θυμοῦ
πέπλος ἀπαγγείλειε, τά μοι λυγρὸς ὤπασε Τηρεύς,
ὅς μ' ἔρξας βαρύποτμον ἐν ἕρκεσι μηλονομήων,
πρῶτον παρθενίης, μετέπειτα δ' ἐνόσφισε φωνῆς.

T. III. **III.**

*Ως ἀπὸ Πασιφάης ἐρώσης τοῦ ταύρου, καὶ μεμφομένης τῷ Ερωτι.*

Ει ποθέειν μ' ἐδίδαξας ἐν οὔρεσι ταῦρον ἀλήτην,
μυκηθμόν με δίδαξον, ὅπως φίλον ἄνδρα καλέσσω.

p. 142. **IV.**

*Ως ἀπὸ Ηρας, ἀποθεωθέντος Ηρακλέους.*

Σῆς ἀρετῆς ἱδρῶτι καλὴν ἀπέδωκεν ἀμοιβὴν
σὸς γενέτης, Ηρακλες, ἐπεὶ πόνος ἄσπετον εὖχος
ἀνδράσιν οἶδεν ἄγειν μετ' ἀπείρονα κύκλον ἀέθλων.

Αλλως.

Σοὶ χάριν ἐξετέλεσσε πόνος καὶ ἀθέσφατος ἱδρώς,
χῶρον ἔχειν πολύολβον, ὃν οὐ πάρος ἔλλαχεν ἀνήρ.

**V.**

*Ως ἀπὸ Θέτιδος ἰδούσης Τήλεφον ὑπ' ἀμπέλου σκελισθέντα.*

Αμπελε, τί πρήξωμεν, ὅταν Δαφναῖος Απόλλων
πτόρθον ἐμὸν κλίνῃ ἐν Αλεξάνδροιο βελέμνοις;

**VI.**

*Ως ἀπὸ Ελένης ὁρώσης τὴν μονομαχίαν Μενελάου καὶ Πάριδος.*

Ευρώπης Ασίης τε δορυσθενέες βασιλῆες,
ὑμῖν ἀμφοτέροισιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς,
τίς κεν ἐμὲ τλήθυμος ἕλοι δύστηνον ἀκοίτης·
Ζεὺς δὲ πατὴρ δικάσειεν, ἄνευθε δὲ Κυπρογενείης,
μὴ πάλιν ἄλλος ἕλῃ με γαμοκλόπος, αἶσχος Αχαιοῖς.

**VII.**

*Ως ἀπ' Αχιλλέως, ὅτε ἐτρώθη Αγαμέμνων.*

Εγνως νῦν, Αγάμεμνον, ἐμὸν φθισήνορα θυμόν·
ἔγνως ἐν σταδίῃσιν ὅσον σθένος Εκτορός ἐστι.
νῦν γὰρ πάντες ὄλοντα τεῇ πολυπήμονι λώβῃ·

σοὶ δ' αὐτῷ μέγα πῆμ' ἥκει, θανάτοιο χέρειον. T.III.p.143.
ἀφροσύνης κακὰ ἔργα, καὶ ἄσχετα πήματα πάσχεις,
ὃς πᾶσι Δαναοῖσιν ἀρήϊον ἕρκος ἐτύχθης.

## VIII.

Ως ἀπὸ Εκτορος πρὸς Πάτροκλον μὴ δυνηθέντα βαστάσαι τὸ Αχιλλέως δόρυ.

Εζημίωσας ἀσθενῶν τὸν Εκτορα·
φέρεις γὰρ ἡμῖν ἐλλιπῆ σκυλεύματα.

Απόκρισις τοῦ Πατρόκλου.

Ωνησα. θᾶττόν σ' εἷλε Πηλεῖον δόρυ.

Αλλη.

Αλλ' εἰ τὸ δοῦρας κεῖνο πάλλειν ἔσθενον,
οὐδ' ἂν τάδ' Εκτωρ ἔσχεν· ἀλλ' ἡμῖν δαμεὶς
πάντ' ἂν τά γ' αὐτοῦ σκῦλ' ἀφῆκ' ἀνελλιπῆ.

Αλλη. ΑΡΣΕΝΙΟΥ.

Αλλ' ἦν γ' ἐν παλάμῃσιν ἐμαῖς δόρυ χάνδαν' ἐκεῖνο,
Εκτορ, ἂν ἀντ' ἐμέθεν ἤλυθες εἰς Αΐδην.

## IX.

Ως ἀπ' Αγαμέμνονος ἰδόντες Αχιλλέα ὁπλισθέντα.

Ιλιος ὀφρυόεσσα κατήριπεν· ἄρτι δὲ πᾶσαν
ληϊδίην Δαναοῖσι θεὸς πόρεν, ὁππότ' Αχιλλεὺς
μῆνιν ἀποῤῥίψας φθισήνορα, χεῖρα κορύσσει.

## X. p. 144.

Εἰς τὸ αὐτὸ, ὡς ἀπὸ Ελένης.

Πηλείδην κοτέουσα πάλιν θώρηξεν Αθήνη
ἔντεσιν ἀθανάτοισι. τί ῥίγιον ἔσσεται ἄλγος
αἰνομόροις Τρώεσσι, καὶ Εκτορι, καὶ γενετῆρι,
ὁππόταν ἔντεα ταῦτα θεὸς πόρεν ἀνέρι τῷδε.

T. III.

## XI.

Ὡς ἀπὸ Ἕκτορος τιτρωσκομένȣ ὑπὸ Ἑλλήνων.

Βάλλετε νῦν μετὰ πότμον ἐμὸν δέμας, ὅττι καὶ αὐτοὶ
νεκρȣ͂ σῶμα λέοντος ἐφυβρίζȣσι λαγωοί.

## XII.

Ὡς ἀπὸ Πύῤῥȣ ἐπιβάντος τῆς Τροίας.

Μόχθος ἐμȣ͂ γενετῆρος ἀμύμονος ȣ̓ τέλος εὗρεν·
αὐτὰρ ἐγὼ Τρώεσσι φόνον πάντεσσι κορύσσων
ἤλυθον. ἠνορέῃ γὰρ ὑπέρτερον εὖχος ἀείρω,
καὶ Πρίαμον βασιλῆα, καὶ ὃς προλέλοιπεν Ἀχιλλεὺς,
πάντας ὁμȣ͂ κατὰ μῶλον ἐμὸν μένος οἶδεν ὀλέσσαι,
καὶ Τροίης πτολίεθρον ἀρήϊον ἐξαλαπάξω,
καὶ Δαναοῖς δεκέτηρον ἐμὸν δόρυ μόχθον ἀνύσσει.

## XIII.

Ὡς ἀπὸ Δηϊδαμείας, τȣ͂ Πύῤῥȣ πορθήσαντος τὴν Τροίαν.

Πᾶσαν ἐμῆς κραδίης χαλεπὴν ἀπέπαυσας ἀνίην,
ὑμετέρȣ γενετῆρος Ἀχιλλέος εἵνεκα πότμȣ,
ὃν Τροίη τονόεσσα κατέκτανεν. ἀλλὰ σὺ πᾶσαν
Ἴλιον ἐξαλάπαξας· ἐελδομένοισι δ' Ἀχαιοῖς
p. 145. ἄφθιτον ὤπασας εὖχος, ὃ μὴ δεκέτηρος ἐνυȣ͂ς
πᾶσιν μαρναμένοις Δαναοῖς χρόνος εὗρεν ἀνύσσαι.

## XIV.

Ὡς ἀπ' Εἰλειθυίης Ἰδέσης τὴν Ἑλένην ἐν Φάρῳ.

Οἰκτείρω σὸν κάλλος, ἐπεὶ Διός ἐσσι γενέθλη.
εἰσορόω γὰρ ἄγαλμα διοτρεφές· ἀτρεκέως δὲ
Τρωσί τε καὶ Δαναοῖσι μάχη δεκέτηρος ἐτύχθη.
τȣ͂ Διὸς αἰγιόχοιο, τεȣ͂ γενετῆρος, ἀρωγαί;

ἔμπης

ἔμπης δ' ἔρχεο θᾶσσον, ἀπήμονα νόστον ἑλοῦσα, T. III.
Εἰδοθέης ἰότητι, κακῆς ἐπὶ νῶτα θαλάσσης.

XV.

Ως ἀπ' Αγαμέμνονος ἀναιρουμένου ὑπὸ Κλυταιμνήστρας.

Ελλάδος ἐνναστῆρες, ἀμεμφέες ἡγεμονῆες,
μηκέτι πιστὰ φέροιτε γυναιξὶ δολοφρονεούσαις.
θηλυτέρη μ' ἐδάμασσε, τὸν οὐ κτάνε δήϊος Εκτωρ.

XVI.

Ως ἀπὸ Κλυταιμνήστρας, μέλλοντος αὐτὴν σφάζειν Ορέστου.

Πῆ ξίφος ἰθύνεις; κατὰ γαστέρος, ἢ κατὰ μαζῶν;
γαστέρος, ἥ σ' ἐλόχευσεν; ἀνεθρέψαντο δὲ μαζοί.

XVII.

Ως ἀπ' Αχιλλέως ἰδόντος Οδυσσέα ἐν Αιδου.

Ατρεκέως πάντων πολυμήχανός ἐστιν Οδυσσεύς.
ζωὸς ἐὼν ἐνόησεν ἃ μὴ θέμις ἐστὶν ἰδέσθαι,
νερτέριον κευθμῶνα, καὶ ἄλγεα πικρὰ θανόντων.
πῶς δ' ἔτλη προλιπεῖν ἱερὸν φάος; ἢ τίς ἀνάγκη p. 146.
ἤγαγεν οὐκ ἐθέλοντα; δόλων ἀκόρητος ἐτύχθη
ἐν χθονὶ καὶ πελάγεσσι καὶ ἐν νεκύεσσιν Οδυσσεύς.

XVIII.

Ως ἀπ' Οδυσσέως ἐπιβάντος τῆς Ιθάκης.

Χαῖρ' Ιθάκη. μετ' ἄεθλα, μετ' ἄλγεα πικρὰ θαλάσσης
ἀσπασίως τεὸν οὖδας ἱκάνομαι, ὄφρα νοήσω
Λαέρτην, ἄλοχόν τε, καὶ ἀγλαὸν υἱέα μοῦνον.
σὸς γὰρ ἔρως κατέθελξεν ἐμὸν νόον. οἶδα καὶ αὐτὸς
ΩΣ ΟΥΔΕΝ ΓΛΥΚΙΟΝ ΗΣ ΠΑΤΡΙΔΟΣ ΟΥΔΕ ΤΟΚΗΩΝ.

T. III.

## XIX.

Περὶ τῆς Ὁμήρου ποιήσεως, ὡς ἀπὸ τοῦ Ἀπόλλωνος.

Ἤειδον μὲν ἐγών· ἐχάρασσε δὲ θεῖος Ὅμηρος.

## XX.

Εἰς τὸν Πύθιον δράκοντα.

Εἷρπε δράκων, καὶ ἔπινεν ὕδωρ· σβέννυντο δὲ πηγαὶ,
καὶ ποταμὸς κεκόνιστο, καὶ ἦν ἔτι διψαλέος θήρ.

## XXI.

Ἱμερόεις Ἀλφειὲ, Διὸς στεφανηφόρον ὕδωρ,
ὃς διὰ Πισαίων πεδίων κεκονιμένος ἕρπεις,
ἡσύχιος τοπρῶτον, ἐπὴν δ' ἐς πόντον ἵκηαι,
ὀξὺς ἀμετρήτοιο πεσὼν ὑπὸ κῦμα θαλάσσης,
νυμφίος αὐτοκέλευθος, ἐὼν ὀχετηγὸς ἐρώτων,
ἐς Σικελὴν Ἀρέθουσαν ἐπείγεαι ὑγρὸς ἀκοίτης.
ἡ δέ σε κεκμηῶτα καὶ ἀσθμαίνοντα λαβοῦσα,
p. 147. φῦκος ἀποσμήξασα καὶ ἄνθεα πικρὰ θαλάσσης,
χείλεα μὲν στομάτεσσι συνήρμοσεν· οἷα δὲ νύμφη
νυμφίον ἀμφιχυθεῖσα περίπλοκον ἡδέϊ δεσμῷ
κείμενον ἐν κόλποισιν Ὀλύμπιον εὔνασεν ὕδωρ.

— — — — — —

καὶ φονίῃ ῥαθάμιγγι λιβὰς κατεκίρνατο πηγή.
οὐδὲ Συρακοσίης ἔτι σοι μέλεν ἵμερος εὐνῆς·
πορφυρέῃ δ' ἀνέκοπτες ὕδωρ πεπιεσμένον αἰδοῖ,
φειδόμενος καὶ πόντον ὁμοῦ καὶ λέκτρα μιῆναι.
πολλάκι δ' εὐναίων ὀάρων βεβιημένος ὁρμῇ,
αὐτὴν ἐς φιλότητα χυτῆς ἀλόχοιο περήσας,
ἐστήκεις ἄχραντον ὁρῶν Ἀρεθούσιον ὕδωρ·

XXI. 15. Vulgo μιγῆναι.

ἡ δέ σε παπταίνουσα Πελωριάδος κατὰ πέτρης T. III.
δάκρυσι κυμαίνοντα, κατοικτείρουσα καὶ αὐτὴ
εὐειδὴς Ἀρέθουσα, φίλους ἀνεκόπτετο μαζούς,
καὶ δρόσος οἷα ῥόδοισιν ἐτήκετο· μυρομένῳ δὲ
Πισαίῳ ποταμῷ Σικελὴ προσεμύρετο πηγή.

— — — — — —

οὐδὲ Δίκην ἔλαθε πολυδερκέα φοίνιος ἀνὴρ
Ἑλλάδος ἀμώων ἄγαμον στάχυν, ᾧ ἔπι πολλαὶ
ἡρώων ἄλοχοι, μινυώρια τέκνα τεκοῦσαι,
μαψιδίως ὠδῖνας ἀνεκλαύσαντο γυναῖκες.

## XXII.

Τῆς Πυθίας παρ' Ἡροδότῳ.

Γλαῦκ' Ἐπικυδείδη, τὸ μὲν αὐτίκα, κέρδιον οὕτω
ὅρκῳ νικῆσαι, καὶ χρήματα ληΐσασθαι·
ὄμνυ', ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα.
ἀλλ' Ὅρκου πάϊς ἐστὶν ἀνώνυμος, οὐδ' ἔπι χεῖρες,
οὐδὲ πόδες· κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν
συμμάρψας ὀλέσῃ γενεὴν, καὶ οἶκον ἅπαντα· p. 148.
ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

## XXIII.

Εἰς Καμάριναν ἐν Σικελίᾳ παροιμιῶδες.

Μὴ κίνει Καμάριναν, ἀκίνητος γὰρ ἀμείνων,
μή ποτε κινήσας, τὴν μείονα μείζονα θείης.

## XXIV.

Ἄρτεμις ἱδρώουσα προάγγελος ἐστι κυδοιμοῦ.

## XXV.

Παροιμία, ἐπὶ τῶν ψευδῆ δόξαν ἐχόντων.

Πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι.

T. III.

## XXVI.

Παροιμία.

Πολλὰ μεταξὺ πέλει κύλικος, καὶ χείλεος ἄκρου.

## XXVII.

Αλιέων ἀπόκρισις γριφώδης πρὸς Ομήρου ἐρώτησιν.

α Ανδρες ἀπ' Αρκαδίης ἁλιήτορες, ἦ ῥ' ἔχετ' ἰχθῦς;
β ἅσσ' ἕλομεν λιπόμεσθα· ἃ δ' οὐχ ἕλομεν φερόμεσθα.

## XXVIII.

Εἰς Λέανδρον καὶ Ηρὼ τὴν Σηστιάδα. Ομηρόκεντρον.

Ακτῇ ἐπὶ προεχούσῃ, ἐπὶ πλατεῖ Ελλησπόντῳ,
παρθένος αἰδοίη ὑπερώϊον εἰσαναβᾶσα
p. 149. πύργῳ ἐφεστήκει γοόωσά τε μυρομένη τε,
χρύσεον λύχνον ἔχουσα, φάος περικαλλὲς ἐποίει,
κεῖνον ὀϊομένη τὸν κάμμορον, εἴ ποθεν ἔλθοι
νηχόμενος, καὶ λαῖτμα τάχισθ' ἁλὸς ἐκπεραάσκοι
νύκτα δι' ἀμβροσίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι·
ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο.
ὅσσαι γὰρ νύκτες τε καὶ ἡμέραι ἐκγεγάασι,
παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοισιν,
εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας,
οἳ Σηστὸν καὶ Αβυδον ἔχον καὶ δῖαν Αρίσβην.

## XXIX.

Ως ἀπὸ τοῦ πρώτως ἀκούσαντες ἠχοῦς. Ομηρόκεντρον.

Ω φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Αρηος,
ψεύσομαι, ἦ ἔτυμον ἐρέω; κέλεται δ' ἐμὲ θυμός.
ἀγροῦ ἐπ' ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκει,
ναίει ἐϋπλόκαμος δεινὴ θεὸς αὐδήεσσα,
ἢ θεὸς, ἠὲ γυνή· τοὶ δ' ἐφθέγγοντο καλεῦντες.

εἰ δὲ φθεγξαμένϐ τευ ἢ αὐδήσαντος ἀκϐσοι, T. III.
αὖτις ἀριζήλως εἰρημένα μυθολογεύει.
ἀλλὰ τίη τοι ταῦτα διεξερέεσθαι ἕκαςα;
τὴν δ' ϐτ' ἀθρῆσαι δύναμ' ἀντίον, ϐτε νοῆσαι.
ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακϐσαις.

## XXX.

### Αποφθέγματα τῶν ἑπτὰ Σοφῶν.

Επτὰ Σοφῶν ἐρέω κατ' ἔπος πόλιν, ϐνομα, φωνήν.
ΜΕΤΡΟΝ μὲν ΚΛΕΟΒΟΥΛΟΣ ὁ Λίνδιος εἶπεν ΑΡΙΣΤΟΝ.
ΧΙΛΩΝ δ' ἐν κοίλῃ Λακεδαίμονι, ΓΝΩΘΙ ΣΕΑΥΤΟΝ.
ὃς δὲ Κόρινθον ἔναιε, ΧΟΛΟΥ ΚΡΑΤΕΕΙΝ, ΠΕΡΙΑΝΔΡΟΣ. ρ] 150.
ΠΙΤΤΑΚΟΣ, ΟΥΔΕΝ ΑΓΑΝ, ὃς ἔην γένος ἐκ Μιτυλήνης.
ΤΕΡΜΑ δ' ΟΡΑΝ ΒΙΟΤΟΙΟ, ΣΟΛΩΝ ἱεραῖς ἐν Αθήναις.
ΤΟΥΣ ΠΛΕΟΝΑΣ ΚΑΚΙΟΥΣ δὲ ΒΙΑΣ ἀπέφηνε Πριηνεύς.
ΕΓΓΥΗΝ ΦΕΥΓΕΙΝ δὲ ΘΑΛΗΣ Μιλήσιος ηὔδα.

## XXXI.

### Εἰς κιναίδας.

Ανέρας ἠρνήσαντο, καὶ ϐκ ἐγένοντο γυναῖκες.
ϐτ' ἄνδρες γεγάασιν, ἐπεὶ πάθον ἔργα γυναικῶν·
ϐτε γυναῖκες ἔασιν, ἐπεὶ φύσιν ἔλλαχον ἀνδρῶν.
ἀνέρες εἰσὶ γυναιξὶ, καὶ ἀνδράσιν εἰσὶ γυναῖκες.

## XXXII.

Θαρσαλέοι Κελτοὶ ποταμῷ ζηλήμονι Ρήνῳ
τέκνα ταλαντεύϐσι, καὶ ϐ πάρος εἰσὶ τοκῆες,
πρὶν παῖν ἀθρήσωσι λελϐμένον ὕδατι σεμνῷ.
αἶψα γὰρ ἡνίκα μητρὸς ὀλισθήσας διὰ κόλπων
νηπίαχος πρῶτον προχέει δάκρυ, τὸν μὲν ἀείρας

T. III. αὐτὸς ἐπ' ἀσπίδι θῆκεν ἑὸν παῖν, οὐδ' ἀλεγίζει·
οὔπω γὰρ γενέταο φέρει νόον, πρίν γ' ἐσαθρήσῃ
κεκριμένον λουτροῖσιν ἐλεγξιγάμου ποταμοῖο.
ἡ δὲ μετ' εἰλήθυιαν ἐπ' ἄλγεσιν ἄλγος ἔχουσα
μήτηρ, εἰ καὶ παιδὸς ἀληθέα οἶδε τοκῆα,
ἐκδέχεται τρομέουσα τί μήσεται ἄστατον ὕδωρ.

p. 151. ΕΠΙΓΡΑΜΜΑΤΑ ΑΔΕΣΠΟΤΑ.

I.

Νέοις ἀνάπτων καρδίας σοφὴν ζέσιν,
ἀρχὴν Ἔρωτα τῶν λόγων ποιήσομαι·
πυρσὸν γὰρ οὗτος ἐξανάπτει τοῖς λόγοις.

II.

Φεύγετε τοξοφόρον τοῦτον τὸν Ἔρωτα· τιτρώσκει,
καὶ τούτου περάει σώματα πάντα βέλη.

III.

Οὔ μοι θῆλυς ἔρως ἐγκάρδιος, ἀλλ' ἐμὲ πυρσοὶ
ἄρσενες ἀσβέστῳ θῆκαν ἐπ' ἀνθρακίῃ.
πλειότερον τόδε θάλπος. ὅσον δυνατώτερος ἄρσην
θηλυτέρης, τόσσον χὠ πόθος ὀξύτερος.

IV.

Αἰετὸς ὁ Ζεὺς ἦλθεν ἐπ' ἀντίθεον Γανυμήδην·
κύκνος ἐπὶ ξανθὴν μητέρα τὴν Ἑλένης.

III. 2. Cod. ἄρσενος et ὑπ' — 4. τόσσῳ. Cod.

οὕτως ἀμφότερ' ἐστὶν ἀσύγκριτα. τῶν δύο δ' αὐτῶν T. III.
ἄλλοις ἄλλο δοκεῖ κρεῖσσον· ἐμοὶ τὰ δύο.

## V.

Ζεῦ, προτέρῳ τέρπου Γανυμήδεϊ· τὸν δ' ἐμὸν, ὦ 'ναξ
Δέξανδρον δέρκευ τηλόθεν, οὐ φθονέω.
εἰ δὲ βίῃ τὸν καλὸν ἀποίσεαι, οὐκέτ' ἀνεκτῶς
δεσπόζεις· ἀπίτω καὶ τὸ βιοῦν ἐπὶ σοῦ.

## VI. p. 152.

Τὸν καλὸν οὐχ ὁρόω Διονύσιον. ἆρά γ' ἀναρθεὶς,
Ζεῦ πάτερ, ἀθανάτοις δεύτερος οἰνοχοεῖ;
αἰετὲ, τὸν χαρίεντα, ποτὶ πτερὰ πυκνὰ τινάξας,
πῶς ἔφερες; μή πού κνίσματ' ὄνυξιν ἔχῃ.

## VII.

Κρίνατ' Ἔρωτες, ὁ παῖς τίνος ἄξιος. εἰ μὲν ἀληθῶς
ἀθανάτων, ἐχέτω· Ζανὶ γὰρ οὐ μάχομαι.
εἰ δ' ἔτι καὶ θνατοῖς ὑπολείπεται, εἴπατ' Ἔρωτες,
Δωρόθεος τίνος ἦν, καὶ τίνι νῦν δέδοται.
ἐν φανερῷ φωνεῦσιν· ἐμὴ χάρις. ἀλλ' ἀποχωρεῖ.
μίμνε. τί; πρὸς τὸ καλὸν καὶ σὺ μάταιε φέρῃ;

## VIII.

Τλῆμον Ἔρως, οὐ θῆλυν ἐμοὶ πόθον, ἀλλά τιν' αἰεὶ
δινεύεις στεροπὴν καύματος ἀρσενικοῦ.

V. 3. Cod. βίῃ τ. κ. ἀποίσεται.
VI. 2. ἀθανάτοις a Cod. abest.
VII. 5. Cod. ἀποχώρει μή μ' ἴνι.
VIII. 2. Cod. δινεύει et κύματος.

T. III. III.

Ως ἀπὸ Πασιφάης ἐρώσης τοῦ ταύρου, καὶ μεμφομένης τῷ Ερωτι.

Εἰ ποθέειν μ' ἐδίδαξας ἐν οὔρεσι ταῦρον ἀλήτην,
μυκηθμόν με δίδαξον, ὅπως φίλον ἄνδρα καλέσσω.

p. 142. IV.

Ως ἀπὸ Ηρας, ἀποθεωθέντος Ηρακλέους.

Σῆς ἀρετῆς ἱδρῶτι καλὴν ἀπέδωκεν ἀμοιβὴν
σὸς γενέτης, Ηρακλες, ἐπεὶ πόνος ἄσπετον εὖχος
ἀνδράσιν οἶδεν ἄγειν μετ' ἀπείρονα κύκλον ἀέθλων.

Αλλως.

Σοὶ χάριν ἐξετέλεσσε πόνος καὶ ἀθέσφατος ἱδρὼς,
χῶρον ἔχειν πολύολβον, ὃν οὐ πάρος ἔλλαχεν ἀνήρ.

V.

Ως ἀπὸ Θέτιδος ἰδούσης Τήλεφον ὑπ' ἀμπέλου σκελισθέντα.

Αμπελε, τί πρήξωμεν, ὅταν Δαφναῖος Απόλλων
πτόρθον ἐμὸν κλίνῃ ἐν Αλεξάνδροιο βελέμνοις;

VI.

Ως ἀπὸ Ελένης δρώσης τὴν μονομαχίαν. Μενελάου καὶ Πάριδος.

Εὐρώπης Ασίης τε δορυσθενέες βασιλῆες,
ὑμῖν ἀμφοτέροισιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς,
τίς κεν ἐμὲ τλήθυμος ἕλοι δύστηνον ἀκοίτης·
Ζεὺς δὲ πατὴρ δικάσειεν, ἄνευθε δὲ Κυπρογενείης,
μὴ πάλιν ἄλλος ἕλῃ με γαμοκλόπος, αἶσχος Αχαιοῖς.

VII.

Ως ἀπ' Αχιλλέως, ὅτε ἐτρώθη Αγαμέμνων.

Εγνως νῦν, Αγάμεμνον, ἐμὸν φθισήνορα θυμόν·
ἔγνως ἐν σταδίῃσιν ὅσον σθένος Εκτορός ἐστι.
νῦν γὰρ πάντες ὄλονται τεῇ πολυπήμονι λώβῃ·

σοὶ δ' αὐτῷ μέγα πῆμ' ἥκει, θανάτοιο χέρειον. T.III.p.143.
ἀφροσύνης κακὰ ἔργα, καὶ ἄσχετα πήματα πάσχεις,
ὃς πᾶσι Δαναοῖσιν ἀρήϊον ἕρκος ἐτύχθης.

## VIII.

Ὡς ἀπὸ Ἕκτορος πρὸς Πάτροκλον μὴ δυνηθέντα βαστάσαι
τὸ Ἀχιλλέως δόρυ.

Ἐζημίωσας ἀσθενῶν τὸν Ἕκτορα·
φέρεις γὰρ ἡμῖν ἐλλιπῆ σκυλεύματα.

Ἀπόκρισις τοῦ Πατρόκλου.

Ὤνησα. θᾶττόν σ' εἷλε Πηλεῖον δόρυ.

Ἄλλη.

Ἀλλ' εἰ τὸ δοῦρας κεῖνο πάλλειν ἔσθενον,
οὐδ' ἂν τάδ' Ἕκτωρ ἔσχεν· ἀλλ' ἡμῖν δαμεὶς
πάντ' ἂν τά γ' αὐτοῦ σκῦλ' ἀφῆκ' ἀνελλιπῆ.

Ἄλλη. ΑΡΣΕΝΙΟΥ.

Ἀλλ' ἦν γ' ἐν παλάμῃσιν ἐμαῖς δόρυ χάνδαν' ἐκεῖνο
Ἕκτορ, ὃν ἀντ' ἐμέθεν ἤλυθες εἰς Ἀΐδην.

## IX.

Ὡς ἀπ' Ἀγαμέμνονος ἰδόντες Ἀχιλλέα ὁπλισθέντα,

Ἴλιος ὀφρυόεσσα κατήριπεν· ἄρτι δὲ πᾶσαν
ληϊδίην Δαναοῖσι θεὸς πόρεν, ὁππότ' Ἀχιλλεὺς
μῆνιν ἀποῤῥίψας φθισήνορα, χεῖρα κορύσσει.

## X. p.144.

Εἰς τὸ αὐτὸ, ὡς ἀπὸ Ἑλένης.

Πηλείδην κοτέουσα πάλιν θώρηξεν Ἀθήνη
ἔντεσιν ἀθανάτοισι. τί ῥίγιον ἔσσεται ἄλγος
αἰνομόροις Τρώεσσι, καὶ Ἕκτορι, καὶ γενετῆρι,
ὁππόταν ἔντεα ταῦτα θεὸς πόρεν ἀνέρι τῷδε.

T. III.

## XI.

Ως ἀπὸ Εκτορος τιτρωσκομένυ ὑπὸ Ελλήνων.

Βάλλετε νῦν μετὰ πότμον ἐμὸν δέμας, ὄττι καὶ αὐτοὶ
νεκρῦ σῶμα λέοντος ἐφυβρίζυσι λαγωοί.

## XII.

Ως ἀπὸ Πύῤῥυ ἐπιβάντος τῆς Τροίας.

Μόχθος ἐμῦ γενετῆρος ἀμύμονος ἐ τέλος εὗρεν·
αὐτὰρ ἐγὼ Τρώεσσι φόνον πάντεσσι κορύσσων
ἤλυθον. ἠνορέῃ γὰρ ὑπέρτερον εὖχος ἀείρω,
καὶ Πρίαμον βασιλῆα, καὶ ὃς προλέλοιπεν Αχιλλεὺς,
πάντας ὁμῦ κατὰ μῶλον ἐμὸν μένος οἶδεν ὀλέσσαι,
καὶ Τροίης πτολίεθρον ἀρήϊον ἐξαλαπάξω,
καὶ Δαναοῖς δεκέτηρον ἐμὸν δόρυ μόχθον ἀνύσσει.

## XIII.

Ως ἀπὸ Δηϊδαμείας, τῦ Πύῤῥυ πορθήσαντος τὴν Τροίαν.

Πᾶσαν ἐμῆς κραδίης χαλεπὴν ἀπέπαυσας ἀνίην,
ὑμετέρυ γενετῆρος Αχιλλέος εἵνεκα πότμυ,
ὃν Τροίη τονόεσσα κατέκτανεν. ἀλλὰ σὺ πᾶσαν
Ιλιον ἐξαλάπαξας· ἑελδομένοισι δ' Αχαιοῖς
p. 145. ἄφθιτον ὤπασας εὖχος, ὃ μὴ δεκέτηρος ἐνυῦς
πᾶσιν μαρναμένοις Δαναοῖς χρόνος εὗρεν ἀνύσσαι.

## XIV.

Ως ἀπ' Εἰδοθέης ἰδύσης τὴν Ελένην ἐν Φάρῳ.

Οἰκτείρω σὸν κάλλος, ἐπεὶ Διός ἐσσι γενέθλη.
εἰσορόω γὰρ ἄγαλμα διοτρεφές· ἀτρεκέως δὲ
Τρωσί τε καὶ Δαναοῖσι μάχη δεκέτηρος ἐτύχθη.
πῦ Διὸς αἰγιόχοιο, τεῦ γενετῆρος, ἀρωγαί;

ἥμπης

ἔμπης δ' ἔρχεο θᾶσσον, ἀπήμονα νόστον ἐλῦσα, T. III.
Εἰδοθέης ἰότητι, κακῆς ἐπὶ νῶτα θαλάσσης.

## XV.

Ως ἀπ' Αγαμέμνονος ἀναιρουμένου ὑπὸ Κλυταιμνήστρας.

Ελλάδος ἐνναστῆρες, ἀμεμφέες ἡγεμονῆες,
μηκέτι πιστὰ φέροιτε γυναιξὶ δολοφρονεούσαις.
θηλυτέρη μ' ἐδάμασσε, τὸν οὐ κτάνε δήϊος Εκτωρ.

## XVI.

Ως ἀπὸ Κλυταιμνήστρας, μέλλοντος αὐτὴν σφάζειν Ορέστου.

Πῆ ξίφος ἰθύνεις; κατὰ γαστέρος, ἦ κατὰ μαζῶν;
γαστέρος, ἥ σ' ἐλόχευσεν; ἀνεθρέψαντο δὲ μαζοί.

## XVII.

Ως ἀπ' Αχιλλέως ἰδόντες Οδυσσέα ἐν Αιδῃ.

Ατρεκέως πάντων πολυμήχανός ἐστιν Οδυσσεύς.
ζωὸς ἐὼν ἐνόησεν ἃ μὴ θέμις ἐστὶν ἰδέσθαι,
νερτέριον κευθμῶνα, καὶ ἄλγεα πικρὰ θανόντων.
πῶς δ' ἔτλη προλιπεῖν ἱερὸν φάος; ἦ τίς ἀνάγκη p. 146.
ἤγαγεν οὐκ ἐθέλοντα; δόλων ἀκόρητος ἐτύχθη
ἐν χθονὶ καὶ πελάγεσσι καὶ ἐν νεκύεσσιν Οδυσσεύς.

## XVIII.

Ως ἀπ' Οδυσσέως ἐπιβάντος τῆς Ιθάκης.

Χαῖρ' Ιθάκη. μετ' ἄεθλα, μετ' ἄλγεα πικρὰ θαλάσσης
ἀσπασίως τεὸν οὖδας ἱκάνομαι, ὄφρα νοήσω
Λαέρτην, ἄλοχόν τε, καὶ ἀγλαὸν υἱέα μοῦνον.
σὸς γὰρ ἔρως κατέθελξεν ἐμὸν νόον. οἶδα καὶ αὐτὸς
ΩΣ ΟΥΔΕΝ ΓΛΥΚΙΟΝ ΗΣ ΠΑΤΡΙΔΟΣ ΟΥΔΕ ΤΟΚΗΩΝ.

T. III.

## XIX.

Περὶ τῆς Ὁμήρου ποιήσεως, ὡς ἀπὸ τοῦ Ἀπόλλωνος.

Ἤειδον μὲν ἐγών· ἐχάρασσε δὲ θεῖος Ὅμηρος.

## XX.

Εἰς τὸν Πύθιον δράκοντα.

Εἷρπε δράκων, καὶ ἔπινεν ὕδωρ· σβέννυντο δὲ πηγαὶ,
καὶ ποταμὸς κεκόνιστο, καὶ ἦν ἔτι διψαλέος θήρ.

## XXI.

Ἱμερόεις Ἀλφειὲ, Διὸς στεφανηφόρον ὕδωρ,
ὃς διὰ Πισαίων πεδίων κεκονιμένος ἕρπεις,
ἡσύχιος τοπρῶτον, ἐπὴν δ' ἐς πόντον ἵκηαι,
ὀξὺς ἀμετρήτοιο πεσὼν ὑπὸ κῦμα θαλάσσης,
νυμφίος αὐτοκέλευθος, ἑῶν ὀχετηγὸς ἐρώτων,
ἐς Σικελὴν Ἀρέθουσαν ἐπείγεαι ὑγρὸς ἀκοίτης.
ἡ δέ σε κεκμηῶτα καὶ ἀσθμαίνοντα λαβοῦσα,
p. 147. φῦκος ἀποσμήξασα καὶ ἄνθεα πικρὰ θαλάσσης,
χείλεα μὲν στομάτεσσι συνήρμοσεν· οἷα δὲ νύμφη
νυμφίον ἀμφιχυθεῖσα περίπλοκον ἡδέϊ δεσμῷ
κείμενον ἐν κόλποισιν Ὀλύμπιον εὔνασεν ὕδωρ.

— — — — — —

καὶ φονίῃ ῥαθάμιγγι λιβὰς κατεχίρνατο πηγή.
οὐδὲ Συρακοσίης ἔτι σοι μέλεν ἵμερος εὐνῆς·
πορφυρέῃ δ' ἀνέκοπτες ὕδωρ πεπιεσμένον αἰδοῖ,
φειδόμενος καὶ πόντον ὁμοῦ καὶ λέκτρα μιῆναι.
πολλάκι δ' εὐναίων ὀάρων βεβιημένος ὁρμῇ,
αὐτὴν ἐς φιλότητα χυτῆς ἀλόχοιο περήσας,
ἐστήκεις ἄχραντον ὁρῶν Ἀρεθούσιον ὕδωρ·

XXI. 15. Vulgo μιγῆναι.

ἡ δέ σε παπταίνουσα Πελωριάδος κατὰ πέτρης T. III.
δάκρυσι κυμαίνοντα, κατοικτείρουσα καὶ αὐτὴ
εὐειδὴς Ἀρέθουσα, φίλους ἀνεκόπτετο μαζοὺς,
καὶ δρόσος οἷα ῥόδοισιν ἐτήκετο· μυρομένῳ δὲ
Πισαίῳ ποταμῷ Σικελὴ προσεμύρετο πηγή.

— — — — — —

οὐδὲ Δίκην ἔλαθε πολυδερκέα φοίνιος ἀνὴρ
Ἑλλάδος ἀμώων ἄγαμον στάχυν, ᾧ ἔπι πολλαὶ
ἡρώων ἄλοχοι, μινυώρια τέκνα τεκοῦσαι,
μαψιδίως ὠδῖνας ἀνεκλαύσαντο γυναῖκες.

XXII.

Τῆς Πυθίας παρ' Ἡροδότῳ.

Γλαῦκ' Ἐπικυδείδη, τὸ μὲν αὐτίκα, κέρδιον οὕτω
ὅρκῳ νικῆσαι, καὶ χρήματα ληΐσασθαι·
ὄμνυ', ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα.
ἀλλ' Ὅρκου πάϊς ἐστὶν ἀνώνυμος, οὐδ' ἔπι χεῖρες,
οὐδὲ πόδες· κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν
συμμάρψας ὀλέσῃ γενεὴν, καὶ οἶκον ἅπαντα· p. 148.
ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

XXIII.

Εἰς Καμάριναν ἐν Σικελίᾳ παροιμιῶδες.

Μὴ κίνει Καμάριναν, ἀκίνητος γὰρ ἀμείνων,
μή ποτε κινήσας, τὴν μείονα μείζονα θείης.

XXIV.

Ἄρτεμις ἱδρώουσα προάγγελός ἐστι κυδοιμοῦ.

XXV.

Παροιμία, ἐπὶ τῶν ψευδῆ δόξαν ἐχόντων.

Πολλοὶ μὲν ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι.

T. III.

## XXVI.

Παροιμία.

Πολλὰ μεταξὺ πέλει κύλικος, καὶ χείλεος ἄκρυ.

## XXVII.

Αλιέων ἀπόκρισις γριφώδης πρὸς Ομήρυ ἐρώτησιν.

Ανδρες ἀπ' Αρκαδίης ἁλιήτορες, ἦ ῥ' ἔχετ' ἰχθῦς;
ἅσσ' ἕλομεν λιπόμεσθα· ἃ δ' ὐχ ἕλομεν φερόμεσθα.

## XXVIII.

Εἰς Λέανδρον καὶ Ηρὼ τὴν Σηςιάδα. Ομηρόκεντρον.

Ακτῇ ἐπὶ προεχύσῃ, ἐπὶ πλατεῖ Ελλησπόντῳ,
παρθένος αἰδοίη ὑπερώϊον εἰσαναβᾶσα
p. 149. πύργῳ ἐφεισήκει γοόωσά τε μυρομένη τε,
χρύσειον λύχνον ἔχυσα, φάος περικαλλὲς ἐποίει,
κεῖνον ὀϊομένη τὸν κάμμορον, εἴ ποθεν ἔλθοι
νηχόμενος, καὶ λαῖτμα τάχισθ' ἁλὸς ἐκπεράσκοι
νύκτα δι' ἀμβροσίην, ὅτε θ' εὕδυσι βροτοὶ ἄλλοι·
ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο.
ὅσσαι γὰρ νύκτες τε καὶ ἡμέραι ἐκγεγάασι,
παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοισιν,
εἰς εὐνὴν φοιτῶντε, φίλυς λήθοντε τοκῆας,
οἳ Σηςὸν καὶ Αβύδον ἔχον καὶ δῖαν Αρίσβην.

## XXIX.

Ως ἀπὸ τῦ πρώτως ἀκύσαντες ἠχῦς. Ομηρόκεντρον.

Ω φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Αρηος,
ψεύσομαι, ἦ ἔτυμον ἐρέω; κέλεται δ' ἐμὲ θυμός.
ἀγρῦ ἐπ' ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκει,
ναίει ἐϋπλόκαμος δεινὴ θεὸς αὐδήεσσα;
ἤ θεὸς, ἠὲ γυνή· τοὶ δ' ἐφθέγγοντο καλεῦντες.

εἰ δὲ φθεγξαμένυ τευ ἢ αὐδήσαντος ἀκύσοι, T. III.
αὖτις ἀριζήλως εἰρημένα μυθολογεύει.
ἀλλὰ τίη τοι ταῦτα διεξερέεσθαι ἕκαστα;
τὴν δ᾽ ὔτ᾽ ἀθρῆσαι δύναμ᾽ ἀντίον, ὔτε νοῆσαι.
ὁπποῖόν κ᾽ εἴπῃσθα ἔπος, τοῖόν κ᾽ ἐπακύσαις.

## XXX.

### Αποφθέγματα τῶν ἑπτὰ Σοφῶν.

Ἑπτὰ Σοφῶν ἐρέω κατ᾽ ἔπος πόλιν, ὔνομα, φωνήν.
ΜΕΤΡΟΝ μὲν ΚΛΕΟΒΟΥΛΟΣ ὁ Λίνδιος εἶπεν ΑΡΙΣΤΟΝ.
ΧΙΛΩΝ δ᾽ ἐν κοίλῃ Λακεδαίμονι, ΓΝΩΘΙ ΣΕΑΥΤΟΝ.
ὃς δὲ Κόρινθον ἔναιε, ΧΟΛΟΥ ΚΡΑΤΕΕΙΝ, ΠΕΡΙΑΝΔΡΟΣ. p. 150.
ΠΙΤΤΑΚΟΣ, ΟΥΔΕΝ ΑΓΑΝ, ὃς ἔην γένος ἐκ Μιτυλήνης.
ΤΕΡΜΑ δ᾽ ΟΡΑΙΝ ΒΙΟΤΟΙΟ, ΣΟΛΩΝ ἱεραῖς ἐν Ἀθήναις.
ΤΟΥΣ ΠΛΕΟΝΑΣ ΚΑΚΙΟΥΣ δὲ ΒΙΑΣ ἀπέφηνε Πριηνεύς.
ΕΓΓΥΗΝ ΦΕΥΓΕΙΝ δὲ ΘΑΛΗΣ Μιλήσιος ηὔδα.

## XXXI.

### Εἰς κιναίδυς.

Ἀνέρας ἠρνήσαντο, καὶ ὐκ ἐγένοντο γυναῖκες.
ὔτ᾽ ἄνδρες γεγάασιν, ἐπεὶ πάθον ἔργα γυναικῶν·
ὔτε γυναῖκες ἔασιν, ἐπεὶ φύσιν ἔλλαχον ἀνδρῶν.
ἀνέρες εἰσὶ γυναιξὶ, καὶ ἀνδράσιν εἰσὶ γυναῖκες.

## XXXII.

Θαρσαλέοι Κελτοὶ ποταμῷ ζηλήμονι Ῥήνῳ
τέκνα ταλαντεύυσι, καὶ ὐ πάρος εἰσὶ τοκῆες,
πρὶν πάϊν ἀθρήσωσι λελυμένον ὕδατι σεμνῷ.
αἶψα γὰρ ἡνίκα μητρὸς ὀλισθήσας διὰ κόλπων
νηπίαχος πρῶτον προχέει δάκρυ, τὸν μὲν ἀείρας

T. III. αὐτὸς ἐπ' ἀσπίδι θῆκεν ἑὸν παῖν, οὐδ' ἀλεγίζει·
οὔπω γὰρ γενέταο φέρει νόον, πρίν γ' ἐσαθρήσῃ
κεκριμένον λουτροῖσιν ἐλεγξιγάμου ποταμοῖο.
ἡ δὲ μετ' εἰλήθυιαν ἐπ' ἄλγεσιν ἄλγος ἔχουσα
μήτηρ, εἰ καὶ παιδὸς ἀληθέα οἶδε τοκῆα,
ἐκδέχεται τρομέουσα τί μήσεται ἄστατον ὕδωρ.

## p. 151. ΕΠΙΓΡΑΜΜΑΤΑ ΑΔΕΣΠΟΤΑ.

### I.

Νέοις ἀνάπτων καρδίας σοφὴν ζέσιν,
ἀρχὴν Ερωτα τῶν λόγων ποιήσομαι·
πυρσὸν γὰρ οὗτος ἐξανάπτει τοῖς λόγοις.

### II.

Φεύγετε τοξοφόρον τοῦτον τὸν Ἔρωτα· τιτρώσκει,
καὶ τούτου περάει σώματα πάντα βέλη.

### III.

Οὔ μοι θῆλυς ἔρως ἐγκάρδιος, ἀλλ' ἐμὲ πυρσοὶ
ἄρσενες ἀσβέστῳ θῆκαν ἐπ' ἀνθρακίῃ.
πλειότερον τόδε θάλπος. ὅσον δυνατώτερος ἄρσην
θηλυτέρης, τόσσον χὠ πόθος ὀξύτερος.

### IV.

Αἰετὸς ὁ Ζεὺς ἦλθεν ἐπ' ἀντίθεον Γανυμήδην·
κύκνος ἐπὶ ξανθὴν μητέρα τὴν Ἑλένης.

III. 2. Cod. ἄρσενος et ὑπ' — 4. τόσσῳ. Cod.

οὕτως ἀμφότερ' ἐστὶν ἀσύγκριτα. τῶν δύο δ' αὐτῶν T. III.
ἄλλοις ἄλλο δοκεῖ κρεῖσσον· ἐμοὶ τὰ δύο.

V.

Ζεῦ, προτέρῳ τέρπου Γανυμήδεϊ· τὸν δ' ἐμὸν, ὦ 'ναξ
Δέξανδρον δέρκευ τηλόθεν, οὐ φθονέω.
εἰ δὲ βίῃ τὸν καλὸν ἀποίσεαι, οὐκέτ' ἀνεκτῶς
δεσπόζεις· ἀπίτω καὶ τὸ βιοῦν ἐπὶ σοῦ.

VI.

Τὸν καλὸν οὐχ ὁρόω Διονύσιον. ἆρά γ' ἀναρθεὶς, p. 152.
Ζεῦ πάτερ, ἀθανάτοις δεύτερος οἰνοχοεῖ;
αἰετὲ, τὸν χαρίεντα, ποτὶ πτερὰ πυκνὰ τινάξας,
πῶς ἔφερες; μή πού κνίσματ' ὄνυξιν ἔχῃ.

VII.

Κρίνατ' Ἔρωτες, ὁ παῖς τίνος ἄξιος. εἰ μὲν ἀληθῶς
ἀθανάτων, ἐχέτω· Ζανὶ γὰρ οὐ μάχομαι.
εἰ δ' ἔτι καὶ θνατοῖς ὑπολείπεται, εἴπατ' Ἔρωτες,
Δωρόθεος τίνος ἦν, καὶ τίνι νῦν δέδοται.
ἐν φανερῷ φωνεῦσιν· ἐμὴ χάρις. ἀλλ' ἀποχωρεῖ.
μίμνε. τί; πρὸς τὸ καλὸν καὶ σὺ μάταιε φέρῃ;

VIII.

Τλῆμον Ἔρως, οὐ θῆλυν ἐμοὶ πόθον, ἀλλά τιν' αἰεὶ
δινεύεις στεροπὴν καύματος ἀρσενικοῦ.

V. 3. Cod. βίη τ. κ. ἀποίσεται.
VI. 2. ἀθανάτοις à Cod. abeſt.
VII. 5. Cod. ἀποχώρει μή μ' ἴτι.
VIII. 2. Cod. δινεύεις et κύματος.

T. III. ἄλλοτε γὰρ Δήμωνι πυρούμενος, ἄλλοτε λεύσσων
Ισμηνὸν, δολιχοὺς αἰὲν ἔχω καμάτους.
οὐδὲ μόνοις ἐπὶ τοῖσδε δεδόρκαμεν· ἀλλ' ἐπὶ πάντων
κάλλεϊ πουλυμανὴ κανθὸν ἐφελκόμεθα.

IX.

Ηγρεύθην ὑπ' Ερωτος, ὁ μηδ' ὄναρ οὐδὲ μαθών περ
ἄρσενα ποιμαίνειν θεσμὸν ὑπὸ κραδίας.
ἠγρεύθην. ἀλλ' οὔ με κακῶν πόθος, ἀλλ' ἀκέραιον
σύντροφον αἰσχύνῃ βλέμμα κατηνθράκισε.
τηκέσθω Μουσέων ὁ πολὺς πόνος. ἐν πυρὶ γὰρ νοῦς
βέβληται, γλυκερῆς ἄχθος ἔχων ὀδύνης.

p. 153. X.

Δισσοί με τρύχουσι καταιγίζοντες ἔρωτες,
Εὔμαχε, καὶ δισσαῖς ἐνδέδεμαι μανίαις.
ἢ μὲν ἐπ' Ασάνδρου κλίνω δέμας, ἢ δὲ πάλιν μοι
ὀφθαλμὸς νεύει Τηλέφου ὀξύτερος.
τμήξατ', ἐμοὶ τοῦθ' ἡδὺ, καὶ ἐς πλάστιγγα δικαίην
νειμάμενοι, κλήρῳ τἀμὰ φέρεσθε μέλη.

XI.

Οὐκ ἔτ' ἐρῶ. πεπάλαικα πόθοις τρισίν. εἷς μὲν ἑταίρης,
εἷς δ' ἐμὲ παρθενικῆς, εἷς δέ μ' ἔκαυσε νέου.
καὶ κατὰ πᾶν ἤλγηκα. γεγύμνασμαι μὲν, ἑταίρης
πείθων τὰς ἐχθρὰς οὐδὲν ἔχοντι θύρας.
ἔστρωμαι δὲ κόρης ἐπὶ παστάδος αἰὲν ἄυπνος,
ἓν, τὸ ποθεινότατον, παιδὶ φίλημα διδούς.

VIII. 5. Idem Cod. οὐ μούνοις δ' ἐπί. 6. Cod. δάκρυσι πολ.
XI. 6. Cod. ἕν τι ποθ.

οἴ μοι, πῶς εἴπω πῦρ τὸ τρίτον; ἐκ γὰρ ἐκείνȣ T. III.
βλέμματα καὶ κενεὰς ἐλπίδας οἶδα μόνον.

XII.

Οὑμὸς ἔρως παρ' ἐμοὶ μενέτω μόνον· ἢν δὲ πρὸς ἄλλȣς
φοιτήσῃ, μισῶ κοινὸν ἔρωτα, Κύπρι.

XIII.

Τὸν καλὸν, ὦ Χάριτες, Διονύσιον, εἰ μὲν ἕλοιτο
τἀμὰ, καὶ εἰς ὥρας αὖτις ἄγοιτε καλόν·
εἰ δ' ἕτερον στέρξειε, παρεὶς ἐμὲ, μύρτον ἕωλον
ἐῤῥίφθω ξηροῖς φυρόμενον σκυβάλοις.

XIV. p. 154.

Εἶπά τε, καὶ πάλιν εἶπα· ΚΑΛΟΣ, ΚΑΛΟΣ. ἀλλ' ἔτι φήσω,
ὡς καλὸς, ὡς χαρίεις ὄμμασι Δωσίθεος.
ȣ̓ δρυὸς, ȣ̓δ' ἐλάτης ἐχαράξαμεν, ȣ̓δ' ἐπὶ τοίχȣ
τȣ̃τ' ἔπος· ἀλλ' ἐν ἐμῇ ἴσχετ' ἔρως κραδίᾳ.
εἰ δέ τις ȣ̓ φήσει, μὴ πείθεο. ναὶ μά σε, δαῖμον,
ψεύδετ'· ἐγὼ δ' ὁ λέγων, τἀτρεκὲς οἶδα μόνος.

XV.

Πτανὸς Ἔρως, σὺ δὲ ποσσὶ ταχύς· τὸ δὲ κάλλος ὁμοῖον.
ἀμφοτέρων τόξοις, Εὔβιε, λειπόμεθα.

XVI.

Εὐφαμεῖτε νέοι. τὸν Ἔρωτ' ἀλεῖ Ἀρκεσίλαος,
πορφυρέῃ δήσας Κύπριδος ἀρπεδόνῃ.

XIII. 4. Cod. φυόμενον.
XIV. 6. Cod. ἀτρεκές. In optimo Muſae Strat. apogr. ἐγὼ δὲ ὁ λ. In ap. Buher. ἐγὼ δὲ λέγων.
XVI. 1. Cod. τὸν ἔρωτα λέγει.

T. III. XVII.

Αντίπατρός μ' ἐφίλησ' ἤδη λήγοντος ἔρωτος,
καὶ πάλιν ἐκ ψυχρῆς πῦρ ἀνέκαυσε τέφρης.
δὶς δὲ μιῆς ἄκων ἔτυχον φλογός. ὦ δυσέρωτες
φεύγετε, μὴ πρήσω τοὺς πέλας ἁψάμενος.

XVIII.

Θαρσαλέως τρηχεῖαν ὑπὸ σπλάγχνοισιν ἀνίην
οἴσω, καὶ χαλεπῆς δεσμὸν ἀλυκτοπέδης.
οὐ γάρ πω, Νίκανδρε, βολὰς ἐδάημεν Ερωτος
νῦν μόνον, ἀλλὰ πόθων πολλάκις ἡψάμεθα.
καὶ σὺ μὲν, Αδρήστεια, κακῆς ἀντάξια βουλῆς
τίσαι, καὶ μακάρων πικροτάτη Νέμεσις.

p. 155. XIX.

Εσβέσθη Νίκανδρος, ἀπέπτατο πᾶν ἀπὸ χροιῆς
ἄνθος, καὶ χαρίτων λοιπὸν ἔτ' οὐδ' ὄνομα,
ὃν πρὶν ἐν ἀθανάτοις ἐνομίζομεν. ἀλλὰ φρονεῖτε
μηδὲν ὑπὲρ θνητοὺς, ὦ νέοι· ΕΙΣΙ ΤΡΙΧΕΣ.

XX.

Μὴ 'κδύσῃς, ἄνθρωπε, τὸ χλαίνιον, ἀλλὰ θεώρει
οὕτως ἀκρολίθου κἀμὲ τρόπον ξοάνου.
γυμνὴν δ' Αντιφίλου ζητῶν χάριν, ὡς ἐπ' ἀκάνθαις
εὑρήσεις ῥοδέαν φυομένην κάλυκα.

XXI.

Οὐ δύναμαί σε θέλων θέσθαι φίλον. οὔτε γὰρ αἰτεῖς,
οὔτ' αἰτοῦντι δίδως, οὔθ' ἃ δίδωμι δέχῃ.

XVIII. 3. Cod. βιάς.

XXII. T. III.

Ἄθρει μοι διὰ πάντα. ὅλαν κατέτηκ᾽ Ἀρίβαζος
τὰν Κνίδον. ἁ πέτρα θρυπτομένα θέρεται.

XXIII.

Ματέρες αἱ Περσῶν, καλὰ μὲν καλὰ τέκνα τέκεσθε,
ἀλλ᾽ Ἀρίβαζος ἐμοὶ κάλλιον ἢ τὸ καλόν.

XXIV.

Κωμάσομαι· μεθύω γὰρ ὅλος μέγα. παῖ, λάβε τοῦτον
τὸν στέφανον, τὸν ἐμοῖς δάκρυσι λουόμενον.
μακρὴν δ᾽ οὐχὶ μάτην ὁδὸν ἵξομαι . . . ἔστι δ᾽ ἀωρὶ
καὶ σκότος . . . ἀλλὰ μέγας φανὸς ἐμοὶ Θεμίσων.

XXV. p. 156.

Ἄκρητον μανίην ἔπιον. μεθύων μέγα μύθοις
ὥπλισμαι πολλὴν εἰς ὁδὸν ἀφροσύναν.
κωμάσομαι. τί δ᾽ ἐμοὶ βροντέων μέλει, ἢ τί κεραυνῶν;
ἢν βάλλῃ, τὸν ἔρωθ᾽ ὅπλον ἄτρωτον ἔχω.

XXVI.

Πυγμῇ νικήσαντα τὸν Ἀντικλέους Μενέχαρμον
λημνίσκοις μαλακοῖς ἐστεφάνωσα δέκα,
καὶ τρισσῶς ἐφίλησα πεφυρμένον αἵματι πολλῷ·
ἀλλ᾽ ἐμοὶ ἦν σμύρνης κεῖνο μελιχρότερον.

XXVII.

Ἑρμῆς τοξευθεὶς οὐκ ἔσπασε πικρὸν ἔφηβον·
κἠγὼ τὴν αὐτὴν, ξεῖνε, λέλογχα τύχην.

XXIV. 1. Cod. ὅλως.
XXVII. 1. Cod. Ἑρμῆ τ. ἐξέσπασε π. ἐφήβου.

T. III. ἀλλ' ἐμ' Ἀπολλοφάνους τρύχει πόθος. ὦ φιλάεθλε
ἔφθασας· εἰς ἓν πῦρ οἱ δύ' ἐνηλάμεθα.

XXVIII.

Τίς, ῥόδον ὁ στέφανος Διονυσίου, ἢ ῥόδον αὐτὸς
τῷ στεφάνου; δοκέω, λείπεται ὁ στέφανος.

XXIX.

Εἴ τινά που παίδων ἐρατώτατον ἄνθος ἔχοντα
εἶδες, ἀδιστάκτως εἶδες Ἀπολλόδοτον.
εἰ δ' ἐσιδὼν, ὦ ξεῖνε, πυριφλέκτοισι πόθοισιν
οὐκ ἐδάμης, πάντως ἢ θεὸς, ἢ λίθος εἶ.

p. 157. XXX.

Μάγνης Ἡράκλειτος, ἐμὸς πόθος, οὐχὶ σίδηρον
πέτρῳ, πνεῦμα δ' ἐμὸν κάλλει ἐφελκόμενος.

XXXI.

Εἰαρινῷ χειμῶνι πανείκελος, ὦ Διόδωρε,
οὑμὸς ἔρως, ἀσαφεῖ κρινόμενος πελάγει.
καὶ ποτὲ μὲν φαίνεις πολὺν ὑετὸν· ἄλλοτε δ' αὖτε
εὔδιος ἁβρὰ γελῶν ὄμμασιν ἐκκέχυσαι.
τυφλὰ δ', ὅπως ναυηγὸς ἐν οἴδματι, κύματα μετρῶν
δινεῦμαι, μεγάλῳ κύματι πλαζόμενος.
ἀλλά μοι ἢ φιλίης ἔκθες σκοπὸν, ἢ πάλι μίσους,
ὡς εἰδῶ ποτέρῳ κύματι νηχόμεθα.

XXXII.

Παιδείῳ, Θρασύβουλε, σαγηνευθεὶς ὑπ' ἔρωτι
ἀσθμαίνεις, δελφὶς ὥς τις ἐπ' αἰγιαλοῦ

κύματος ἱμείρων· δρέπανον δέ σοι οὐδὲ τὸ Περσέως T. III.
ἀρκεῖ ἀποτμῆξαι δίκτυον, ᾧ δέδεσαι.

XXXIII.

Ὄρνιθες ψίθυροι, τί κεκράγατε; μή μ' ἀνιᾶτε,
τὸν τρυφερῇ παιδὸς σαρκὶ χλιαινόμενον,
ἑζόμεναι πετάλοισιν ἀηδόνες. εἰ δὲ λάληθρον
θῆλυ γένος, δέομαι, μείνατ' ἐφ' ἡσυχίης.

XXXIV.

Παύετε, παιδοφίλαι, κενεὸν πόνον· ἴσχετε μόχθων,
δύσφρονες. ἀπρήκτοις ἐλπίσι μαινόμεθα.
ἶσον ἐπὶ ψαφαρὴν ἀντλεῖν ἅλα, κἀπὸ Λιβύσσης p. 158.
ψάμμου ἀριθμητὴν ἀρτιάσαι ψεκάδα,
ἶσον καὶ παίδων στέργειν πόθον, οἷς τὸ κεναυχὲς
κάλλος ἐνὶ χθονίοις ἡδὺ καὶ ἀθανάτοις.
δέρκεσθ' εἰς ἐμὲ πάντες. ὁ γὰρ πάρος εἰς κενὸν ἡμῶν
μόχθος ἐπὶ ξηροῖς ἐκκέχυτ' αἰγιαλοῖς.

XXXV.

„Μή μ' εἴπῃς πάλιν ὧδε, „τί δ' αἴτιος; „αὐτὸς ἔπεμψε.
„δεύτερον οὖν φήσεις· Δεύτερον εἶπεν, ΙΘΙ.
ἀλλ' ἔρχευ, μὴ μέλλε. μένουσί σε πρῶτον ἐκεῖνοι,
ΗΞΩ, Χ' ΕΥΡΗΣΩ· τὸ τρίτον οἶδα πάλαι.

XXXVI.

Οὔτι μάταν θνατοῖσι φάτις τοιάδε βοᾶται,
ὡς ΟΥ ΠΑΝΤΑ ΘΕΟΙ ΠΑΣΙΝ ΕΔΩΚΑΝ ΕΧΕΙΝ.
εἶδος μὲν γὰρ ἄμωμον, ἐπ' ὄμμασι δ' ἁ περίσαμος
αἰδὼς, καὶ στέρνοις ἀμφιτέθαλε χάρις,

T. III. οἴσι καὶ ἠΐθεοις ἐπιδάμνασαι· ἀλλ' ἐπὶ ποσσὶν
    ὐκ ἔτι τὰν αὐτὰν δῶκαν ἔχειν σε χάριν.
πλὴν κρηπὶς κρύψει ποδὸς ἴχνιον, ὦ 'γαθὲ Πύῤῥε,
    κάλλεϊ δὲ σφετέρῳ τέρψει ἀγαλλόμενον.

XXXVII.

Οἶδα φιλεῖν φιλέοντας· ἐπίσταμαι, ἤν μ' ἀδικῇ τις,
    μισεῖν. ἀμφοτέρων εἰμὶ γὰρ ὐκ ἀδαής.

XXXVIII.

Τῆς ὥρας ἀπόλαυε. παρακμάζει ταχὺ πάντα.
    ἓν θέρος ἐξ ἐρίφυ τρηχὺν ἔθηκε τράγον.

p. 159. XXXIX.

Τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον· ἢν δὲ παρέλθῃ,
    ζητῶν εὑρήσεις ὐ ῥόδον, ἀλλὰ βάτον.

XL.

*α* Χαίρω τὸν λακόπυγον ὁρῶν θεὸν εἰς τὸ φάλανθον
    βρέγμ' ὑπὸ τᾶν αἰγᾶν, αἰπόλε, τυπτόμενον.
*β* αἰπόλε, τῦτον ἐγὼ τρὶς ἐπύγισα· τοὶ δὲ τραγίσκοι
    εἰς ἐμὲ δερκόμενοι τὰς χιμάρας ἐβάτευν.
*α* ὕντως Ερμαφρόδιτον ἐπύγισας; ὐ μὰ τὸν Ερμᾶν,
    αἰπόλε. *β* ναὶ τὸν Πᾶν', αἰπόλε, κἄπεγέλων.

XLI.

Υἱὸς Πατρικίυ μάλα κόσμιος, ὃς διὰ Κύπριν
    ὐχ ὁσίην ἑτάρυς πάντας ἀποστρέφεται.

XXXVI. 8. Cod. κ. δέ σ' ἑτέρῳ τ. ἀγαλλόμενος.

### XLII. T. III.

Ἠδείμεν, Πολέμων, ΑΝΤΩΝΙΟΝ ὄντα σε πάντες.
ἐξαπίνης τρία σοι γράμματα πῶς ἔλιπε;

### XLIII.

Κύπρι, τί μοι τρισσοὺς ἐφ' ἕνα σκοπὸν ἤλασας ἰούς,
ἐν δὲ μιῇ ψυχῇ τρισσὰ πέπηγε βέλη;
καὶ τῇ μὲν φλέγομαι, τῇ δ' ἕλκομαι· ᾗ δ' ἀπονεύσω
διστάζω. λάβρῳ δ' ἐν πυρὶ πᾶς φλέγομαι.

### XLIV.

Εἰς οἷόν με πόθων λιμένα ξένον, ὦ Κύπρι, θεῖσα
οὐκ ἐλεεῖς, καὐτὴ πεῖραν ἔχουσα πόνων;
ἦ μ' ἐθέλεις ἄτλητα παθεῖν καὶ τοῦτ' ἔπος εἰπεῖν;
Τὸν σοφὸν ἐν Μούσαις Κύπρις ἔτρωσε μόνον.

### XLV. p. 160.

Οὗτος ὁ τὸν δαλὸν φυσῶν, ἵνα λύχνον ἀνάψῃς,
δεῦρ' ἀπ' ἐμᾶς ψυχᾶς ἅψον· ὅλος φλέγομαι.

### XLVI.

Αὐτὸ τὸ πῦρ καύσειν διζήμενος οὗτος, ὁ νύκτωρ
τὸν καλὸν ἱμείρων λύχνον ἀναφλογίσαι,
δεῦρ' ἀπ' ἐμῆς ψυχῆς ἅψον σέλας. ἔνδοθι γάρ με
καιόμενον πολλὴν ἐξανίησι φλόγα.

### XLVII.

Καὶ πυρὶ καὶ νιφετῷ με, καί, εἰ βούλοιο, κεραυνῷ
βάλλε, καὶ ἐς κρημνοὺς ἕλκε καὶ ἐς πελάγη.
τὸν γὰρ ἀπαυδήσαντα πόνοις, καὶ Ερωτι δαμέντα
οὐδὲ Διὸς τρύχει πῦρ ἐπιβαλλόμενον.

T. III. XLVIII.

Καὶ πενίη καὶ ἔρως δύο μοι κακά. καὶ τὸ μὲν οἴσω
κούφως· πῦρ δὲ φέρειν Κύπριδος οὐ δύναμαι.

XLIX.

Κλαγγῆς πέμπεται ἦχος ἐπ' οὔατα, καὶ θόρυβος δὲ
ἄσπετος ἐν τριόδοις. οὐ λαλέεις Παφίη;
ἐνθάδε γὰρ σέο κοῦρον ὁδοιπορέοντα κατέσχον
ὅσσοι ἐνὶ κραδίῃ πυρσὸν ἔχουσι πόθου.

L.

Αἱ Χάριτες τρεῖς εἰσί· σὺ δὲ μία ταῖς τρισὶ ταύταις
γεννήθης, ἵν' ἔχωσ' αἱ Χάριτες χάριτα.

p. 161. LI.

Τέσσαρες αἱ Χάριτες, Παφίαι δύο, καὶ δέκα Μοῦσαι·
Δερκυλὶς ἐν πάσαις Μοῦσα, Χάρις, Παφίη.

LII.

Εἴ μοι τις μέμψοιτο, δαεὶς ὅτι λάτρις Ερωτος
φοιτῶ, θηρευτὴν ὄμμασιν ἰξὸν ἔχων,
εἰδείη καὶ Ζῆνα, καὶ Αΐδα, τόν τε θαλάσσης
σκηπτοῦχον, μαλερῶν δοῦλον ἐόντα πόθων.
εἰ δὲ θεοὶ τοιοίδε, θεοῖς δ' ἐνέπουσιν ἕπεσθαι
ἀνθρώπους, τί θεῶν ἔργα μαθὼν ἀδικῶ;

LIII.

Ζεὺς κύκνος, ταῦρος, σάτυρος, χρυσὸς δι' ἔρωτα
Λήδης, Εὐρώπης, Αντιόπης, Δανάης.

LIV.

Ο Ζεὺς πρὸς τὸν Ερωτα· Βέλη τὰ σὰ πάντ' ἀφελοῦμαι.
χὼ πτανός· Βρόντα, καὶ πάλι κύκνος ἔσῃ.

LV.

## LV. T.III.

Κούρη τίς μ' ἐφίλησεν ὑφέσπερα χείλεσιν ὑγροῖς.
νέκταρ ἔην τὸ φίλημα· τὸ γὰρ στόμα νέκταρος ἔπνει.
καὶ μεθύω τὸ φίλημα, πολὺν τὸν ἔρωτα πεπωκώς.

## LVI.

Τὴν καταφλεξίπολιν Σθενελαΐδα, τὴν βαρύμισθον,
τὴν τοῖς βουλομένοις χρυσὸν ἐρευγομένην,
γυμνήν μοι διὰ νυκτὸς ὅλης παρέκλινεν ὄνειρος
ἄχρι φίλης ἠοῦς προῖκα χαριζομένην.
οὐκέτι γουνάσομαι τὴν βάρβαρον, οὐδ' ἐπ' ἐμαυτῷ p. 162.
κλαύσομαι· ὕπνον ἔχω κεῖνα χαριζόμενον.

## LVII.

Κύπριδος ἀμφιθαλὴς φαρέτραν παῖς εἶχέ τε τόξον·
ταῦτα δὲ νῦν μαλακοῖς ὄμμασι Δωρὶς ἔχει.
αὐτὸς Ερως ἐδίδου, διδόναι, φεῦ, μητρὶ νομίζων.
εἰς ἐμὲ τὴν φαρέτραν ἐξεκένωσε κόρη.

## LVIII.

Εἴθ' ἄνεμος γενόμην, σὺ δέ γε στείχουσα παρ' αὐγὰς
στήθεα γυμνώσαις, καί με πνέοντα λάβοις.
εἴθε ῥόδον γενόμην ὑποπόρφυρον, ὄφρα με χερσὶν
ἀραμένη χαρίσῃ στήθεσι χιονέοις.

## LIX.

Λάθρη κοιμηθεῖσα Φιλαίνιον εἰς Αγαμήδους
κόλπους, τὴν φαιὴν εἰργάσατο χλανίδα.
αὐτὴ Κύπρις ἔριθος· ἐύκλωστον δὲ γυναικῶν
νῆμα καὶ ἠλακάτην ἀργὸς ἔχει τάλαρος.

T. III.

## LX.

Ἄλλην δρῦν βαλάνιζε, Μενέσθιον. οὐ γὰρ ἔγωγε
ἔκκαιρον μήλων προσδέχομαι ῥυτίδα·
ἀλλ' αἰεὶ πεπόθηκα συνακμάζουσαν ὀπώρην.
ὥστε τί πειράζεις λευκὸν ἰδεῖν κόρακα;

## LXI.

Ἤδη φίλτατε λύχνε τρὶς ἔπταρες. ἦ τάχα τερπνὴν
ἐς θαλάμους ἥξειν Ἀντιγόνην προλέγεις;
p. 163. εἰ γὰρ ἅπαξ εἴη τόδ' ἐτήτυμον, οἷος Ἀπόλλων
θνητοῖς μάντις ἔσῃ καὶ σὺ παρὰ τρίποδι.

## LXII.

Εἴτε σε κυανέῃσιν ἀποστίλβουσαν ἐθείραις,
εἴτε πάλιν ξανθαῖς εἶδον, ἄνασσα, κόμαις,
ἴση ἀπ' ἀμφοτέρων λάμπει χάρις. ἦ ῥά γε ταύταις
θριξὶ συνοικήσει καὶ πολιῇσιν Ἔρως.

## LXIII.

Εἰς εὔμορφον κολυμβῶσαν ἐν τῷ Νείλῳ.

Ἁ Κύπρις πρώαν γυμνάν σε βόασεν ἰδοῦσα·
φεῦ φεῦ, πῶς ταγόνων ἔκτοθεν Οὐρανίων,
ζαλώσας ὠδῖνα Θαλάσσας, ὁ θρασὺς ἄλλαν
Νεῖλος ἀπὸ γλυκερῶν Κύπριν ἀνῆκε βυθῶν;

## LXIV.

Ὦ σοβαρὴ βαλάνισσα, τί δή ποτέ μ' ἔκπυρα λούεις;
πρὶν δ' ἀποδύσασθαι, τοῦ πυρὸς αἰσθάνομαι.

LXI. 3. Cod. εἰ γὰρ ἄναξ.

LXV. T. III.

α Χαῖρε κούρη. β καὶ δὴ σύ. α τίς ἡ προσιοῦσα; β τί πρός σε;
α οὐκ ἀλόγως ζητῶ, δεσπότις ἡμετέρη.
ἐλπίζειν ἔξεστι; β θέλεις δέ τι; α νύκτα. β φέρεις τι;
α χρυσίον. β εὐθύμει. α καὶ τόσον . . . β οὐ δύνασαι.

LXVI.

Εἰ τοὺς ἐν πελάγει σώζεις, Κύπρι, κἀμὲ τὸν ἐν γᾷ
ναυαγὸν, φιλίη, σῶσον ἀπολλύμενον.

LXVII. p. 164.

Πέμπω σοι μύρον ἡδὺ, μύρῳ παρέχων χάριν, οὐ σοί.
αὐτὴ γὰρ μυρίσαι καὶ τὸ μύρον δύνασαι.

LXVIII.

Πέμπω σοι μύρον ἡδὺ, μύρῳ τὸ μύρον θεραπεύων,
ὡς Βρομίῳ σπένδων νᾶμα τὸ τοῦ Βρομίου.

LXIX.

Ομφαξ οὐκ ἐπένευσας· ὅτ' ἦς σταφυλὴ, παρεπέμψω.
μὴ φθονέσῃς δοῦναι καὶ βραχὺ τῆς σταφίδος.

LXX.

Ηράσθην, ἐφίλουν, ἔτυχον, κατέπραξ', ἀγαπῶμαι.
τίς δὲ, καὶ ἧς, καὶ πῶς; ἡ θεὸς οἶδε μόνη.

LXXI.

Εἰς κλινάριον πόρνης ἀπὸ δάφνης.

Λέκτρον ἑνὸς φεύγουσα, λέχος πολλοῖσιν ἐτύχθην.

LXXII.

Ειρηνη πάντεσσιν, ἐπίσκοπος εἶπεν ἐπελθών.
πῶς δύναται πᾶσιν, ἣν μόνος ἔνδον ἔχει;

LXXI. 1. Cod. ἐτύχθη.

T. III. **LXXIII.**

Πάντα λίθον κίνει, σαυτὴν τρέφε, καὶ γράφε πρός με,
εἰς ποίην ἀκτὴν εὐφρόσυνος γέγονας.
εὐτακτεῖν πειρῶ· τὸ ἐνοίκιον ἄν τι περισσὸν
γίνηται, καὶ ἐμοὶ φρόντισον ἱμάτιον.
ἣν ἐν γαστρὶ λάβῃς, τέκε καὶ τρέφε· μὴ θορυβηθῇς.
εὑρήσει πόθεν ἔστ' ἐλθὸν ἐς ἡλικίην.

p. 165. **LXXIV.**

Τὴν φωνὴν ΕΝΟΠΗΝ σε λέγειν ἐδίδαξεν Ὅμηρος·
τὴν γλῶσσαν δ' ΕΝΟΠΗΝ τίς σ' ἐδίδαξεν ἔχειν;

**LXXV.**

Ἀλφειοῦ στόμα φεῦγε· φιλεῖ κόλπους Ἀρεθούσης,
πρηνὴς ἐμπίπτων ἁλμυρὸν ἐς πέλαγος.

**LXXVI. a**

ΧΕΙΛΩΝ καὶ ΛΕΙΧΩΝ ἴσα γράμματα. ἐς τί δὲ τοῦτο;
ΛΕΙΧΕΙ καὶ ΧΕΙΛΩΝ, κἂν ἴσα, κἂν ἄνισα.

p. 334. **LXXVI. b**

Δημώναξ, μὴ πάντα κάτω βλέπε, μηδὲ χαρίζου
τῇ γλώσσῃ· δεινὴν χοῖρος ἄκανθαν ἔχει.
καὶ συζῇς ἡμῖν, ἐν Φοινίκῃ δὲ καθεύδεις,
κοὐκ ἴσον ἐκ Σεμέλης μηροτραφὴς γέγονας.

**LXXVII.**

Εἰς λάγυνον.

p. 165. Στρογγύλη, εὐτόρνευτε, μονοῦατε, μακροτράχηλε,
ὑψαύχην, στεινῷ φθεγγομένη στόματι,

LXXIII. 5. Cod. τίκε καὶ τίκε.

Βάκχη καὶ Μουσέων ἱλαρὴ λάτρι καὶ Κυθερείης, Γ. III.
ἡδύγελως, τερπνὴ συμβολικῶν ταμίη,
τίφθ' ὁπόταν νήφω μεθύεις σύ μοι, ἢν δὲ μεθυσθῶ,
ἐκνήφεις; ἀδικεῖς συμποτικὴν φιλίην.

LXXVIII.

Μὴ μύρα, μὴ στεφάνους στήλῃ χαρίσῃ, λίθος ἐστί·
μηδὲ τὸ πῦρ φλέξῃς· ἐς κενὸν ἡ δαπάνη.
ζῶντί μοι, εἴ τί γ' ἔχεις, μετάδος· τέφραν δὲ μεθύσκων
πηλὸν ποιήσεις, κοὐχ ὁ θανὼν πίεται.

LXXIX.

Οὐδὲν ἁμαρτήσας γενόμην παρὰ τῶν με τεκόντων·
γεννηθεὶς δ' ὁ τάλας ἔρχομαι εἰς Ἀΐδην.
ὦ μίξις γενεῶν θανατηφόρος. ὤ μοι ἀνάγκης, p. 166.
ἥ με προσπελάσει τῷ στυγερῷ θανάτῳ.
οὐδὲν ἐὼν, γενόμην· πάλιν ἔσσομαι, ὡς πάρος, οὐδέν.
οὐδὲν καὶ μηδὲν τῶν μερόπων τὸ γένος.
λοιπόν μοι τὸ κύπελλον ἀποστίλβωσον, ἑταῖρε,
καὶ λήθην ὀδύνης τὸν Βρόμιον πάρεχε.

LXXX.

Πῶς γενόμην; πόθεν εἰμί; τίνος χάριν ἦλθον; ἀπελθεῖν.
πῶς δύναμαί τι μαθεῖν, μηδὲν ἐπιστάμενος;
οὐδὲν ἐὼν, γενόμην· πάλιν ἔσσομαι ὡς πάρος ἦα.
οὐδὲν καὶ μηδὲν τῶν μερόπων τὸ γένος.
ἀλλ' ἄγε μοι Βάκχοιο φιλήδονον ἔντυε νᾶμα·
τοῦτο γάρ ἐστι κακῶν φάρμακον ἀντίδοτον.

LXXVIII. 3. Lapis antiq. εἴ τι ἔχεις.
LXXIX. 8. Cod. λύπης ὀδύνην.

T. III.

## LXXXI.

Πῖνε καὶ εὐφραίνου. τί γὰρ αὔριον, ἢ τί τὸ μέλλον;
οὐδεὶς γινώσκει. μὴ τρέχε, μὴ κοπία.
ὡς δύνασαι, χάρισαι, μετάδος, φάγε, θνητὰ λογίζου.
τὸ ζῆν τοῦ μὴ ζῆν οὐδὲν ὅλως ἀπέχει.
πᾶς ὁ βίος τοιόσδε, ῥοπὴ μόνον· ἂν προλάβῃς, σοῦ·
ἂν δὲ θάνῃς, ἑτέρου πάντα· σὺ δ' οὐδὲν ἔχεις.

## LXXXII.

Ἡ τὸ πρὶν αὐχήσασα πολυχρύσοις ἐπ' ἐρασταῖς,
ἡ Νέμεσιν δεινὴν οὐχὶ κύσασα θεὸν,
μίσθια νῦν σπαθίοις πενιχροῖς πηνίσματα κρούει.
ὀψὲ γ' Ἀθηναίη Κύπριν ἐληΐσατο.

p. 167.

## LXXXIII.

Εἰς βαλανεῖον ἔκπυρον.

Τοῦτο πυρὰν κλῄζειν μᾶλλον δεῖ, οὐ βαλανεῖον,
ἥν ποθ' ὁ Πηλείδης ἧψε Μενοιτιάδῃ,
ἢ τὸν Μηδείης στέφανον, τὸν ὕφηνεν Ερινὺς
ἐν θαλάμοις Γλαύκης εἵνεκεν Αἰσονίδεω.
φεῖσαί μου βαλανεῦ, πρὸς τοῦ Διός. εἰμὶ γὰρ ἀνὴρ
πάντα γράφων τὰ βροτῶν ἔργα καὶ ἀθανάτων.
εἰ δὲ πρόκειταί σοι πολλοὺς ζῶντας κατακαίειν,
ἅπτε πυρὰν ξυλίνην, δήμιε, μὴ λιθίνην.

LXXXI. 5. πρ. σὸν. Cod.
LXXXII. 2. Cod. θεάν.
LXXXIII. 3. Cod. τὸν γείτον' ἐριννύς.

## LXXXIV.

T. III.

Εἰς βαλανεῖον ψυχρόν.

Τὸν ποταμὸν, βαλανεῦ, τίς ἐτείχισε; τίς βαλανεῖον
    τὴν κρήνην ψευδῶς τήνδε μετωνόμασεν;
Αἴολος Ἱπποτάδης φίλος ἀθανάτοισι θεοῖσιν
    ὧδε μετοικήσας ἤγαγε τοὺς ἀνέμους.
πρὸς τί δὲ καὶ σανίδες δύο τοῖς ποσὶν αἵδ᾽ ὑπόκειται;
    οὐ διὰ τὴν θέρμην· τῆς χιόνος δ᾽ ἕνεκα.
ΦΡΙΞΟΥ καὶ ΝΑΡΚΗΣ οὗτος τόπος. ἀλλ᾽ ἐπίγραψον·
    ΤΩι ΜΕΣΟΡΙ ΛΟΥΣΑΙ· ΠΝΕΙ ΓΑΡ ΕΣΩ ΒΟΡΕΑΣ.

## LXXXV.

ΔΑΜΑΓΟΡΑΝ καὶ ΛΟΙΜΟΝ ἰσόψηφόν τις ἀκούσας,
    ἔστησ᾽ ἀμφοτέρων τὸν τρόπον ἐκ κανόνος·
εἰς τὸ μέρος δὲ καθείλκετ᾽ ἀνελκυσθὲν τὸ τάλαντον
    Δαμαγόρου, λοιμὸν δ᾽ εὗρεν ἐλαφρότερον.

## LXXXVI.

p. 168.

Τὴν γραῦν ἐκκομίσας, φρονίμως πάνυ Μόσχος ἔγημε
    παρθένον· ἡ φερνὴ δ᾽ ἔνδον ἔμεινεν ὅλη.
ἄξιον αἰνῆσαι Μόσχου φρένας, ὃς μόνος οἶδε
    καὶ τίνα δεῖ κινεῖν, καὶ τίνα κληρονομεῖν.

## LXXXVII.

Γινώσκειν σ᾽ ἐθέλω, Πλακιανὲ, σαφῶς, ὅτι πᾶσα
    ἔγχαλκος γραῖα πλουσία ἐστὶ σορός.

## LXXXVIII.

Εἰς ἄρχοντα ἀνάξιον.

Οὐκ ἐθέλουσα Τύχη σε προήγαγεν· ἀλλ᾽ ἵνα δείξῃ
    ὡς ὅτι καὶ μέχρι σοῦ πάντα ποιεῖν δύναται.

LXXXVI. 4. Fort. βινεῖν.

T. III.

## LXXXIX.

Ὦ τλῆμον Κυνέγειρε, καὶ ἐν ζωοῖς, καὶ ἀπελθὼν,
ὡς αἰεὶ κόπτῃ ῥήμασι καὶ κοπίσι.
πρόσθε μὲν ἐν πολέμοισι τεὴ πέσε μαρναμένη χείρ·
νῦν δέ σ' ὁ γραμματικὸς καὶ πόδας ἐςέρισε.

## XC.

Ἡ ῥὶς Κάςορός ἐςιν, ὅταν σκάπτῃ τι, δίκελλα·
σάλπιγξ δ', ἂν ῥέγχῃ· τῇ δὲ τρύγῃ, δρέπανον·
ἐν πλοίοις ἄγκυρα· κατασπείροντι δ', ἄροτρον·
ἄγκιςρον γριπεῖ· ὀψοφάγοις κρεάγρα,
ναυπηγοῖς σχένδυλα· γεωργοῖς δὲ πρασόκουρον·
τέκτοσιν ἀξίνη· τοῖς δὲ πυλῶσι κόραξ.
οὕτως εὐχρήςου σκεύους Κάςωρ τετύχηκε,
ῥῖνα φέρων πάσης ἄρμενον ἐργασίας.

p. 169.

## XCI.

Κερκίδος οὐ χρήζεις ὁ λογιςικὸς, οὐδὲ μέλει σοι.
καὶ γὰρ ἀβασκάντως ῥῖνα τρίπηχυν ἔχεις.

## XCII.

Κήλην κηλήτου μὴ φαινομένου προτέθεικας.
μή μοι τὴν κήλην· αὐτὸν ἰδεῖν σ' ἐθέλω.

## XCIII.

Τοῦτο τὸ ΒΟΥΛΕΥΕΙΝ εἶχες πάλαι. ἀλλὰ τὸ Βῆτα
οὐκ ἐπιγινώσκω· Δέλτα γὰρ ἐγράφετο.

XC. 4. Vulgo ἄγκ. ναύταις. Deinde fort. corr. ὀψωνιῷ.
5. Vulgo κίνδυλα. 8. Cod. ἐργασίης.
XCIII. 1. Scr. ΟΥΛΕΥΕΙΝ.

## XCIV. T. III.

Βουλευεις, Ἀγαθῖνε· τὸ βῆτα δὲ τοῦτ' ἐπρίω νῦν.
εἰπὲ πόσης τιμῆς. Δέλτα γὰρ ἦν πρότερον.

## XCV.

Οὐ μήλῃ, τρίβοντι δ' ἐνήλειψέν με Χαρῖνος,
σπόγγον ἔχων καινὸν τῶν γραφικῶν πινάκων.
τὴν μήλην δ' ἕλκων, ἐξέσπασε τὸ βλέφαρόν μου
ῥιζόθεν· ἡ μήλη δ' ἔνδον ἔμεινεν ὅλη.
ἂν δὲ δὶς ἐγχρίσῃ με, πονῶν πάλιν οὐκ ἐνοχλήσω
ὀφθαλμοὺς αὐτῷ. πῶς γὰρ ὁ μηκέτ' ἔχων;

## XCVI.

Ἰητρὸς Κρατέας, καὶ Δάμων ἐνταφιαστὴς
κοινὴν ἀλλήλοις θέντο συνωμοσίην.
καί ῥ' ὁ μὲν οὓς κλέπτεσκεν ἀπ' ἐνταφίων τελαμῶνας
εἰς ἐπιδεσμεύειν πέμπε φίλῳ Κρατέᾳ·
τὸν δ' ἀπαμειβόμενος Κρατέας εἰς ἐνταφιάζειν p. 170.
πέμπεν ὅλους αὐτῷ τοὺς θεραπευομένους.

## XCVII.

Πῶς φιλέεις, ὦ μῆτερ, ἐμοῦ πλέον υἱέος οἶνον;
δὸς πιέειν οἴνοιο, ἐπεὶ γάλα τὸ πρὶν ἔδωκας.
Β. ὦ παῖ, σὴν μὲν δίψαν ἐμὸν γάλα τὸ πρὶν ἔπαυσε·
νῦν δ' ἴθι, πῖνε ὕδωρ, καὶ σβέννυ τὴν σέο δίψαν.

## XCVIII.

Δέρκεο πῶς διψῶν υἱὸς χέρα μητέρι τείνει·
Μῆτερ, μητρυιῆς χαλεπὸν τρόπον ἀντικρατοῦσα,
ἀμπέλου ἡδυτάτης τάδε δάκρυα δός μοι ἀφύσσειν.
ἡ δὲ γυνή, ἅτε πᾶσα γυνή, κεκρατημένη οἴνῳ,

T. III. ἐν λαγύνῳ πίνουσα, τόδ᾽ ἔννεπε λοξὸν ἰδοῦσα·
Ἐκ δὴ βρόχθου ἐμοῖο τί σοι δῶ, τέκνον ἐμεῖο;
ξέστας γὰρ τριάκοντα μόνον λάγυνος ὅδε χωρεῖ.

## XCIX.

Εἰς ΑΠΙΑΝΟΝ ἡγεμόνα πότην.

Γράμμα περισσὸν ἔχεις τὸ προκείμενον. ἢν ἀφέλῃ τις
τοῦτό σοι, οἰκεῖον κτήσῃ ἁπλῶς ὄνομα.

## C.

Τὸν παχὺν εὖ ἔγραψεν ὁ ζωγράφος. ἀλλ᾽ ἀπόλοιτο,
εἰ δύο μισητοὺς ἀνθ᾽ ἑνὸς ὀψόμεθα.

## CI.

Ῥήτορος αὖθ᾽ εἰκών· ὁ δὲ ῥήτωρ, εἰκόνος εἰκών.
καὶ πῶς; οὐ λαλέει. οὐδὲν ὁμοιότερον.

## CII.

p. 171. Τίς σε τὸν οὐ λαλέοντα τύπῳ ῥητῆρος ἔγραψε;
σιγᾷς, οὐ λαλέεις, οὐδὲν ὁμοιότερον.

## CIII.

Εἰς εἰκόνα Μαρίνου ῥήτορος.

Εἰκόνες ἀνθρώποισι φίλον γέρας· ἀλλὰ Μαρίνῳ
ὕβρις, ἐλεγχομένης εἴδεος ἀπρεπίης.

## CIV.

Εἰκὼν ἡ Σέξτου μελετᾷ· Σέξτος δὲ σιωπᾷ.
ῥήτωρ ἦν εἰκών· ὁ δὲ ῥήτωρ εἰκόνος εἰκών.

CI. 1. Vulgo ῥήτωρ ῥήτορος εἰκών.
CII. 2. Fort. ὁ λαλέει.

## CV.

T. III.

Αὐτὸν ὁρῶ σε, Μέδον, τὸν ῥήτορα. φεῦ, τί τὸ θαῦμα;
στειλάμενος σιγᾷς. οὐδὲν ὁμοιότερον.

## CVI.

Τὸ στάδιον Περικλῆς εἴτ' ἔδραμεν, εἴτ' ἐκάθητο,
οὐδεὶς οἶδεν ὅλως· δαιμόνιος βραδυτής.
ὁ ψόφος ἦν ὕσπληγγος ἐν οὔασι, καὶ στεφανοῦτο
ἄλλος, καὶ Περικλῆς δάκτυλον οὐ προέβη.

## CVII.

Ὦ γαστὴρ κυνόμυια, δι' ἣν κόλακες παράσιτοι
ζωμοῦ πωλοῦσι θεσμὸν ἐλευθερίης.

## CVIII.

Ὁ βραχὺς Ἑρμογένης, ὅταν ἐκβάλῃ εἰς τὸ χαμαί τι,
ἕλκει πρὸς τὰ κάτω τοῦτο δορυδρεπάνῳ.

## CIX.

p. 172.

Βουλόμενός ποθ' ὁ λεπτὸς ἀπάγξασθαι Διόφαντος,
νῆμα λαβὼν ἀράχνης αὑτὸν ἀπηγχόνισε.

## CX.

Εἰς φιλοσόφους.

Ὀφρυανασπασίδαι, ῥινεγκαταπηξιγένειοι,
σακκογενειοτρόφοι, καὶ λοπαδαρπαγίδαι,
εἱματανωπερίβαλλοι, νηλιποκαιβλεπέλαιοι,
νυκτιλαθραιοφάγοι, νυκτιπαταιπλάγιοι,
μειρακιεξαπάται, καὶ συλλαβοπευσιλαβηταί,
δοξοματαιόσοφοι, ζηταρετησιάδαι.

T. III.

## CXI.

Ὁ κρόκος, οἵ τε μύροισιν ἔτι πνείοντες Ἀλεξοῦς
σὺν μίτραις κισσοῦ κυάνεοι στέφανοι
τῷ γλυκερῷ καὶ θῆλυ κατιλλώπτοντι Πριήπῳ
κεῖνται τῆς ἱερῆς ξείνια παννυχίδος.

## CXII.

Ἠγρύπνησε Λεοντὶς ἕως πρὸς καλὸν ἑῷον
ἀστέρα, τῷ χρυσέῳ τερπομένη Σθενίῳ,
ἧς παρὰ Κύπριδι τοῦτο τὸ σὺν Μούσαις μελετηθὲν
βάρβιτον ἐκ κείνης κεῖτ' ἔτι παννυχίδος.

## CXIII.

Ἴυγξ ἡ Νικοῦς, ἡ καὶ διαπόντιον ἕλκειν
ἄνδρα, καὶ ἐκ θαλάμων παῖδας ἐπισταμένη,
p. 173. χρυσῷ ποικιλθεῖσα, διαυγέος ἐξ ἀμεθύστου
γλυπτή, σοὶ κεῖται, Κύπρι, φίλον κτέανον,
πορφυρέης ἀμνοῦ μαλακῇ τριχὶ μέσσα δεθεῖσα,
τῆς Λαρισσαίης παίγνια φαρμακίδος.

## CXIV.

Ζῶμά τοι, ὦ Λατοῖ, καὶ ἀνθεμόεντα κύπασσιν,
καὶ μίτραν μαστοῖς σφιγκτὰ περιπλομέναν
θήκατο Τιμάεσσα, δυσωδίνοιο γενέθλας
ἀργαλέον δεκάτῳ μηνὶ φυγοῦσα βάρος.

## CXV.

Τιμαρέτα πρὸ γάμοιο τὰ τύμπανα, τάν τ' ἐρατεινὰν
σφαῖραν, τόν τε κόμας ῥύτορα κεκρύφαλον,

CXII. 3. Cod. μούσαισι μεληθέν.

τάς τε κόρας Λιμνάτι, κόρᾳ κόρα, ὡς ἐπιεικές, T. III.
ἄνθετο, καὶ τὰ κορᾶν ἐνδύματ', Ἀρτέμιδι.
Λατῴα, σὺ δὲ παιδὸς ὑπὲρ χέρα Τιμαρετείας
θηκαμένα, σώζοις τὰν ὁσίαν ὁσίως.

## CXVI. a

p. 333.

Σῆς ἕνεκεν, Λητῷς τοξαλκέτα κῦρ', ἐπινοίας
τήνδ' ἕλε Νικοκρέων τετράκερων ἔλαφον.

## CXVI. b

p. 173.

Κερκίδα τὴν φιλοεργὸν Ἀθηναίῃ θέτο Βιττὼ
ἄνθεμα, λιμηρῆς ἅρμενον ἐργασίης,
πάντας ἀποστύξασα γυνὴ τότε τοὺς ἐνερίθους
μόχθους, καὶ στυγερὰς φροντίδας ἱστοπόνων.
εἶπε δ' Ἀθηναίῃ· Τῶν Κύπριδος ἅψομαι ἔργων,
τὴν Πάριδος κατὰ σοῦ ψῆφον ἐνεγκαμένη.

## CXVII.

Ἐλπίδα καὶ Νέμεσιν Εὔνους παρὰ βωμὸν ἔτευξε·
τὴν μὲν, ἵν' ἐλπίζῃς· τὴν δ', ἵνα μηδὲν ἄγαν.

## CXVIII.

p. 174.

Σόν ποτε νικήσας, Ζεῦ Ὀλύμπιε, σεμνὸν ἀγῶνα,
τεθρίππῳ μὲν ἅπαξ, μουνοκέλητι δὲ δὶς,
δῶρ' Ἱέρων τάδε σοι ἐχαρίσσατο· παῖς δ' ἀνέθηκε
Δεινομένης, πατρὸς μνῆμα Συρακοσίου.

---

Υἱὸς μέν γε Μίκωνος Ὀνατᾶς ἐξετέλεσσε,
νάσῳ ἐν Αἰγίνᾳ δώματα ναιετάων.

CXV. 3. Cod. λιμνᾶτι κόρᾳ κόρα. 5. Cod. παιδί.

T. III.

## CXIX.

Τόνδε πυρῆ ἀνέθηκε Πολυμνήςυ φίλος υἱὸς,
εὐξάμενος δεκάτην Παλλάδι Τριτογενεῖ.
Κυδωνιάτας Κρισίας εἰργάσατο.

## CXX.

Εἰμὶ Δίκων υἱὸς Καλλιμβρότυ, αὐτὰρ ἐνίκων
τετράκις ἐν Νεμέᾳ, τρὶς Ολύμπια, πεντάκι Πυθοῖ,
τρὶς δ' Ισθμῷ· ςεφανῶ δ' ἄςυ Συρακοσίων.

## CXXI.

Χάλκεα ἔργα, λέγοισθε θοῆς ἐπινίκια πώλυ,
ἥτις κεντροπαγῆ λαβῦσα παῖδα,
ψύλλη λευρὸν ἔθυσε περὶ δρόμον· ἐκ δ' ἄρ' ἐκείνυ
Παρμένων χρυσέης κύρησε νίκης.
Φώκριτε, σῷ δ' ἄρα παιδὶ καὶ Τλαΐδᾳ βασιλῆες
πατρῴων ἔδοσαν λαχεῖν ἀέθλων.

## CXXII.

Λαμπάδα νικήσας σὺν ἐφήβοις τήνδ' ἀνέθηκα
Εὐτυχίδης, παῖς ὢν Εὐτυχίδυ Ασθμονεύς.

p. 175.

## CXXIII.

Λαμπάδα, τὴν κύροις ἱερὴν ἔριν, ὠκὺς ἐνέγκας,
οἷα Προμηθείης μνῆμα πυροκλοπίης,
νίκης κλεινὸν ἄεθλον, ἔτ' ἐκ χερὸς ἔμπυρον, Ερμῇ
θῆκεν ὁμωνυμίης παῖς πατρὸς Αντιφάνυς.

## CXXIV.

Ανθετό σοι κορύνην καὶ νεβρίδας ἡμέτερος Πὰν,
Εὔϊε, καλλείψας σὸν χορὸν ἐκ Παφίης.

CXXI. 2. Cod. κεντροπαγῆ. 4. Fort. π. ἀγλαῆς aut ἱερῆς.

Ἠχὼ γὰρ φιλέει, καὶ πλάζεται. ἀλλὰ σὺ Βάκχε T. III.
ἵλαθι τῷ ξυνὴν ἀμφιέποντι τέχνην.

## CXXV.

Γήραϊ δὴ καὶ τόνδε κεκυφότα φηγινὸν ὄζον
οὔρεσιν ἀγρῶται βουκόλοι ἐξέταμον·
Πανὶ δέ μιν ξέσσαντες ὁδῷ ἔπι καλὸν ἄθυρμα
κάτθεσαν, ὠρείων ῥύτορι βουκολίων.

## CXXVI.

Ὠκυδρόμας Λύκος Ἴσθμι' ἅπαξ, δύο δ' ἐνθάδε νίκαις
Φειδώλα παίδων ἐστεφάνωσε δόμους.

## CXXVII.

Τὸ ξόανον τὸ περισσὸν Αλεξιμένης Αφροδίτας
εἵσατο, τῆς πάσης ναυτιλίης φύλακα.
χαίρεο, πότνια Κύπρι, διδοῦσα δὲ κέρδεα, πλοῦτον
ἄρμενον, εἰδήσεις ναῦς ὅτι κοινότατον.

## CXXVIII. p. 176.

Ἑρμείη, σήραγγος ἁλίκτυπον ὃς τόδε ναίεις
εὔστιβὲς αἰθυίαις ἰχθυβόλοισι λέπας,
δέξο σαγηναίοιο λίνου τετριμμένον ἅλμη
λείψανον, αὐχμηρῶν ξανθὲν ὑπ' ἠϊόνων,
γριπούς τε, πλωτῶν τε πάγην, περιδινέα κύρτον,
καὶ φελλὸν κρυφίων σῆμα λαχόντα βόλων,
καὶ βαθὺν ἱππείης πεπεδημένον ἅμματι χαίτης,
οὐκ ἄτερ ἀγκίστρων, λιμνοφυῆ δόνακα . . .

* * * * * * * *

CXXV. 4. Cod. ὡραίων.
CXXVIII. 3. Cod. λίνον. pro ἅλμη in Cod. aliud quid ſcriptum fuerat.

T. III.

## CXXIX.

Δαίμονι τῇ Συρίῃ τὸ μάτην τριβὲν Ἡλιόδωρος
δίκτυον ἐν νηῷ τοῦδ᾽ ἔθετο προπύλοις.
ἁγνὸν ἀπ᾽ ἰχθυβόλου θήρας τόδε· πολλὰ δ᾽ ἐν αὐτῷ
φυκί᾽ ἀπ᾽ εὐόρμων εἵλκυσεν αἰγιαλῶν.

## CXXX.

Κώμαυλος τὸν ἐχῖνον ἰδὼν ἐπὶ νῶτα φέροντα
ῥᾶγας, ἀπέκτεινε τῷδ᾽ ἐπὶ θειλοπέδῳ·
αὐήνας δ᾽ ἀνέθηκε φιλακρήτῳ Διονύσῳ
τὸν τὰ Διωνύσου δῶρα λεϊζόμενον.

## CXXXI.

Οξέσι λαχνήεντα δέμας κέντροισιν ἐχῖνον
ῥαγολόγον, γλυκερῶν σίντορα θειλοπέδων,
σφαιρηδὸν σαφυλῇσιν ἐπιτροχάοντα δοκεύσας,
Κώμαυλος Βρομίῳ ζωὸν ἀνεκρέμασε.

p. 177.

## CXXXII.[a]

Σῶζε, θεὰ Τριτοῖ, τὰ τεθέντα τε, τόν τ᾽ ἀναθέντα.

p. 333.

## CXXXII.[b]

Αργὼ τὸ σκάφος εἰμί· θεῷ δ᾽ ἀνέθηκεν Ἰάσων,
Ισθμια καὶ Νεμέοις στεψάμενον πίτυσι.

p. 177.

## CXXXIII.

Η μάλα δὴ ποθέουσα νέαν ἔτι Κυδίου ἥβην
ἀσπὶς ἀριζήλου φωτὸς, ἄγαλμα Διὶ,
ἇς διὰ δὴ πρώτας λαιὸν ποτε πῆχυν ἔτεινεν,
εὖτ᾽ ἐπὶ τὸν Γαλάταν ἤκμασε θοῦρος Αρης.

CXXXIV.

## CXXXIV. T. III.

Ναὸς μὲν φιάλαν χρυσέαν ἔχει, ἐκ δὲ Τανάγρας
τᾶς Λακεδαιμονίοις συμμαχίδος γε τεθὲν
δῶρον, ἀπ' Ἀργείων καὶ Ἀθηναίων καὶ Ἰώνων
τὰν δεκάταν, νίκας εἵνεκα τῶ πολέμω.

## CXXXV.

Μνάματ' Ἀπολλωνίας ἀνακείμεθα, τὰν ἐνὶ πόντῳ
Ἰονίῳ Φοῖβος ᾤκισ' ἀκερσεκόμας·
οἱ γᾶς τέρμαθ' ἑλόντες Ἀβαντίδος, ἐνθάδε ταῦτα
ἔστασαν σὺν τοῖς ἐκ Θρονίω δεκάταν.

## CXXXVI.

Κλειτόριοι τόδ' ἄγαλμα θεῷ δεκάτην ἀνέθηκαν,
πολλᾶν ἐκ πολίων χερσὶ βιασάμενοι,
καὶ μέτρα ποιείτην Ἀρίστων ἠδὲ Τελεστὰς
αὐτοκασίγνητοι καὶ Λακεδαιμόνιοι.

## CXXXVII.

Δέξο ἄναξ Κρονίδα Ζεῦ Ὀλύμπιε καλὸν ἄγαλμα
ἱλάῳ θυμῷ τοῖς Λακεδαιμονίοις.

## CXXXVIII. p. 178.

Τῷ Διὶ τ' Ἀχαιοὶ τὰ ἀγάλματα ταῦτ' ἀνέθηκαν,
ἔγγονοι ἀντιθέυ Ταντακίδα Πέλοπος.

---

Πολλὰ μὲν ἄλλα σοφῶ ποιήματα, καὶ τόδ' Ὀνατᾶ
ἔργον, ἐν Αἰγίνῃ τὸν τέκε παῖδα Μίκων.

## CXXXIX.

Ζηνὶ θεῶν βασιλεῖ μ' ἀκροθίνιον ἐνθάδ' ἔθηκαν
Μενδαῖοι, Σίπτην χερσὶ βιασσάμενοι.

T. III. CXL.

Κλεοσθένης μ᾽ ἀνέθηκεν ὁ Πόντιος ἐξ Επιδάμνȣ,
νικήσας ἵπποις καλὸν ἀγῶνα Διός.

CXLI.

Εὐτελίδας καὶ Χρυσόθεμις τάδε ἔργα τέλεσσαν
Αργεῖοι, τέχναν εἰδότες ἐκ προτέρων.

CXLII.

Ζηνί μ᾽ ἄγαλμ᾽ ἀνέθηκαν Ολυμπίῳ ἐκ Χερονήσȣ
τεῖχος ἑλόντες Αράτȣ· ἐπῆρχε δὲ Μιλτιάδης σφίν.

CXLIII.

Μνᾶμά τ᾽ ἀλεξάνδρȣ πολέμȣ, καὶ μάρτυρα νίκας
Δελφοί με ϛᾶσαν, Ζανὶ χαριζόμενοι,
σὺν Φοίβῳ, πτολίπορθον ἀπωσάμενοι ϛίχα Μήδων,
καὶ χαλκοϛέφανον ῥυσάμενοι τέμενος.

p. 179. CXLIV.

Ελλάδος εὐρυχόρȣ σωτῆρες τόνδ᾽ ἀνέθηκαν,
δȣλοσύνης ϛυγερᾶς ῥυσάμενοι πόλιας.

CXLV.

Μνᾶμ᾽ ἀρετᾶς ἀνέθηκε Ποσειδάωνι ἄνακτι
Παυσανίας, ἄρχων Ελλάδος εὐρυχόρȣ,
Πόντȣ ἐπ᾽ Εὐξείνȣ, Λακεδαιμόνιος γένος, υἱὸς
Κλεομβρότȣ, ἀρχαίας Ηρακλέως γενεᾶς.

CXLVI.

Αμφιτρύων ὅτ᾽ ἔμελλ᾽ ἀγαγέσθαι δεῦρο γυναῖκα
Αλκμήνην, θάλαμόν γ᾽ ἐκλέξατο τȣ̃τον ἑαυτῷ·
Αγχάσιος δ᾽ ἐποίησε Τροφώνιος ἠδ᾽ Αγαμήδης.

CXLVII. T. III.

Ἀμφιτρύων μ' ἀνέθηκε νέων ἀπὸ Τηλεβοάων.

CXLVIII.

Σκαιὸς πυγμαχέων με ἑκηβόλῳ Ἀπόλλωνι
νικήσας ἀνέθηκε τεῒν περικαλλὲς ἄγαλμα.

CXLIX.

Λαοδάμας τρίποδ' αὐτὸν ἐϋσκόπῳ Ἀπόλλωνι
μουναρχέων ἀνέθηκε, τεῒν περικαλλὲς ἄγαλμα.

CL.

Χάλκεός εἰμι τρίπους· Πυθοῖ δ' ἀνάκειμαι ἄγαλμα,
καί μ' ἐπὶ Πατρόκλῳ θῆκε πόδας ὠκὺς Ἀχιλλεύς·
Τυδείδης δ' ἀνέθηκε βοὴν ἀγαθὸς Διομήδης, p. 180.
νικήσας ἵπποισι παρὰ πλατὺν Ἑλλήσποντον.

CLI.

Ἡσίοδος Μούσαις Ἑλικωνίσι τόνδ' ἀνέθηκεν
ὕμνῳ νικήσας ἐν Χαλκίδι θεῖον Ὅμηρον.

CLII.

Φοῖβε ἄναξ, δῶρόν τοι Ὅμηρος καλὸν ἔδωκα
σῇσιν ἐπιφροσύναις· σὺ δ' ἐμοὶ κλέος αἰὲν ὀπάζοις.

CLIII.

Βωμοὺς τούσδε θεοῖς Σοφοκλῆς ἱδρύσατο πρῶτος,
ὃς πλεῖστον μούσης εἷλε κλέος τραγικῆς.

CLIV.

Βόσπορον ἰχθυόεντα γεφυρώσας ἀνέθηκε
Μανδροκλέης Ἥρῃ, μνημόσυνον σχεδίης,

CL. In Vat. Cod. male divulſa diſticha, omiſſo δὲ poſterioris initio.

T. III. αὐτῷ μὲν στέφανον περιθεὶς, Σαμίοισι δὲ κῦδος,
Δαρείου βασιλέως ἐκτελέσας κατὰ νοῦν.

## CLV.

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
παισὶν ἐπ' Ἠϊόνι, Στρυμόνος ἀμφὶ ῥοὰς,
λιμόν τ' αἴθωνα, κρατερόν τ' ἐπαγόντες Ἄρηα,
πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

## CLVI.

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν,
ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς,
p. 181. μᾶλλόν τις τάδ' ἰδὼν ἵν' ἐπεσσομένων ἐθελήσῃ
ἀμφὶ περὶ ξυνοῖς πράγμασι μόχθον ἔχειν.

## CLVII.

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
ἡγεῖτο ζάθεον Τρωϊκὸν ἐς πεδίον,
ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα θωρηκτάων
κοσμητῆρα μάχης ἔξοχον ὄντα μολεῖν.
οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
κοσμηταῖς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

## CLVIII.

Εἰς τοὺς ἀπὸ Φυλῆς τὸν Ἀθηναίων δῆμον καταγαγόντας.

Τούσδ' ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
δῆμος Ἀθηναίων, οἵ ποτε τοὺς ἀδίκοις
θεσμοῖς ἄρξαντας πρῶτοι πόλεως καταπαύειν
ἦρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

### CLIX. T. III.

Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες
  παῖδες Ἀθηναίων ἔργμασιν ἐν πολέμου,
δεσμῷ ἐν ἀχλυόεντι σιδηρέῳ ἔσβεσαν ὕβριν·
  τῶν ἵππους, δεκάτην Παλλάδι, τάσδ' ἔθεσαν.

### CLX.

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίης ἀπὸ χώρας
  παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
ναυμαχίῃ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
  σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

### CLXI. p. 182.

Πάντες, Μιλτιάδη, τὰ σ' ἀρήϊα ἔργα ἴσασιν,
  Πέρσαι, καὶ Μαραθὼν σῆς ἀρετῆς τέμενος.

### CLXII. a

Σοὶ τόδ' Ἀλέξανδρος Μακεδὼν κέρας ἄνθετο, Παιὰν,
  κάνθωνος Σκυθικοῦ χρῆμά τι δαιμόνιον,
ὃ Στυγὸς ἀχράντῳ Λουσηΐδος οὐκ ἐδαμάσθη
  ῥεύματι, βάσταξε δ' ὕδατος ἠνορέην.

### CLXII. b Lect. p. 287.

Σοὶ, παιῆον ἄναξ, Ἀσκληπιὲ, τήνδ' ἀνέθηκα
  εὐξάμενος στήλην λαϊνέην ὁ Βάλης,
νούσου ἐπεί μ' ἀκέσω βαρυαλγέος, οὕνεκα τῶν πρὶν,
  ὧν πάθον, ἰαθεὶς ἐκ σέθεν, οἶδα χάριν·
τοῦ δ' αὖ μέλλοντος λοιποῦ βίου, ὃν . . .

* * * * * *

T. III. p. 182.

## CLXIII.

Κοίρανος Εὐρώπας, ὃ καὶ εἰν ἁλὶ καὶ κατὰ χέρσον
τόσσον ἄναξ θνατῶν, Ζεὺς ὅσσον ἀθανάτων,
Εἰνοδία τὰ λάφυρα κατὰ θρασέος Κιροάδα
καὶ τέκνων, καὶ ὅλας γᾶς ἔθετ' Οἰρυσίδος,
υἱὸς ἐϋμμελία Δαματρίου· ἃ δὲ Φιλίππου
δόξα πάλαι θείων ἄγχι βέβακε θρόνων.

## CLXIV.

Ζηνὸς ἰὼ κραιπναῖσι γεγαθότες ἱπποσύναισι,
κοῦροι ἰὼ Σπάρτας, Τυνδαρίδαι βασιλεῖς,
Αἰνεάδας Τίτος ὔμμιν ὑπέρτατον ὤπασε δῶρον,
Ἑλλήνων τεύξας παισὶν ἐλευθερίαν.

## CLXV.

Τόνδε τοι ἀμβροσίοισιν ἐπὶ πλοκάμοισιν ἔθηκε
κεῖσθαι, Λατοΐδα, χρυσοφαῆ στέφανον,
ὃν πόρεν Αἰνεαδᾶν ταγὸς μέγας. ἀλλ' Ἑκάεργε
ἀλκᾶς τῷ θείῳ κῦδος ὄπαζε Τίτῳ.

p. 183.

## CLXVI.

Δεσποίνῃ Νεμέσει, καὶ συννάοισι θεοῖσιν
Ἀῤῥιανὸς βωμὸν τόνδε καθιδρύσατο.

## CLXVII.

Ἄλσος μὲν Μούσαις ἱερὸν λέγε τοῦτ' ἀνακεῖσθαι,
τὰς βίβλους δείξας τὰς παρὰ τοῖς πλατάνοις,
ἡμᾶς δὲ φρουρεῖν· κἂν γνήσιος ἐνθάδ' ἐραστὴς
ἔλθῃ, τῷ κισσῷ τοῦτον ἀναστέφομεν.

CLXV, 1. Fort. πλοκάμοισι γεγήθοις.

## CLXVIII. T. III.

Ευρυδίκη Ιεραπολιῆτις τόνδ' ἀνέθηκε
  Μέσαις, εὔιςον ψυχῆ ἑλῦσα πόθον.
γράμματα γὰρ, μνημεῖα λογων, μήτηρ γεγαυῖα
  παίδων ἡβώντων, ἐξεπόνησε μαθεῖν.

## CLXIX.

Ουρεσι Ταλλείοισιν ἱδρυμένε Μαιάδος Ερμῆ,
  σπονδὴν καὶ θυσίην δέξο φιλοφρόσυνος,
ἥν σοι Σαλλόνιος Μηνᾶς λοιβαῖσι γεραίρει,
  κτήσεος ἐξ ὁσίης ψυχικὰ δῶρα διδές.
καὶ πρὶν μὲν ζώσης, κ' ἀλόχε φάος εἰσορώσης,
  σὺν κείνῃ κατ' ἔτος σὰς ἐγέραιρε τόπες.
ἀνθ' ὧν δ' ἐγχρονίσας ἐπετήσιον ὐκ' ἀπέδωκε,
  συμβίῳ ἁγνοτάτας τῦδε καταφθιμένας,
ἀλγήσας φρένα πολλὰ, μαθὼν δ' ὅτι δεῖ τά γε θεῖα
  τιμᾷν, διπλῆ σοι τήνδ' ἔπορε θυσίαν.
καὶ σὺ δὲ παντοκράτωρ Εριύνιε, τόνδε φυλάσσοις
  ζωόν, ὅπως τιμᾷ σὸν δι' ὅλε τέμενος.

## CLXX. p. 184.

Στῆσεν Αχείριςος ςήλην μεγακυδέσιν ἀςοῖς,
  πατρὸς τὖνομ' ἔχων, δημόθεν Εὐπυρίδης,
ἐκπρεπέως ἀέθλοισιν ἐπασκήσας καὶ ἐφήβοις,
  καὶ ςεφάνε κῦδος μῦνος ἐνεγκάμενος.

## CLXXI.

Αμφότερ', ὠρχεύμην τε, καὶ ἐν Μώσαις ἐδίδασκον
  ἄνδρας· ὁ δ' αὐλητὰς ἦν Ανακος Φιαλεύς.

T. III. εἰμὶ δὲ Βακχείδας Σικυώνιος. ἦ ῥα θεοῖσιν
ἐν Σικυῶνι καλὸν τοῦτ' ἀνέκειτο γέρας.

## CLXXII.

Τοῦτον ὃν εἰσορᾶας τύπον ὄρθιον Ἀντωνίνου
Δωρόθεος Πτελέῃ θήκατο κρυπτόμενον.

## CLXXIII.

Εἴτε σύ γ' ὀρνεόφοιτον ὑπὲρ καλαμῖδα παλύνας
ἰξῷ ὀρειβατέεις, εἴτε λαγοκτονέεις,
Πᾶνα κάλει. κυνὶ Πὰν λασίου ποδὸς ἴχνια φαίνει·
σύνθεσιν ἀκλινέων Πὰν ἀνάγει καλάμων.

## CLXXIV.

Μῆτερ ἐμή, γαίη Φρυγίων, θρέπτειρα λεόντων,
Δίνδυμον, ᾧ μύσταις οὐκ ἀπάτητον ὄρος,
σοὶ τάδε θῆλυς Ἄλεξις ἑῆς οἰστρήματα λύσσης
ἄνθετο, χαλκοτύπου παυσάμενος μανίης,
κύμβαλά τ' ὀξύφθογγα, βαρυφθόγγων τ' ἀλαλητὸν
αὐλῶν, οὓς μόσχου λοξὸν ἔκαμψε κέρας,
p. 185. τύμπανά τ' ἠχήεντα, καὶ αἵματι φοινιχθέντα
φάσγανα, καὶ ξανθάς, τὰς πρὶν ἔσεισε, κόμας.
ἵλαος ὦ δέσποινα, τὸν ἐν νεότητι μανέντα,
γηραλέον προτέρης παῦσον ἀγριοσύνης.

## CLXXV.

Εἰς ἄγαλμα Εὐνόμου τοῦ κιθαρῳδοῦ ἑστῶτος ἐν Δελφοῖς, ἔχοντος ἐπὶ τῇ κιθάρῃ τὸν μουσικὸν τέττιγα.

Εὔνομον, ὦ 'πολλον, σὺ μὲν οἶσθά με, πῶς ποτ' ἐνίκων
Πάρθιν ὁ Λοκρὸς ἐγώ· πευθομένοις δ' ἐνέπω.

CLXXIV. 2. Cod. Vat. δινδυμένης μύσταις. In marg. δινδυμένης.
5. Vulgo ἀλαλητόν.

αἰόλον ἐν κιθάρᾳ νόμον ἔκρεκον· ἐν δὲ μεσεύσᾳ T. III.
ᾠδᾷ μοι χορδὰν πλᾶκτρον ἀπεκρέμασε.
καί μοι φθόγγον ἑτοῖμον ὁπανίκα καιρὸς ἀπήτει,
εἰς ἀκοὰς ῥυθμῶν τὠτρεκὲς ὐκ ἔμενε.
καί τις ἀπ' αὐτομάτω κιθάρας ἐπὶ πῆχυν ἐπιστὰς
τέττιξ ἐπλήρυ τὐλλιπὲς ἁρμονίας.
νεῦρα γὰρ ἐξετίνασσον· ὅθ' ἑβδομάτας δὲ μελοίμαν
χορδᾶς, τὰν τύτω γῆρυν ἐκιχράμεθα.
πρὸς γὰρ ἐμὰν μελέταν ὁ μεσαμβρινὸς ὔρεσιν ᾠδὰ
τῆνο τὸ ποιμενικὸν φθέγμα μεθηρμόσατο,
καὶ μὲν ὅκα φθέγγοιτο, σὺν ἀψύχοις τόκα νευραῖς
τῷ μεταβαλλομένῳ συμμετέπιπτε θρόῳ.
τὔνεκα συμφώνῳ μὲν ἔχω χάριν· ὃς δὲ τυπωθεὶς
χάλκεος ἁμετέρας ἕζεθ' ὑπὲρ κιθάρας.

## CLXXVI.

Σκάπτειραν κήποιο φιλυδρήλοιο δίκελλαν,
καὶ δρεπάνην καυλῶν ἀγκύλον ἐκτομίδα,
τήν τ' ἐπινωτίδιον βροχετῶν ῥακόεσσαν ἀρωγὸν,
καὶ τὰς ἀῤῥήκτυς ἐμβάδας ὠμοβοεῖς,
τόν τε δι' εὐτρήτοιο πέδυ δύνοντα κατ' ἰθὺ p. 186.
ἀρτιφυῦς κράμβης πάσσαλον ἐμβολέα,
καὶ σκάφος ἐξ ὀχετῶν πρασιὴν διψεῦσαν ἐγείρειν
αὐχμηροῖο θέρευς ὔ ποτε παυσάμενον,
σοί τοι κηπωρὸς Ποτάμων ἀνέθηκε, Πρίηπε,
κτησάμενος ταύτης ὄλβον ἀπ' ἐργασίης.

CLXXV. 8. Vulg. ἐπλήρυ τὠτρεκὲς ἁρμονίης. 10. Cod. Vat. τὰν τύτων. 15. Vat. Cod. συμφωνῶν.

T. III.

## CLXXVII.

Ἀλκιμένης ὁ πενιχρὸς ἐπὶ σμικρῷ τινι κήπῳ
τοῦ φιλοκαρποφόρου γευσάμενος θέρεος,
ἰσχάδα καὶ μῆλον καὶ ὕδωρ γέρα Πανὶ κομίζων,
εἶπε· Σύ μοι βιότου τῶν ἀγαθῶν ταμίας,
ὧν τὰ μὲν ἐκ κήποιο, τὰ δ' ὑμετέρης ἀπὸ πέτρης
δέξο, καὶ ἀντιδιδοὺς δὸς πλέον ὧν ἔλαβες.

## CLXXVIII.

Υἱὸς Δινύττα Δάμαρχος τήνδ' ἀνέθηκεν
εἰκόν' ἀπ' Ἀρκαδίας Παῤῥάσιος γενεάν.

## CLXXIX.

Πάντως ὁ χρόνος εὗρε δίκην ἀδίκῳ βασιλῆϊ·
εὗρε δὲ Μεσσήνης τὸν Διὶ τὸν προδότην
ῥηϊδίως· χαλεπὸν δὲ λαθεῖν θεὸν ἄνδρ' ἐπίορκον.
χαῖρε Ζεῦ βασιλεῦ, καὶ σάου Ἀρκαδίαν.

## CLXXX.

Λαοδίκης ὅδε πέπλος, ἑᾷ δ' ἀνέθηκεν Ἀθηνᾷ
πατρίδ' ἐς εὐρύχορον Κύπρου ἀπὸ Ζαθέας.

p. 187.

## CLXXXI.

Ἐν πολυθαήτῳ τεμένει Διὸς ὑψιμέδοντος
ἕστηκ', ἀνθέντων δημοσίᾳ Σαμίων.

---

Ἀθάνατον πάτρᾳ καὶ Ἀριστοκρίτῳ κλέος ἔργων,
Λύσανδρ' ἐκτελέσας, δόξαν ἔχεις ἀρετᾶς.

## CLXXXII.

Οἰνία Οἰβώτας στάδιον νικῶν ὅδ' Ἀχαιὸς
πατρίδα Παλείαν θῆκ' ὀνομαστοτέραν.

## CLXXXIII.

T. III.

Ενθάδ' ἄναξ ἥρως Φύταλός ποτε δέξατο σεμνὴν
Δήμητραν, ὅτε πρῶτον ὀπώρας καρπὸν ἔφηνεν,
ἣν ἱερὰν συκῆν θνητῶν γένος ἐξονομάζει,
ἐξ ὗ δὴ τιμὰς Φυτάλυ γένος ἔσχεν ἀγήρως.

## CLXXXIV.

Επὶ τῷ ἀνδριάντι Επαμινώνδυ.

Ημετέραις βυλαῖς Σπάρτη μὲν ἐκείρατο δόξαν,
Μεσσήνη δ' ἱερὰ τέκνα χρόνῳ δέχεται,
Θῆβαι δ' ὅπλοισι μεγάλη πόλις ἐστεφάνωται,
αὐτόνομος δ' Ελλὰς πᾶσ' ἐν ἐλευθερίῃ.

## CLXXXV.

Εἰς τὴν δάμαλιν τὴν ἱσταμένην πέραν Βυζαντίυ ἐν Χρυσοπόλει.

Ιναχίης ὐκ εἰμὶ βοὸς τύπος, ὐδ' ἀπ' ἐμεῖο
κλήζεται ἀντωπὸν Βοσπόριον πέλαγος.
κείνην γὰρ τὸ πάροιθε βαρὺς χόλος ἤλασεν Ηρης
ἐς Φάρον· ἥδε δ' ἐγὼ Κεκροπίς εἰμι νέκυς.
εὐνέτις ἦν δὲ Χάρητος· ἔπλων δ' ὅτ' ἔπλωεν ἐκεῖνος
τῇδε, Φιλιππείων ἀντίπαλος σκαφέων. p. 188.
Βοίδιον ὔνομα δ' ἦεν ἐμοὶ τότε· νῦν δὲ Χάρητος
εὐνέτις ἠπείροις τέρπομαι ἀμφοτέραις.

## CLXXXVI.

Ηλικίην παῖς εἰμὶ, βρέτας δ' ἐστήσατο Φῆλιξ,
Ηρακλέυς εἰκώ· οἶσθά με κἀκ Προδίκυ.

CLXXXIV. 3. Scr. Θηβῶν δ' ὕπλοισι Μεγάλη π.
CLXXAV. 7. Cod. Vat. βοΐδιον δὲ καλεύμαν.

T. III.

## CLXXXVII.

Τὸν Διὸς Αλκμήνης τε γόνον τιμαῖσιν ἀέξων
 υἱὸς Λασθενέος στῆσεν ἄγαλμα τόδε,
μνήμην ἀθάνατον σώζων πατρός τε καὶ αὐτοῦ
 Λαφανέος, κλεινῷ Λοξίου ἐν τεμένει.

## CLXXXVIII.

Κλασθείσας πάτρας σεισμῷ ποτὲ, Κάνταβριν ἐς γᾶν
 Χαιρήμων ἔπτα, πατρίδα ῥυσόμενος·
Καίσαρι δ᾽ εἰλιχθεὶς περὶ γούνασι, τὰν μεγάλαυχον
 ὤρθωσε Τράλλιν, τὰν τότε κεκλιμέναν.
ἀνθ᾽ ὧν συγγενές οἱ τοῦτο βρέτας, οὗρ᾽ ἐπὶ βωμῷ,
 οἷά γε δὴ κτίστας, τάνδε φέροιτο χάριν.

## CLXXXIX.

Νηὸν μὲν σιγαλόεντα Σαράπιδος ὑψιμέδοντος,
 ἠδ᾽ αὐτὸν χρυσοῦ παμφανόωντα βολαῖς,
στήσαντο ζάκορός τε Διόσκορος, ἠδὲ Κυρίλλα
 εὐνέτις, ἡ μακάρων μή ποτε ληθομένη,
καὶ δύο τῆς αὐτῆς γενεῆς ἕνα θεσμὸν ἔχοντες,
 οἷσι μέμηλε κλυτῆς ἔργα νεωκορίης.

p. 189.

## CXC.

Μητέρι τῇ πάντων Ῥείῃ, τεκέων τε γενέθλῳ,
 Αττει θ᾽ ὑψίστῳ καὶ συνιέντι τὸ πᾶν,
τῷ πᾶσιν καιροῖς θεμερώτερα πάντα φύοντι,
 κριοβόλου τελετῆς ἠδ᾽ ἔτι ταυροβόλου
μυστιπόλος τελέθων, τοῦτον συνθήκατο βωμὸν,
 δῶρον Απόλλωνος θεῖον ἔχων ἐπίκλην.

## CXCI. T. III.

Ἐκ δεκάπεντ' ἀνδρῶν Φοίβου τε φανηφόρος ἱρεὺς
Κρήσκηνς, ἠγάθεός τε Λεόντιος, ἔνσοφοι ἄνδρες,
ὃς μὲν ἀπ' ἀντολίης, ὃς δ' ἄρ' ἀφ' ἑσπερίης,
ὄργια συνρέξαντε θεᾷ παμμήτορι Ῥείῃ
κριοβόλου τελέτης καὶ ταυροβόλοιο φερίστης,
ἤμασι μυστιπόλοις βωμὸν ὑπερτίθεσαν.

## CXCII.

Καὶ γὰρ ἐγὼ κείνων εἴμ', ὦ ξένε, λείψανον οἴκων,
στῦλος ἐν Οἰνομάου πρίν ποτ' ἐνοῦσα δόμοις·
νῦν δὲ παρὰ Κρονίδην κεῖμαι τάδ' ἔχουσα τὰ δεσμὰ
τίμιος· οὐδ' ὀλοὴ δαίσατο φλόξ με πυρός.

## CXCIII.

Εἰς τὸ Κυψελιδῶν ἀνάθημα ἐν Ὀλυμπίᾳ.

Αὐτὸς ἐγὼ χρυσοῦς σφυρήλατός εἰμι κόλοσσος.
ἐξώλης εἴη Κυψελιδῶν γενεά.

## CXCIV.

Σοὶ πλάκα τήνδ' ἀνέθηκα, κόρη Διὸς ὑδατόεσσα,
πηγὴ Νυμφάων ἄφθιτε, νᾶμα φίλον·
ἔνθα πάλαι βασιλῆες ἀπὸ πτολέμοιο καμόντες p. 190.
ἔγχεα καὶ κόρυθας κάτθεσαν ἱππολόφους,
ἐξ οὗ δὴ Δορύναμα τεὸς λάχεν οὔνομα χῶρος,
χῶρος ἐλαιηρῇ τερπόμενος λιβάδι.
πάντα δέ σοι νῦν ταῦτα δι' ἐργατίναις παλάμαισι
τρισσὸν ὑπὸ λυκάβαν Γραμματικὸς τελέει.

T. III.

## CXCV.

Εἰς πηγὴν ἐν τῷ Ολύμπῳ ὄρει.

Ταῖς Προύσης Νύμφαις ὑποείκομεν, ἀλλὰ καὶ αὐταὶ
κρείσσονες ἡμείων χαίρετε Πυθιάδες·
αἱ δ' ἄλλαι πᾶσαι μετὰ Πύθια καὶ μετὰ Προῦσαν
ἡμετέραις Νύμφαις εἴξατε Νηϊάδες.

## CXCVI.

Εἴ τις ἀπάγξασθαι μὲν ὀκνεῖ, θανάτου δ' ἐπιθυμεῖ,
ἐξ Ἱεραπόλεως ψυχρὸν ὕδωρ πιέτω.

## CXCVII.

Εἰς τὴν Σαλμακίδα.

Εἰ μὲν ἀνὴρ ἥκεις, ἄρυσαι ξένε τῆσδ' ἀπὸ πηγῆς·
εἰ δὲ φύσει μαλακὸς, μή με πίῃς πρόφασιν.
ἄῤῥεν ἐγὼ ποτόν εἰμι, καὶ ἀνδράσι μοῦνον ἀρέσκω.
τοῖς δὲ φύσει μαλακοῖς ἡ φύσις ἐστὶν ὕδωρ.

## CXCVIII.

Ἀγρότα, σὺν ποίμναις τὸ μεσαμβρινὸν ἤν σε βαρύνῃ
δίψος, ἀν' ἐσχατιὰς Κλείτορος ἐρχόμενον,
p. 191. τῆς μὲν ἀπὸ κρήνης ἄρυσαι πόμα, καὶ παρὰ Νύμφαις
Ὑδριάσι στῆσον πᾶν τὸ σὸν αἰπόλιον.
ἀλλὰ σὺ μήτ' ἐπὶ λουτρὰ βάλῃς χροΐ, μή σε καὶ αὔρη
πημήνῃ, θερμῆς ἐντὸς ἐόντα μέθης·
φεῦγε δ' ἐμὴν πηγὴν μισάμπελον, ἔνθα Μελάμπους
λυσάμενος λύσσης Προιτίδας ἀργαλέης,
πάντα καθαρμὸν ἔκοψεν ἀπόκρυφον, εὖτ' ἂν ἀπ' Ἄργους
οὔρεα τρηχείης ἤλυθεν Ἀρκαδίης.

## CXCIX. T. III.

Ἡδεῖα ψυχροῖο ποτοῦ λιβὰς, ἣν ἀναβάλλει
πηγή. ἀλλὰ νόῳ πέτρος ὁ τῆσδε πιών.

## CC.

Ὕδατα ταῦτα βλέπεις φοβερὰ, ξένε, τῶν ἄπο χερσὶ
λυτρὰ μὲν ἀνθρώποις ἀβλαβῆ ἐστιν ἔχειν·
ἢν δὲ βάλῃς κοίλης ποτὶ νηδύος ἀγλαὸν ὕδωρ,
ἄκρα μόνον δολιχοῦ χείλεος ἀψάμενος,
αὐτῆμαρ πριστῆρες ἐπὶ χθονὶ δαιτὸς ὀδόντες
πίπτουσι, γενύων ὀρφανὰ θέντες ἕδη.

## CCI.

Νᾶμα τὸ Διηνὸν, γλυκερὸν ποτόν· ἢν δέ γε πίῃς,
παύσῃ μὲν δίψης, εὐθὺ δὲ καὶ βιότου.

## CCII.

Ταῖς Νύμφαις τόδ' ἄγαλμα· μέλοι δ' αὐταῖσιν ὁ χῶρος.
ναὶ μέλοι, ὡς κρήναις ἄφθιτα ῥεῖθρα ῥέοι.

## CCIII. p. 192.

Οὔριον ἐκ πρύμνης τὶς ὁδηγητῆρα καλείτω
Ζῆνα, κατὰ προτόνων ἱστίον ἐκπετάσας·
εἴτ' ἐπὶ Κυανέας δίνας δρόμος, ἔνθα Ποσειδῶν
καμπύλον εἱλίσσει κῦμα παρὰ ψαμάθοις,
εἴτε κατ' Αἰγαίην πόντου πλάκα νόστον ἐρευνᾷ,
νείσθω, τῷδε βαλὼν ψαιστὰ παρὰ ξοάνῳ.
ὧδε τὸν εὐάντητον ἀεὶ θεὸν Ἀντιπάτρου παῖς
στῆσε Φίλων, ἀγαθῆς σύμβολον εὐπλοΐης.

CCI. 1. Scr. πίνῃς.

T. III.

## CCIV.

Εἰς τὸν ἐν Μεγάροις κιθαριστὴν λίθον.

Τόν με λίθον μέμνησο τὸν ἠχήεντα, παρέρπων
Νισαίην· ὅτε γὰρ τύρσιν ἐτειχοδόμει
Ἀλκάθοος, τότε Φοῖβος ἐπωμαδὸν ἦρε δομαῖον
λᾶα, Λυκωρείην ἐνθέμενος κιθάρην.
ἔνθεν ἐγὼ λυραοιδός· ὑποκρούσας δ' ἐμὲ λεπτῇ
χερμάδι, τοῦ κόμπου μαρτυρίην κόμισαι.

## CCV.

Εἰς εἰκόνα Φαΰλλου πεντάθλου Κροτωνιάτου.

Πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος·
δίσκευσε δ' ἑκατὸν πέντ' ἀπολειπομένων.

## CCVI.

Ἐπί τινος ἔργου ἐπιγεγραμμένον ἐν Πυθοῖ.

Τεῦξ' Ἑλικὼν Ἀκεσᾶ Σαλαμίνιος, ᾧ ἐνὶ χερσὶ
πότνια θεσπεσίην Παλλὰς ἔτευξε χάριν.

p. 193.

## CCVII.

Νάξιος εὐεργὸς με γένει Λητοῦς πόρε, Βύζεω
παῖς, ὃς πρώτιστος τεῦξε λίθου κέραμον.

## CCVIII.

Ἐπὶ τῷ Ἀθήνησιν ἀνδριάντι Κλεοίτου.

Ὃς τὴν ἱππάφεσιν σεῦ, Ὀλυμπία, εὕρατο πρῶτος,
τεῦξέ με Κλεοίτας υἱὸς Ἀριστοκλέους.

## CCIX.

Ἐπὶ τῇ εἰκόνι Αἰτωλοῦ ἐν Θερμοῖς τῆς Αἰτωλίας.

Χώρης οἰκιστῆρα, παρ' Ἀλφειοῦ ποτε δίναις
θρεφθέντα, σταδίων γείτον' Ὀλυμπιάδος,

Ενδυμίωνος παῖδ' Αἰτωλὸν τόνδ' ἀνέθηκαν T. III.
Αἰτωλοὶ, σφετέρας μνῆμ' ἀρετῆς ἐσορᾶν.

## CCX.

Επὶ τῷ Οξύλȣ ἀνδριάντι ἐν τῇ ἀγορᾷ τῶν Ηλείων.

Αἰτωλός ποτε τόνδε λιπὼν αὐτόχθονα δῆμον
κτήσατο Κȣρῆτιν γῆν δορὶ, πολλὰ καμών·
τῆς δ' αὐτῆς γενεᾶς δεκατόσπορος Αἵμονος υἱὸς
Οξυλος ἀρχαίην ἔκτισε τήνδε πόλιν.

## CCXI.

Επὶ τῇ Κλέωνος τȣ ᾠδȣ εἰκόνι ἐν Θήβαις.

Πυθέα υἱὸς ὅδ' ἐςὶ Κλέων Θηβαῖος ἀοιδὸς,
ὃς πλείςȣς θνητῶν ἀμφέθετο ςεφάνȣς
κρατὸς ἐπὶ σφετέροιο, καί οἱ κλέος ȣ̓ρανόμηκες. p. 194.
χαῖρε Κλέων, Θήβας πατρίδ' ἐπευκλείσας.

## CCXII.

Εἰς ἀνδριάντα Προνόμȣ τȣ Θηβαίȣ αὐλητȣ.

Ελλὰς μὲν Θήβας προτέρας προὔκρινεν ἐν αὐλοῖς·
Θῆβαι δὲ Πρόνομον παῖδα τὸν Οἰνιάδȣ.

## CCXIII.

Επὶ τῷ Αθήνησιν πρὸς τῇ Ακαδημίᾳ Ερωτι.

Ποικιλόμήχαν' Ερως, σοὶ τόνδ' ἱδρύσατο βωμὸν
Χάρμος ἐπὶ σκιεροῖς τέρμασι γυμνασίȣ.

## CCXIV.

Εἰμὶ Χάραξ ἱερεὺς γεραρῆς ἀπὸ Περγάμȣ ἄκρης,
ἔνθα ποτὲ πτολέμιζεν Αχιλλῆϊ πτολιπόρθῳ
Τήλεφος Ηρακλῆος ἀμύμονος υἱὸς ἀμύμων.

T. III. CCXV.

Τὸν κρατερὸν Βύζαντα καὶ ἱμερτὴν Φιδάλειαν
εἰν ἑνὶ κοσμήσας ἄνθετο Καλλιάδης.

CCXVI.

Ἱμερτὴ Φιδάλεια δάμαρ Βύζαντος ἐτύχθην·
εἰμὶ δὲ βουπάλεως δῶρον ἀεθλοσύνης.

CCXVII.

Τίς σε, Δικαιοσύνη, βροτὸς ἤκαχεν; βοῦτος ὁ κλέπτης
ἐνθάδε με στήσας, οὐδὲν ἔχων πρὸς ἐμέ.

p. 195. ΕΙΣ ΤΗΝ ΜΥΡΩΝΟΣ ΒΟΥΝ.

CCXVIII.

Τὰν βοῦν τάνδ᾽ ὁ Μύρων, ξεῖν᾽, ἔπλασεν, ἣν ὅδε μόσχος
ὡς ζῶσαν σαίνει ματέρα δερκόμενος.

CCXIX.

Βοίδιόν εἰμι Μύρωνος, ἐπὶ στήλης δ᾽ ἀνάκειμαι.
βουκόλε, κεντήσας εἰς ἀγέλην μ᾽ ἄπαγε.

CCXX.

Τίπτε, Μύρων, με τὸ βοίδιον ἐνταυθοῖ παρὰ βωμοῖς
ἥδρασας; οὐκ ἐθέλεις εἰσαγέμεν μέγαρον;

CCXXI.

Τὰν δάμαλιν, βουφορβὲ, παρέρχεο, μηδ᾽ ἀπάνευθε
συρίσδῃς· μαστῷ πόρτιν ὑπεκδέχεται.

CCXX. 2. ἥδρασας in uno Regg. est. Vat. Cod. ἔστασας.

## CCXXII. T. III.

Α μόλιβος κατέχει με καὶ ἁ λίθος· εἵνεκα δ᾽ ἂν σεῦ,
πλάςα Μύρων, λωτὸν καὶ θρίον ἐδρεπόμαν.

## CCXXIII.

Βοῦν ἰδίαν ποτὲ βουσὶ Μύρων μιχθεῖσαν ἐρευνᾷ·
εὗρε μόλις δ᾽ αὐτὴν, τὰς βόας ἐξελάσας.

## CCXXIV.

Α βοῦς ἁ τίκτουσ᾽ ἀπὸ γαςέρος ἔπλασε τὰν βοῦν·
ἃ δὲ Μύρωνος χεὶρ οὐ πλάσεν, ἀλλ᾽ ἔτεκε.

## CCXXV. p. 196.

Καὶ χαλκῆ περ ἐοῦσα λάλησεν ἂν ἡ κεραὴ βοῦς,
εἴ οἱ σπλάγχνα Μύρων ἔνδον ἐτεχνάσατο.

## CCXXVI.

Οὐχὶ Μύρων σὺ πλάσας τόνδ᾽ ἔφθασας· ἀλλά σε χαλκὸς,
πρὶν ψυχὴν βαλέειν, ἔφθασε πηγνύμενος.

## CCXXVII.

Βουκόλε; τὰν ἀγέλαν πόῤῥω νέμε, μὴ τὸ Μύρωνος
βοίδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

## CCXXVIII.

Βοίδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ᾽ ὑπὸ γήρως
χαλκωθὲν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.

## CCXXIX.[a]

Χάλκεος ἧς, ἐπὶ σοὶ δὲ γεωπόμος εἵλκεν ἄροτρον,
καὶ ζυγόδεσμα φέρε ψευδομένᾳ δαμάλει.

CCXXII. 1. Fort. ὁ μόλιβος. 2. Scr. θρύον.
CCXXVI. 1. Cod. φεῦ Μύρων πλάσας ὀκ ὕφθ.

T. III. ἀλλὰ Μύρων τέχνᾳ πανυπείροχος, ὅς σε δι᾽ ἔργων
ἔμπνοον, ὥς τινα βῦν ἐργάτιν, εἰργάσατο.

p. 333. CCXXIX. b

Εἰς βῦν καὶ τράγον ἐπὶ πίνακος ἀργυρῦ ἐγκεκολλημμένυς.

α Πῶς βῦς ὑπάρχων, αὔλακας γῆς ὐ τέμνεις,
ἀλλ᾽ ὡς πάροινος ἀγρότης ἀνεκλίθης;
β πῶς δ᾽ ὐχὶ καὶ σὺ πρὸς νομὰς ἀποτρέχεις,
ἀλλ᾽ ἀργυρῦν εἴδωλον ἕστηκας, τράγε;
α ἕστηκα τὴν σὴν ἐξελέγχων ἀργίαν.

p. 196. CCXXX.

Εἰς Πανὸς ἄγαλμα.

Ω Πὰν, φερβομέναις ἱερὰν φάτιν ἄπυε ποίμναις,
κυρτὸν ὑπὲρ χρυσέων χεῖλος ἱεὶς δονάκων,
ὄφρ᾽ αἱ μὲν λευκοῖο βεβριθόσι δῶρα γάλακτος
ὔθασιν ἐς Κλυμένυ πυκνὰ φέρωσι δόμον,
σοὶ δὲ καλῶς βωμοῖσι παριστάμενος πόσις αἰγῶν
φοίνιον ἐκ λασίυ στήθεος αἷμ᾽ ἐρύγῃ.

p. 197. CCXXXI.

Εἰς ἄγαλμα Πριάπυ.

Ην λαχάνων ἐ᾽ ὁ Πρίηπος ἴδω σχεδὸν ἴχνια θέντα,
αὐτῇ γυμνώσω, φώρ, σὲ ποτὶ πρασιῇ.
αἰσχρὸν ἔχειν τῦτ᾽ ἔργον ἐρεῖς θεόν. οἶδα καὶ αὐτός·
αἰσχρόν. ἀφιδρύνθην δ᾽ ἴσθ᾽ ὅτι τῦδε χάριν.

CCXXX. 3. Vulgo βεβριθότα.

## CCXXXII.

Εἰς τὸ αὐτό.

Τοὐμπρασίῃ φύλακος μακρὰν ἀποτῆλε φύλαξαι.
τοῖος ἔγ' εἰμὶ κύων, ὦ παρ' ἐμ' ἐρχόμενε,
σύκινος, οὐ ῥυκάνῃ πεπονημένος, οὐδ' ἀπὸ μίλτου,
ἀλλ' ἀπὸ ποιμενικῆς αὐτομαθοῦς ξοΐδος.
ἀχρείως γέλασον· φυτὰ δ' εὔκηλος πεφύλαξο
σίνεσθαι, μὴ καὶ σαρδάνιον γελάσῃς.

## CCXXXIII.

Εἰς ἄγαλμα Ἑρμοῦ.

Ὁ λῷστε, μὴ νόμιζε τῶν πολλῶν ἕνα
Ἑρμᾶν θεωρεῖν. εἰμὶ γὰρ τέχνα Σκόπα.

## CCXXXIV.

Εἰς Ἑρμαῖον λόφον.

Ἱερὸν Ἑρμείῃ με παραστείχοντες ἔχευαν
ἄνθρωποι λίθινον σωρόν· ὁ δ' ἀντ' ὀλίγης
οὐ μεγάλην αὐτοῖς ἔγνω χάριν· ἀλλ' ὅτι λοιπὰ
Αἰγὸς ἐπὶ κρήνης ἑπτὰ λέγω στάδια.

## CCXXXV.

p. 198.

Εἰς ἄγαλμα Ἑρμοῦ.

Ὁδῖτα, μὴ πρόσεργε πρὸς τὰ κλήματα,
μηδ' αὖ τὰ μῆλα, μηδ' ὅπῃ τὰ μέσπιλα·
τηνεὶ δὲ πρὸς τὴν σχοῖνον ἐξαμείβεο,
ὡς μή τι θράξῃς τῶνδε, μήτ' ἀποθρίσῃς,

CCXXXII. 2. Edit. Flor. et duo regii τοῖος ὁ κύων ὃν ὁρᾷς.
3. Vulgo οὐ ῥίνῃ πεπ. 5. Vulgo ἀγρεῖος γέλασεν· μετὰ δ' εὐκλείας π.
CCXXXIV. 4. Scr. λέγει.

T. III. ἃ σὺν πόνῳ φυτουργὸς ἔκτηται Μίδων,
ὃς κἀμὲ θῆκεν. ἢν δέ μευ παρακλύῃς,
γνώσῃ τὸν Ερμῆν, ὡς κακοὺς ἀμείβομαι.

## CCXXXVI.

Οχθηρὸν τὸν χῶρον ἔχω καὶ ἔρημον, ὁδῖτα,
οὐκ ἐγὼ, ὁ στάσας δ' αἴτιος Αρχέλοχος.
οὐ γὰρ ὀρειοχαρὴς ὦ 'ρμᾶς, οὐδ' ἀκρολοφίτας,
τὸ πλεῦν δ' ἀτραπιτοῖς, ὦ 'νερ, ἀρεσκόμενος·
Αρχέλοχος δ', ὡς αὐτὸς ἐρημοφίλας καὶ ἀγείτων,
ὦ παριὼν, τοῖον κἀμὲ παρῳκίσατο.

## CCXXXVII.

Ερμῆν τὸν κλέπτην τίς ὑφείλετο; θερμὸς ὁ κλέπτης,
ὃς τῶν φιλητέων ᾤχετ' ἄνακτα φέρων.

## CCXXXVIII. a

Εἰς τὸν ἐν Ρόδῳ Κολοσσόν.

Αὐτῷ σοι πρὸς Ολυμπον ἐμακύναντο κολοσσὸν
τόνδε Ρόδου ναέται Δωρίδος, Αέλιε,
χάλκεον, ἁνίκα κῦμα κατευνάσαντες Ενυοῦς
ἔστεψαν πάτραν δυσμενέων ἐνάροις.
p. 199. οὐ γὰρ ὑπὲρ πελάγευς μόνον ἄνθεσαν, ἀλλὰ καὶ ἐν γᾷ,
ἁβρὸν ἀδουλώτου φέγγος ἐλευθερίας.
τοῖς γὰρ ἀφ' Ηρακλῆος ἀεξηθεῖσι γενέθλας
πάτριος ἐν πόντῳ κἠν χθονὶ κοιρανία.

## CCXXXVIII. b

Αγνὸν χρὴ νηοῖο θυώδεος ἐντὸς ἰόντα
ἔμμεναι· ἁγνείη δ' ἔστι, φρονεῖν ὅσια.

CCXXXIX. T. III.

Ἱρὰ θεῶν ἀγαθοῖς ἀναπέπταται, οὐδὲ καθαρμῶν
χρειώ. τῆς ἀρετῆς ἥψατο οὐδὲν ἄγος.
ὅστις δ' οὖλοδν ἦτορ, ἀπόστιχε. οὔ ποτε γὰρ σὴν
ψυχὴν ἐκνίψεις, σῶμα διαινόμενος.

CCXL.

Ἁγνῶς ἐς τέμενος καθαροῦ, ξένε, δαίμονος ἔρχου,
ψυχὴν νυμφαίου νάματος ἁψάμενος.
ὡς ἀγαθοῖς κεῖται βαιὴ λιβάς· ἄνδρα δὲ φαῦλον
οὐδ' ἂν ὁ πᾶς νίψαι νάμασιν Ὠκεανός.

CCXLI.

Εἰς ὡρολόγιον.

Ὡρευνὸν ἁ χαρεῦσα σοφὰ λίθος, ἁ διὰ τυτθοῦ
γνώμονος ἀελίῳ παντὶ μερισδομένα.

CCXLII.

Ἓξ ὧραι μόχθοις ἱκανώταται· αἱ δὲ μετ' αὐτὰς
γράμμασι δεικνύμεναι ΖΗΘΙ λέγουσι βροτοῖς.

CCXLIII.

Εἰς ἄγαλμα Ἡφαίστου, Ἀθηνᾶς, καὶ Ἐρεχθέως.

Ἡ τέχνη συνάγειρεν ἃ μὴ φύσις, εἶπεν ὁ πλάστης,
μῆτερ νόσφι τόκων, νυμφίε νόσφι γάμων.

CCXLIV. p. 200.

Εἰς εἰκόνα Ἄρεος καὶ Ἀφροδίτης.

Ἄρεα καὶ Παφίην ὁ ζωγράφος ἐς μέσον οἴκου
ἀμφιπεριπλέγδην γέγραφεν ἀμφοτέρους·

CCXXXIX. 4. Vulgo ψυχὴν ἐκνίψει σῶμα μαινομένην.

T. III. ἐκ θυρίδος δὲ μολὼν Φαέθων πολυπάμφαος αἴγλῃ
ἔστη ἀμηχανέων ἀμφοτέρους σκοπέων.
Ἥλιος βαρύμηνις ἕως τίνος; οὐδ' ἐπὶ κούρου
ἤθελεν ἀψύχου τὸν χόλον ἐξελάσαι.

## CCXLV.

Εἰς τὸ Ἀφροδίτης ἄγαλμα ἐν Κνίδῳ.

Τίς λίθον ἐψύχωσε; τίς ἐν χθονὶ Κύπριν ἐσεῖδεν;
ἵμερον ἐν πέτρῃ τίς τόσον εἰργάσατο;
Πραξιτέλους χειρῶν ὅδε που πόνος, ἢ τάχ' Ὄλυμπος
χηρεύει, Παφίης εἰς Κνίδον ἐρχομένης.

## CCXLVI.

Α Κύπρις τὰν Κύπριν ἐνὶ Κνίδῳ εἶπεν ἰδοῦσα·
φεῦ, φεῦ, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;

## CCXLVII.

Γυμνὴν εἶδε Πάρις με, καὶ Ἀγχίσης, καὶ Ἄδωνις.
τοὺς τρεῖς οἶδα μόνους. Πραξιτέλης δὲ πόθεν;

## CCXLVIII.

Εἰς τὸ αὐτὸ, καὶ τὸ ἐν Ἀθήναις Παλλάδος ἄγαλμα.

Ἀφρογενοῦς Παφίης ζάθεον περιδέρκεο κάλλος,
καὶ λέξεις· Αἰνῶ τὸν Φρύγα τῆς κρίσεως.
p. 201. Ἀτθίδα δερκόμενος πάλι Παλλάδα, τοῦτο βοήσεις·
Ὡς βούτης ὁ Πάρις τήνδε παρετρόχασε.

## CCXLIX.

Εἰς τὴν ἐν Σπάρτῃ ἔνοπλον Ἀφροδίτην.

Παλλὰς τὰν Κυθέρειαν ἔνοπλον ἔειπεν ἰδοῦσα·
Κύπρι, θέλεις οὕτως ἐς κρίσιν ἐρχόμεθα;

ἡ δ' ἁπαλὸν γελάσασα· Τί μοι σάκος ἀντίον αἴρειν; T. III.
εἰ γυμνὴ νικῶ, πῶς ὅταν ὅπλα λάβω;

## CCL.

Εἰς ἄγαλμα Διονύσου πλησίον Ἀθηνᾶς ἱερᾶς.

ᵃΕἰπὲ, τί σοι ξυνὸν καὶ Παλλάδι; τῇ γὰρ ἄκοντες
καὶ πόλεμοι πάρα· σοὶ δ' εὔαδον εἰλαπίναι.
ᵝμὴ προπετῶς, ὦ ξεῖνε, θεῶν πέρι τοῖα μετάλλα·
ἴσθι δ' ὅσοις ἴκελος δαίμονι τῇδε πέλω.
καὶ γὰρ ἐμοὶ πολέμων φίλιον κλέος· οἶδεν ἅπας μοι
ἠῴυ δμηθεὶς Ινδὸς ἀπ' Ωκεανῶ.
καὶ μερόπων δὲ φυὴν ἐγεραίραμεν, ἡ μὲν, ἐλαίῃ,
αὐτὰρ ἐγὼ γλυκεροῖς βότρυσιν ἡμερίδος,
καὶ μὴν ὐδ' ἐπ' ἐμοὶ μήτηρ ὠδῖνας ὑπέτλη·
λῦσα δ' ἐγὼ μηρὸν πάτριον, ἡ δὲ, κάρη.

## CCLI.

Εἰς ἄγαλμα Διονύσου καὶ Ηρακλέους.

Αμφότεροι Θήβηθε, καὶ ἀμφότεροι πολεμισταὶ,
κἠκ Διός. ὃς θύρσῳ δεινὸς, ὁ δὲ ῥοπάλῳ.
ἀμφοῖν δὲ στῆλαι συντέρμονες. εἴκελα δ' ὅπλα,
νεβρὶς, λεοντῆ· κύμβαλα δὲ, πλαταγή.
Ηρη δ' ἀμφοτέροις χαλεπὴ θεός. οἱ δ' ἀπὸ γαίης p. 202.
ἦλθον ἐς ἀθανάτυς, ἐκ πυρὸς ἀμφότεροι.

## CCLII.

Εἰς Ερμαφρόδιτον ἐν λουτρῷ ἱστάμενον.

Ανδράσιν Ερμῆς εἰμί· γυναιξὶ δὲ Κύπρις ὁρῶμαι.
ἀμφοτέρων δὲ φέρω σύμβολά μοι τοκέων.

CCLI. 2. Vulgo κἠκ Ζηνὸς· θύρσῳ δεινός. 4. Vulgo νεβρός.

T. III. τοὔνεκεν οὐκ ἀλόγως με τὸν Ερμαφρόδιτον ἔθεντο
ἀνδρογύνοις λουτροῖς, παῖδα τὸν ἀμφίβολον.

## CCLIII.

Εἰς Ερωτος ξόανον.

Μή με τὸν ἐκ λιβάνοιο λέγε, ξένε, τὸν φιλοκώμων
τερπόμενον νυχίοις ἠϊθέων ὀάροις.
βαιὸς ἐγὼ Νύμφης ἀπὸ γείτονος ἀγροιώτης,
μοῦνον ἐποτρύνων ἔργα φυτοσκαφίης.
ἔνθεν ἀπ' εὐκάρπου με φίλης ἔστεψαν ἀλωῆς
τέσσαρες ὡράων ἐκ πισύρων στέφανοι.

## CCLIV.

Εἰς ἄγαλμα Ηρας θηλαζούσης Ηρακλέα.

Αὐτὴν μητρυιὴν τεχνήσατο. τοὔνεκα μαζὸν
εἰς νόθον ὁ πλάστης οὐ προσέθηκε γάλα.

## CCLV.

Εἰς ἄγαλμα Νεμέσεως.

Η Νέμεσις προλέγει τῷ πήχεϊ, τῷ τε χαλινῷ,
μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

p. 203.

## CCLVI.

Η Νέμεσις πῆχυν κατέχω· τίνος εἵνεκα; λέξεις.
πᾶσι παραγγέλλω, ΜΗΔΕΝ ΥΠΕΡ ΤΟ ΜΕΤΡΟΝ.

## CCLVII.

Εἰς τὸ ἐν Ραμνοῦντι ἄγαλμα Νεμέσεως.

Καί με λίθον Πέρσαι δεῦρ' ἤγαγον, ὄφρα τρόπαιον
στήσωνται νίκας· εἰμὶ δὲ νῦν Νέμεσις.
ἀμφοτέροις δ' ἕστηκα, καὶ Ελλήνεσσι τρόπαιον
νίκας, καὶ Πέρσαις τοῦ πολέμου νέμεσις.

CCLVII. 2. Fort. στήσαιντο.

## CCLVIII.

Εἰς ὁλκὸν ὕδατος ἀψοφητὶ ῥέοντα, ἐφ' ᾧ ἵςατο ἄγαλμα Πανός.

Πᾶνά με τὸν δυσέρωτα καὶ ἐξ ὑδάτων φύγεν Ἠχώ.

## CCLIX.

Εἰς ἄγαλμα Πανὸς ἐπὶ πηγῆς ἱςάμενον.

Ἔρχευ καὶ κατ' ἐμὰν ἵζευ πίτυν, ἃ τὸ μελιχρὸν
πρὸς μαλακοὺς ἠχεῖ κεκλιμένα Ζεφύρους.
ἤνιδε καὶ κρούνισμα μελιςαγὲς, ἔνθα μελίσδων
ἡδὺν ἐρημαίοις ὕπνον ἄγω καλάμοις.

## CCLX.

Εἰς τὸ αὐτό.

Τᾷδε κατὰ χλοεροῖο ῥιφεὶς λειμῶνος, ὁδῖτα,
ἄμπαυσον μογεροῦ μαλθακὰ γυῖα πόνου,
ᾗχί σε καὶ Ζεφύροιο τινασσομένη πίτυς αὔραις
θέλξει, τεττίγων εἰσαΐοντα μέλος,
χὠ ποιμὰν ἐν ὄρεσσι μεσαμβρινὸν ἀγχόθι παγᾶς
συρίσδων, λασίας θάμνῳ ὕπο πλατάνου
καύματ' ὀπωρινοῖο φυγὼν κυνός· ἄλμα δ' ἀμείψεις
αὔριον. εὖ τόδε σοι Πανὶ λέγοντι πίθου.

p. 204.

## CCLXI.

Εἰς τὸ αὐτό.

Κρημνοβάταν, δίκερων, Νυμφέων ἡγήτορα Πᾶνα
ἀζόμεθ', ὃς πέτρινον τόνδε κέκευθε δόμον,
ἵλαον ἔμμεναι ἄμμιν, ὅσοι λίβα τήνδε μολόντες
ξεινάου πόματος, δίψαν ἀπωσάμεθα.

CCLXI. 2. Fort. τόνδε λέλογχε δ.

T. III.

## CCLXII.

Εἰς ἄλλον Πᾶνα.

Ἐξ αὐτȣ̃ Διός ἐςιν ὁ φίλτατος ἔκχυτος ȣ̃τος·
 μαρτυρίην δὲ φέρει τὴν ἐπάνω νεφέλην.
Ἑρμείαν γὰρ ἄνακτα τέκε νεφεληγερέτα Ζεύς·
 αὐτὰρ ὅ γ' Ἑρμείας Πᾶνα τὸν αἰγελάτην.

## CCLXIII.

Εἰς ἄλλον Πᾶνα.

Δικτύννης τοῖόν με καθ' ἱερὸν ἔμπυρον ὁ Κρὴς
 χάλκεον ἔςησε Πᾶνα τὸν αἰγόνυχα·
δέρμα δ' ἔχω, διπλȣ̃ν τε λαγωβόλον· ἐκ δέ γε κοίλας
 σπήλυγγος τείνω βλέμμα διπλȣ̃ν πρὸς ὄρος.

p. 205.

## CCLXIV.

Εἰς τὸ ἐν Ἀθήναις ἄγαλμα Πανός.

Πέτρης ἐκ Παρίης με πόλιν κατὰ Παλλάδος ἄκρην
 ςῆσαν Ἀθηναῖοι Πᾶνα τροπαιοφόρον.

## CCLXV.

Εἰς ἄγαλμα Ἀφροδίτης.

Δερκόμενος ξόανον καλὸν τόδε, τὰν Ἀφροδίταν,
 ὤνθρωφ', ἱλάσκευ πλατίον ἑσδόμενος·
αἴνει δὲ Γλυκέραν Διονυσίȣ, ἅ μ' ἀνέθηκε
 πορφυρέας ἁπαλὸν κῦμα παρ' ᾐονος.

## CCLXVI.

Εἰς Ἔρωτος ἄγαλμα.

Ὁ πτανὸς τὸν πτανὸν ἰδὼν, ἄγνυσι κεραυνὸν,
 δεικνὺς ὡς κρεῖσσον πῦρ πυρός ἐςιν Ἔρως.

CCLXIII. 3. Vulgo ἐκ δέ γε πέτρας σπ.
CCLXV. 4. Fort. πορφύρεον ἁπαλᾶς κ.

## CCLXVII.

T. III.

Πτανῷ πτανὸν Ἔρωτα τὸν ἀντίον ἔπλασ' Ἔρωτι
ἁ Νέμεσις, τόξῳ τόξον ἀμυνομένα,
ὥς κε πάθῃ τά γ' ἔρεξεν· ὁ δὲ θρασὺς, ὁ πρὶν ἀταρβὴς,
δακρύει, πικρῶν γευσάμενος βελέων.
ἐς δὲ βαθὺν τρὶς κόλπον ἀπέπτυσεν. ἆ μέγα θαῦμα.
φλέξει τις πυρὶ πῦρ· ἥψατ' Ἔρωτος Ἔρως.

## CCLXVIII.

Κἀγὼ Κύπριδος αἷμα· κασιγνήτῳ δ' ἐμὲ μήτηρ
ἤνεσε τόξα φέρειν ἀντία, καὶ πτέρυγας.

## CCLXIX.

p. 206.

Εἰς ἄγαλμα Ἀρτέμιδος.

Ἄρτεμι, ποῦ σοι τόξα, παραυχενίη τε φαρέτρη;
ποῦ δὲ Λυκαστείων ἔνδρομις ἀρβυλίδων,
πόρπη τε χρυσοῖο τετυγμένη, ἠδὲ πρὸς ἄκρην
ἰγνύην φοῖνιξ πέπλος ἑλισσόμενος;
κεῖνα μὲν εἰς ἄγρην ὁπλίζομαι· ἐς δὲ θυηλὰς
εἶμ' αὔτως, ἱρῶν ἀντομένη θυέων.

## CCLXX.

Εἰς Διονύσου ἄγαλμα.

Ἐκ πυρὸς, ὦ Διόνυσε, τὸ δεύτερον, ἡνίκα χαλκοῦς,
ἐξεφάνης· γενεὴν εὗρε Μύρων ἑτέρην.

## CCLXXI.

Εἰς Ἴσιδος ἄγαλμα.

Ἴσιδι καρποτόκῳ, ταχυμήτορι, μυριομόρφῳ,
λαϊνέῳ ταλάρῳ μογερῶν ἀπάνευθεν ἀρότρων
αὐτόματοι στείχουσιν ἑὴν πρὸς μητέρα καρποί.

CCLXX. 1. Vulgo χαλκῷ.

T. III.

## CCLXXII.

Εἰς Μώμου ἄγαλμα.

Τίς τὸν ἐν ἐσθλοῖσι πανυπενθέα, καὶ τρισάλαστον
Μῶμον ἀμωμήτοις χερσὶν ἀνεπλάσατο;
ὃς ὁ γέρων ἐπὶ γᾶς βεβλημένος, οἷά τις ἔμπνους,
ἐμπαύει λύπας, γυῖα βαρυνόμενος,
καὶ τὸ κατεσκληκὸς κεῖνος βάρος ᾇ μὲν ἐρείδει,
ψιλὸν γηραιᾷ χειρὶ βαλὼν κρόταφον,
p. 207. ᾇ δὲ σεσηρὼς βάκτρον ἀποστηρίζεται ἐς γᾶν,
καμφὰ πρὸς ἄψυχον πέτρον ἀπεχθόμενος.
μανύει δίστοιχος ὀλέθριον ὄγμος ὀδόντων
πριομένων ἐπὶ τὰς τῶν πέλας εὐτυχίας.

## CCLXXIII.

Εἰς τὸ αὐτό.

Τάκεο δυστάνων ὀνύχων ἄπο, παμφάγε Μῶμε,
τάκεο σὺ πρίων ἰοβόλους γένυας.
νεῦρά σε μανύει τετανυσμένα, καὶ φλέβες ἄρθρων,
καὶ κενεὰ σαρκῶν ψυχολιπὴς δύναμις,
καὶ ῥικνοῖς φρίσσουσα περὶ κροτάφοισιν ἔθειρα,
ὥστε τίς ἔμψυχον ἀνδρόσινιν ἄνυσε τέχνα,
οὐδὲ τύπον, δῆκτα, σεῖο λιπὼν στόματι;

## CCLXXIV.

Εἰς Ἠχοῦς ἄγαλμα.

Ἀρκαδικὰ θεός εἰμι, παρὰ προθύροις δὲ Λυαίου
ναίω, φθεγγόμενον μῦθον ἀμειβομένα.

CCLXXII. 1. Vulgo πανεπενθέα. 5. Scr. κ. κρατὸς β. 9. Vulgo ὀλέθριος.

οὐκέτι γὰρ τυγέω, Βάκχε φίλε, τὸν θιασώταν T. III.
τὸν τεόν. ἔρχεο Πὰν, ξυνὰ λέγωμεν ἔπη.

## CCLXXV.

Εἰς Σκύλλαν χαλκῆν.

Εἰ μὴ χαλκὸς ἔλαμπεν, ἐμήνυε δ' ἔργον ἄνακτος
ἔμμεναι Ἡφαίστου δαιδαλέοιο τέχνης,
αὐτὴν ἄν τις Σκύλλαν ὀΐσατο τηλόθι λεύσσων p. 208.
ἑστάμεν, ἐκ πόντου γαῖαν ἀμειψαμένην·
τόσσον ἐπισσείει, τόσσον κότον ἀντία φαίνει,
οἷον ἀπὸ πελάγευς συγκλονέουσα νέας.

## CCLXXVI.

Εἰς Ἱπποκένταυρον.

Ἀνδρόθεν ἐκκέχυθ' ἵππος· ἀνέδραμε δ' ἱππόθεν ἀνὴρ,
ἀνὴρ νόσφι ποδῶν, κεφαλῆς δ' ἄτερ αἴολος ἵππος·
ἵππος ἐρεύγεται ἄνδρα, ἀνὴρ δ' ἀποπέρδεται ἵππον.

## CCLXXVII.

Εἰς εἰκόνα Σατύρου.

Ἡ σάτυρος τὸν χαλκὸν ὑπέδραμεν, ἢ διὰ τέχνης
χαλκὸς ἀναγκασθεὶς ἀμφεχύθη σατύρῳ.

## CCLXXVIII.

Εἰς Βάκχην ἐν Βυζαντίῳ.

Ἴσχετε τὴν Βάκχην, μὴ, λαϊνέη περ ἐοῦσα,
οὐδὸν ὑπερθεμένη, νηὸν ὑπεκπροφύγῃ.

## CCLXXIX.

Εἰς ἄγαλμα Νίκης ἐν Ῥώμῃ, ἧς τὰ πτερὰ κεραυνοῦ κατεφλέχθη.

Ῥώμη παμβασίλεια, τεὸν κλέος οὔποτ' ὀλεῖται·
Νίκη γάρ σε φυγεῖν ἄπτερος οὐ δύναται.

CCLXXIV. 3. Vulgo Βακχεῦ.

T.III.p.209.

## CCLXXX.

Εἰς Σάραπιν.

Ἑπτά με φωνήεντα θεὸν μέγαν ἄφθιτον αἰνεῖ
γράμματα, τὸν πάντων ἀκάματον πατέρα·
εἰμὶ δ᾽ ἐγὼ πάντων χέλυς ἄφθιτος, ἢ τὰ λυρώδη
ἡρμοσάμην δίνης οὐρανίοιο μέλη.

## CCLXXXI.

Εἰς ἄγαλμα Ἡρακλέους νηπίου θλίβοντος ταῖς χερσὶ τοὺς δράκοντας.

Θλίβε δρακοντείους περιμήκεας ὄβριμε σπείρας
Ἥρακλες, δακέτων ἄγχε βαθεῖς φάρυγας.
ἐξέτι νηπιάχοιο χόλον ζηλήμονος Ἥρης
ἄμπαυσον· μοχθεῖν γνῶθι καὶ ἐκ βρέφεος.
οὐ γάρ σοι κρητὴρ χαλκήλατος, οὐδὲ λέβητες,
ἀλλ᾽ ὁδὸς εἰς αὐλὴν Ζηνὸς, ἔπαθλον ἔφυ.

## CCLXXXII.

Εἰς τοὺς Ἡρακλέους ἄθλους.

Δέρκεο μυριόμοχθε τεοὺς, Ἥρακλες, ἀγῶνας,
οὓς τλὰς, ἀθανάτων οἶκον, Ὄλυμπον ἔβης·
Γηρυόνην, κλυτὰ μῆλα, μέγαν πόνον Αὐγείαο,
πώλους, Ἱππολύτην, πουλυκάρηνον ὄφιν,
κάπρον, θωϋκτῆρα χάους κύνα, θῆρα Νεμείης,
οἰωνοὺς, ταῦρον, Μαιναλίην ἔλαφον.
νῦν δὲ κατ᾽ ἄκρα πόληος ἀπορθήτοιο βεβηκὼς
Περγαμίης, μεγάλους ῥύεο Τηλεφίδας.

CCLXXXI. 2. Vulgo ἀγχιβαθεῖς. et praec. verſ. χεῖρας.

CCLXXXIII.

## CCLXXXIII.

T. III. p. 210.

Εἰς Ἡρακλέα ἀγρεύοντα τὴν ἔλαφον.

Τί πρῶτον, τί δ' ἔπειτα φρεσὶν, τί δὲ λοίσθιον ὄσσοις
  θαυμάσσω τέχνης ἀνέρος ἠδ' ἐλάφου;
ὧν ὁ μὲν ἰξύϊ θηρὸς ἐπεμβεβαὼς, γόνυ βρίθει,
  εὐπτόρθων παλάμαις δραξάμενος κεράων·
ἡ δ' ὑπὸ χάσματι πολλὰ καὶ ἄσθματι φυσιόωσα,
  γλώσσῃ σημαίνει θλιβομένην κραδίην.
Ηρακλες γήθησον. ὅλη κεμὰς ἤδε τέθηλεν,
  ὐ κέρασιν μόνοις, χρυσέῃ ἀλλὰ τέχνῃ.

## CCLXXXIV.

Εἰς Ἡρακλέα καταπαλαίοντα τὸν Ανταῖον.

Χαλκὸν ἀποιμώζοντα τίς ἔπλασε; τίς δ' ὑπὸ τέχνας
  καὶ πόνον ἐν μορφᾷ καὶ θράσος εἰργάσατο;
ἔμψυχον τὸ πλάσμα· καὶ οἰκτείρω μογέοντα,
  καὶ φρίσσω κρατερὸν τὸν θρασὺν Ηρακλέην.
Ανταῖον γὰρ ἔχει πεπονημένον ἐκ παλαμάων·
  ἰδνωθεὶς δὲ δοκεῖ καὶ στοναχὰν ἱέναι.

## CCLXXXV.

Εἰς Ἡρακλέα μεθύοντα.

Οὗτος ὁ νῦν ὕπνῳ βεβαρημένος ἠδὲ κυπέλλῳ,
  Κενταύρους νήφων οἰνοβαρεῖς ὤλεσε.

## CCLXXXVI.

Οὗτος ὁ πανδαμάτωρ, ὁ παρ' ἀνδράσι δωδεκάεθλος
  μελπόμενος, κρατερῆς εἵνεκεν ἠνορέης,
οἰνοβαρὴς μετὰ δαῖτα μεθυσφαλὲς ἴχνος ἑλίσσει, p. 211.
  νικηθεὶς ἁπαλῷ λυσιμελεῖ Βρομίῳ.

T. III.

## CCLXXXVII.

Εἰς εἰκόνα Ἡρακλέος.

Οἵῳ Θειοδάμας ποθ' ὑπήντεεν Ἡρακλῆϊ,
τοῖον ὁ τεχνίτης τὸν Διὸς εἰργάσατο,
βοῦν ἀρότην ἕλκοντα, καὶ ἀντανύοντα κορύνην.
ἀλλ' οὐ τὴν ὀλοὴν γράψε βοοσφαγίην.
καὶ τάχα Θειοδάμαντι γοήμονα χείλεσι φωνὴν
ἥρμοσεν, ἧς ἀΐων, φείδεται Ἡρακλέης.

## CCLXXXVIII.

Εἰς ἄλλην εἰκόνα Ἡρακλέος.

Οἷον καὶ Κρονίδης ἔσπειρέ σε τῇ τρισελήνῳ
νυκτὶ, καὶ Εὐρυσθεὺς εἶδεν ἀεθλοφόρον,
κὴκ πυρὸς εἰς Οὔλυμπον ἐκώμασας, ὦ βαρύμοχθε
Ἀλκείδη, τοίην εἰκόνα σου βλέπομεν.
Ἀλκμήνης δ' ὠδῖνας ἔχει λίθος· αἱ δὲ μεγαυχεῖς
Θῆβαι νῦν μύθων εἰσὶν ἀπιστότεραι.

## CCLXXXIX.

Εἰς Ἡρακλέους στήλην.

Μὰ τὸν βουθοίναν Ἡρακλέα, παῖδες ἀγρῶται,
οὐκ ἔτι κερδαλέοις ἔμβατα ταῦτα λύκοις,
φῶρές τε στείχειν κλοπίην ὁδὸν ἀρνήσονται,
εἰ καὶ κωμήτας ἄκριτος ὕπνος ἔχοι.
ἦ γάρ μ' ἵδρυται Διονύσιος οὐκ ἄτερ εὐχῆς
χώρῳ τῷδ' ἀγαθὸν σύμμαχον Ἡρακλέα.

p. 212.

## CCXC.

Εἰς ἄλλην Ἡρακλέους στήλην.

Μὴ τρέσσῃς ὅτι τόξον, ὁδοιπόρε, καὶ νεοθηγεῖς
ἰοὺς γυμνώσας, πρόσθε ποδῶν ἐθέμην,

μηδ' ὅτι βαστάζω ῥόπαλον χερὶ, μηδ' ὅτι δέρμα T. III.
ἀμφ' ὤμοις χαροπᾶ τοῦτο λέοντος ἔχω.
πημαίνειν οὐ πάντας ἐπίσταμαι, ἀλλὰ κακούργους·
καὶ σώζειν ἀγαθοὺς ἐξ ἀχέων δύναμαι.

## CCXCI. a

ΑΣΒΟΛΟΣ οὔτε θεῶν τρομέων ὄπιν, οὔτ' ἀνθρώπων,
ὀξυκόμοιο κρεμαστὸς ἄπ' εὐλιπέος κατὰ πεύκης,
ἄγκειμαι μέγα δεῖπνον ἀμετροβίοις κοράκεσσι.

## CCXCI. b

Lect. p. 288.

Υπνώδης Φίλιος, Κύπριος γένος ἐκ Σαλαμῖνος,
υἱὸς Αριστόνου, ἄπλοκον εἶδεν ὄναρ,
Θεσμοφόρους ἁγνὰς ποτνίας ἐν φάρεσι λευκοῖς·
ἥρω δ' ἐν τρισσαῖς ὄψεσι τόνδε σέβειν
ἤνωγον πόλεως φύλακον, χῶρόν τ' ἀπέδειξαν·
ὧν ἕνεκ' ἵδρυσε τόνδε θεὸν Φίλιος.

## CCXCII.

T. III. p. 212.

Εἰς ἀνδριάντα Θησέως καὶ τοῦ Μαραθωνίου Ταύρου.

Θαῦμα τέχνης ταύρου τε καὶ ἀνέρος, ὧν ὁ μὲν ἀλκὰν
θῆρα βίῃ βρίθει, γυῖα τιταινόμενος·
ἶνας δ' αὐχενίους γνάμπτων, παλάμῃσιν ἔμαρψε,
λαιῇ μυκτῆρας, δεξιτερῇ δὲ κέρας.
ἀστραγάλους δ' ἐλέλιξε, καὶ αὐχένα θὴρ ὑπὸ χερσὶν
δαμνάμενος κρατεραῖς ὤκλασεν εἰς ὀπίσω.
ἔστι δ' οἴσσασθαι τέχνης ὕπο τῷδ' ἐνὶ χαλκῷ
θῆρα μὲν ἐμπνείειν, ἄνδρα δ' ἱδρῶτι ῥέειν.

CCXCI. b 1. In lap. ἐξαλαμινος. 2. υἱὸς δυσόνου a.

T. III.

## CCXCIII.

Εἰς ἀνδριάντα Καπανέως.

Εἰ τοῖος Θήβης Καπανεὺς ἐπεμήνατο πύργοις,
ἄμβασιν ἠερίην κλίμακα μησάμενος,
p. 213. εἷλεν ἂν ἄστυ βίῃ καὶ ὑπὲρ μόρον. αἴδετο γὰρ ῥα
καὶ σκηπτὸς Κρονίδου τοῖον ἑλεῖν πρόμαχον.

## CCXCIV.

Εἰς εἰκόνα Φιλοκτήτου.

Ἐχθρὸς ὑπὲρ Δαναοὺς πλάστης ἐμοὶ, ἄλλος Ὀδυσσεὺς,
ὅς μ' ἔμνησε κακῆς οὐλομένης τε νόσου.
οὐκ ἤρκει πέτρη, τρῦχος, λύθρον, ἕλκος, ἀνίη·
ἀλλὰ καὶ ἐν χαλκῷ τὸν πόνον εἰργάσατο.

## CCXCV.

Εἰς Αἴαντος εἰκόνα.

Αἶαν, Τιμομάχου πλέον ἢ πατρός. ἥρπασε τέχνα
τὴν φύσιν. ὁ γράψας εἶδέ σε μαινόμενον,
καὶ συνελυσσήθη χεὶρ ἀνέρι, καὶ τὰ κεραστὰ
δάκρυα τοῖς λύπης πᾶσιν ἔμιξε πόνοις.

## CCXCVI.

Εἰς τὸν Μινώταυρον.

Ὁ παῖς ὁ ταῦρος, ὁ κατὰ μηδὲν ἐντελὴς,
ὁ τῆς τεκούσης τοῦ πάθους κατήγορος,
ὁ μιξόθηρ ἄνθρωπος, ἡ διπλῆ φύσις,
ὁ ταυρόκρανος, ἡ πλάνη τῶν σωμάτων,
ὃς οὔτε βοῦς πέφυκεν, οὔτ' ἀνὴρ ὅλως.

## CCXCVII.

T. III.

Εἰς Λυκοῦργον.

Τίς τὸν Θρηΐκα τόνδε μονοκρήπιδα Λυκοῦργον
χάλκεον, Ἠδωνῶν ταγὸν, ἀνεπλάσατο;
Βακχιακὸν παρὰ πρέμνον ἴδ' ὡς ἀγέρωχα μεμηνὼς p. 214.
βριθὺν ὑπὲρ κεφαλᾶς ἀντέτακε χάλυβα.
μανύει μορφὰ τὸ πάλαι θράσος· ἁ δ' ἀγέρωχος
λύσσα καὶ ἐν χαλκῷ κεῖνο τὸ πικρὸν ἔχει.

## CCXCVIII.

Εἰς ἄγαλμα Νιόβης.

Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον· ἐκ δὲ λίθοιο
ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

## CCXCIX.

Εἰς εἰκόνα Μηδείας ἐν Ῥώμῃ.

Τέχνη Τιμομάχου στοργὴν καὶ ζῆλον ἔδειξε
Μηδείης, τέκνων εἰς μόρον ἑλκομένων.
τῇ μὲν γὰρ συνένευσεν ἐπὶ ξίφος, ᾗ δ' ἀνανεύει,
σώζειν καὶ κτείνειν βουλομένη τέκεα.

## CCC.

Εἰς τὴν αὐτήν.

Δεῦρ' ἴδε παιδολέτειραν ἐν εἰκόνι, δεῦρ' ἴδ' ἄγαλμα,
Κολχίδα, Τιμομάχου χειρὶ τυπωσαμένου,
φάσγανον ἐν παλάμᾳ, θυμὸν μέγαν, ἄγριον ὄμμα,
παισὶν ἐπ' οἰκτιστοις δάκρυ κατερχόμενον·
πάντα δ' ὁμοῦ συνέχευεν, ἄμικτά τε εἰς ἓν ἄγειρεν,
αἵματι μὴ χρῶσαι φεισάμενος παλάμαν.

CCC. 3. Vulgo θυμὸς μέγας.

T.III.p.215.

## CCCI.

Εἰς τὴν αὐτήν.

Δεῦρ' ἴδε, καὶ θάμβησον ὑπ' ὀφρύσι κείμενον οἶκτον,
καὶ θυμὸν, βλεφάρων καὶ πυρόεσσαν ἴτυν,
καὶ μητρὸς παλάμην ἀλόχοιό τε πικρὰ παθούσης
ὁρμῇ φειδομένῃ πρὸς φόνον ἑλκομένην.
ζωγράφος εὖ δ' ἔκρυψε φόνου τέλος· οὐκ ἐθελήσας
θάμβος ἀπαμβλῦναι πένθεϊ δερκομένων.

## CCCII.

Εἰς ἄγαλμα Μηδείας.

Μαίνῃ καὶ λίθος οὖσα, καὶ ἐκ κραδίης σέο θυμὸς
ὄμματα κοιλήνας ἐς χόλον ηὐτρέπισεν.
ἕρπης οὐδὲ βάσις σε καθέξεται, ἀλλ' ἄρα θυμῷ
πηδήσεις, τεκέων εἵνεκα μαινομένη.
ὦ, τίς ὁ τεχνίτης τόδ' ἀνέπλασεν, ἢ τίς ὁ γλύπτης,
ὃς λίθον εἰς μανίην ἤγαγεν εὐτεχνίῃ;

## CCCIII.

Εἰς τὸ αὐτό.

Οἶκτον ὁμοῦ καὶ λύσσαν ἐτήτυμον ἔνθεος ἀνὴρ
μαρμάρῳ ἐγκατέμιξε, βιαζομένην δ' ὑπὸ τέχνης
λαϊνέην Μήδειαν ὅλης ἔμνησεν ἀνίης.

## CCCIV.

Εἰς ἄγαλμα Ἀριάδνης.

Οὐ βροτὸς ὁ γλύπτας· οἵαν δέ σε Βάκχος ἐραστὰς
εἶδεν ὑπὲρ πέτρας ἔξεσε κεκλιμέναν.

CCCII. 5. Vulgo τίς ὁ τεχνίτης τόδε γ' ἔπλ.

## CCCV. 

T. III. p. 216.

Εἰς τὸ αὐτό.

Ξεῖνοι, λαϊνέας μὴ ψαύετε τᾶς Ἀριάδνας,
μὴ καὶ ἀναθρώσκῃ Θησέα διζομένη.

## CCCVI.

Εἰς Ἰφιγενείας εἰκόνα.

Μαίνεται Ἰφιγένεια· πάλιν δέ μιν εἶδος Ὀρέστου
ἐς γλυκερὴν ἀνάγει μνῆστιν ὁμαιμοσύνης·
τῆς δὲ χολωομένης, καὶ ἀδελφεὸν εἰσορoώσης
οἴκτῳ καὶ μανίῃ βλέμμα συνεξάγεται.

## CCCVII. a

Εἰς εἰκόνα Διδοῦς.

Ἀρχέτυπον Διδοῦς ἐρικυδέος, ὦ ξένε, λεύσσεις,
εἰκόνα θεσπεσίῳ κάλλεϊ λαμπομένην.
τοίη γὰρ γενόμην, ἀλλ' οὐ νόον οἷον ἀκούεις,
αἰσχρὸν ἐπ' εὐφήμοις δόξαν ἐνεγκαμένη.
οὐδὲ γὰρ Αἰνείαν ποτ' ἐσέδρακον, οὐδὲ χρόνοισι
Τροίης περθομένης ἤλυθον ἐς Λιβύην·
ἀλλὰ βίας φεύγουσα Ἰαρβαίων ὑμεναίων
πῆξα κατὰ κραδίης φάσγανον ἀμφίτομον.
Πιερίδες, τί μοι αἰνὸν ἐφωπλίσσασθε Μάρωνα,
σωφροσύνης κατ' ἐμῆς τοιάδε ψευσάμενον;

## CCCVII. b

Lect. p. 274.

Οἵδε Βίτων Κλέοβίς τ' ἐπὶ σώμασιν οἰκείοισι
ζεύγλαν ζευξάμενοι, μητέρα ἦν ἀγέτην

CCCVII. a 9. Vulgo μοι ἁγνόν. 10. Vulgo τοῖα καθ' ἡμετέρης ψεύσατο σωφροσύνης.

Ἥρας εἰς ἱερὸν· λαοὶ δέ μιν ἐζήλωσαν
  εὐτεκνίας παίδων. ἡ δὲ χαρεῖσα, θεᾷ
εὔξατο, παῖδε τυχεῖν τοῦ ἀρίστου δαίμονος αἴσης,
  οὕνεκ' ἐτίμησαν μητέρα τὴν σφετέρην.
αὐτὼ δ' εὐνηθέντε, λίπον βίον ἐν νεότητι,
  ὡς τόδ' ἄριστον ἐὸν καὶ μακαριστότατον.

T.III.p.216. CCCVIII.

Εἰς εἰκόνα Πεισιστράτου Ἀθήνῃσιν.

Δίς με τυραννήσαντα τοσαυτάκις ἐξεδίωξε
  δῆμος Ἐρεχθῆος, δὶς δ' ἐπανηγάγετο,
p.217. τὸν μέγαν ἐν βουλαῖς Πεισίστρατον, ὃς τὸν Ὅμηρον
  ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον.
ἡμέτερος γὰρ κεῖνος ὁ χρύσεος ἦν πολιήτης,
  εἴπερ Ἀθηναῖοι Σμύρναν ἐπῳκίσαμεν.

CCCIX.

Εἰς στήλην Ἀλεξάνδρου τοῦ Μακεδόνος.

Αὐτὸν Ἀλέξανδρον τεκμαίρεο· ὧδε τὰ κείνου
  ὄμματα καὶ ζωὸν θάρσος ὁ χαλκὸς ἔχει,
ὃς μόνος, ἣν ἐφορῶσιν ἀπ' αἰθέρος αἱ Διὸς αὐγαί,
  πᾶσαν Πελλαίῳ γῆν ὑπέταξε θρόνῳ.

CCCX.

Εἰς εἰκόνα τοῦ αὐτοῦ.

Τοῦτον Ἀλέξανδρον, μεγαλήτορος υἷα Φιλίππου,
δέρκεαι ἀρτιλόχευτον, Ὀλυμπιὰς ὅν ποτε μήτηρ
καρτερόθυμον ἔτικτεν· ἀπ' ὠδίνων δέ μιν Ἄρης
ἔργα μόθων ἐδίδαξε, Τύχη δ' ἐκέλευσεν ἀνάσσειν.

CCCVIII. 1. Vulgo τρίς με τ. — καὶ τρὶς ἐπ.

## CCCXI. T. III.

Εἰς εἰκόνα Λυσιμάχου βασιλέως.

Χαίτην καὶ ῥόπαλον καὶ ἐν ὀφθαλμοῖσιν ἀταρβῆ
θυμὸν ὁρῶν, βλοσυρόν τ' ἀνδρὸς ἐπισκύνιον,
ζήτει δέρμα λέοντος ἐπ' εἰκόνι· κἢν μὲν ἐφεύρῃς,
Ἡρακλέης, εἰ δ' οὔ, Λυσιμάχοιο πίναξ.

## CCCXII.

Λάδας τὸ στάδιον εἴθ' ἥλατο, εἴτε διέπτη,
δαιμόνιον τὸ τάχος, οὐδὲ φράσαι δυνατόν.

## CCCXIII.a p. 218.

Οἷος ἔης φεύγων τὸν ὑπήνεμον, ἔμπνοε Λάδα,
Θῦμον, ἐπ' ἀκροτάτῳ πνεύματι θεὶς ὄνυχα,
τοῖον ἐχάλκευσέν σε Μύρων, ἐπὶ παντὶ χαράξας
σώματι Πισαίου προσδοκίην στεφάνου.
πλήρης ἐλπίδος ἐστὶν, ἄκροις δ' ἐπὶ χείλεσιν ἆσθμα
ἐμφαίνει κοίλων ἔνδοθεν ἐκ λαγόνων.
πηδήσει τάχα χαλκὸς ἐπὶ στέφος, οὐδὲ καθέξει
ἁ βάσις· ὢ τέχνη πνεύματος ὠκυτέρα.

## CCCXIII.b Lect. p. 274.

Ὑβλαίῳ κήρυκι τόδ' Ἀρχίᾳ, Εὐκλέος υἱῷ,
δέξαι ἄγαλμ' εὔφρων, Φοῖβ', ἐπ' ἀπημοσύνῃ,
ὃς τρὶς ἐκήρυξε τὸν Ὀλυμπιάσ' αὐτὸς ἀγῶνα,
οὔτ' ὑποσαλπίζων, οὔτ' ἀναδείγματ' ἔχων.

## CCCXIV. p. 218.

Εἰς εἰκόνα Ἀπελλοῦ.

Αὐτὸς ἑαυτὸν ἐν εἰκόνι γράψεν ἄριστος Ἀπελλῆς.

CCCXIII. a 2. Vulgo θυμόν. 3. Vulgo ἐχάλκευσε Μύρων. 4. Vulgo Πισσαίη προσδοκίη.

T. III.

## CCCXV.

Εἰς Πραξιτέλους ἔργα.

Ο τραγόπους, ὁ τὸν ἀσκὸν ἐπηρμένος, αἵ τε γελῶσαι
  Νύμφαι, Πραξιτέλους, ἥ τε καλὴ Δανάη.
λύγδινα πάντα καὶ ἄκρα· σοφαὶ χέρες. αὐτὸς ὁ Μῶμος
  φθέγξεται· Ἄκρητος, Ζεῦ πάτερ, ἡ σοφίη.

## CCCXVI.

Εἰς ἀγνώριστον κεφαλήν.

Α τέχνα τὸν ἔλεγχον ἀπώλεσεν· οὐδὲ γὰρ αὐτὰ
  μανῦσαι δύναται τῶ πόρε τὰν κεφαλάν.

p. 219.

## CCCXVII.

Εἰς βότρυν ἐκ χρωμάτων.

Μικροῦ κατέσχον τὸν βότρυν τοῖς δακτύλοις,
  ὑπεραπατηθεὶς τῇ θέᾳ τῶν χρωμάτων.

## CCCXVIII.

Εἰς τὰς ἐν Μέμφει Πυραμίδας.

Οσσαν ἐπ᾽ Οὐλύμπῳ καὶ Πήλιον ὑψωθέντα
  ψευδὴς ἱστορίης ῥῆσις ἀνεπλάσατο·
Πυραμίδες δ᾽ ἔτι νῦν Νειλωΐδες ἄκρα μέτωπα
  κύρουσι χρυσέοις ἀστράσι Πληϊάδων.

## CCCXIX.

Εἰς λίθον ἄκοιτον.

Ορᾷς τὸ κάλλος ὅσσον ἐστὶ τῆς λίθου
  ἐν ταῖς ἀτάκτοις τῶν φλεβῶν εὐταξίαις.

## CCCXX.

Η λίθος ἀστράπτει τελετὴν πολύμορφον Ἰάκχου,
καὶ πτηνῶν τρυγόωντα χορὸν καθύπερθεν Ἐρώτων.

CCCXXI. T. III.

Εἰς ἕρμα λίθινον.

Εἷς λίθος, ἅρμ', ἐλατὴρ, ἵπποι, ζυγὸς, ἡνία, μάστιξ.

CCCXXII.

Εἰς ἄλλο ἕρμα λίθινον.

Εἷς λίθος, ἅρμ', ἐλατὴρ, πῶλοι, ζυγοὶ, ἡνία, Νίκη.

ΕΙΣ ΛΟΥΤΡΑ. p. 220.

CCCXXIII.

Ην ποτὰ ρος φιλέεσκες, Ἄρες, σκοπίαζε Κυθήρην
ἐνθάδε λουομένην νάμασι φαιδροτάτοις.
δέρκεο νηχομένην· μὴ δείδιθι. ὐ γὰρ Ἀθήνην
παρθένον εἰσοράας, οἷά τε Τειρεσίας.

CCCXXIV.

Αἱ Χάριτες λύσαντο· ἀμειψάμεναι δὲ λοετρὸν
δῶκαν ἑῶν ρεθέων ὕδασιν ἀγλαΐην.

CCCXXV.

Η τόδε τὴν Κυθέρειαν ὕδωρ τέκεν, ἢ Κυθέρεια
τοῖον ἔτευξεν ὕδωρ, ὃν χρόα λυσαμένη.

CCCXXVI.

Ενθάδε λυσαμένη δέμας ἄμβροτον αὐτίκα Κύπρις
δεῖξεν Ἀλεξάνδρῳ, καὶ ἄεθλιον ἥρπασε μῆλον.

CCCXXVII.

Τᾶν Χαρίτων τόδε λουτρὸν ἀθύρματα. καὶ γὰρ ἐκεῖνο
μούνας ἔσω παίσδειν τὰς Χάριτας δέχεται.

CCCXXVII. 2. Cod. μόνας εἴσω π.

T. III.

## CCLXXXVII.

Εἰς εἰκόνα Ηρακλέυς.

Οἵῳ Θειοδάμας ποθ' ὑπήντεεν Ηρακλῆϊ,
τοῖον ὁ τεχνίτης τὸν Διὸς εἰργάσατο,
βῦν ἀρότην ἕλκοντα, καὶ ἀντανύοντα κορύνην.
ἀλλ' ἐ τὴν ὀλοὴν γράψε βοοσφαγίην.
ναὶ τάχα Θειοδάμαντι γοήμονα χείλεσι φωνὴν
ἥρμοσεν, ἧς ἀΐων, φείδεται Ηρακλέης.

## CCLXXXVIII.

Εἰς ἄλλην εἰκόνα Ηρακλέυς.

Οἷον καὶ Κρονίδης ἔσπειρέ σε τῇ τρισελήνῳ
νυκτὶ, καὶ Εὐρυσθεὺς εἶδεν ἀεθλοφόρον,
κὴκ πυρὸς εἰς Οὔλυμπον ἐκώμασας, ὦ βαρύμοχθε
Αλκείδη, τοίην εἰκόνα σε βλέπομεν.
Αλκμήνης δ' ὠδῖνας ἔχει λίθος· αἱ δὲ μεγαυχεῖς
Θῆβαι νῦν μύθων εἰσὶν ἀπιςότεραι.

## CCLXXXIX.

Εἰς Ηρακλέυς ςήλην.

Μὰ τὸν βυθοίναν Ηρακλέα, παῖδες ἀγρῶται,
ὐκ ἔτι κερδαλέοις ἔμβατα ταῦτα λύκοις,
φῶρές τε ςείχειν κλοπίην ὁδὸν ἀρνήσονται,
εἰ καὶ κωμήτας ἄκριτος ὕπνος ἔχοι.
ἦ γάρ μ' ἵδρυται Διονύσιος ὐκ ἄτερ εὐχῆς
χώρῳ τῷδ' ἀγαθὸν σύμμαχον Ηρακλέα.

p. 212.

## CCXC.

Εἰς ἄλλην Ηρακλέυς ςήλην.

Μὴ τρέσσῃς ὅτι τόξον, ὁδοιπόρε, καὶ νεοθηγεῖς
ἰὺς γυμνώσας, πρόσθε ποδῶν ἔθεμην,

μηδ᾽ ὅτι βαςάζω ῥόπαλον χερὶ, μηδ᾽ ὅτι δέρμα T. III.
ἀμφ᾽ ὤμοις χαροπῦ τῦτο λέοντος ἔχω.
πημαίνειν ὐ πάντας ἐπίςαμαι, ἀλλὰ κακύργυς·
καὶ σώζειν ἀγαθὺς ἐξ ἀχέων δύναμαι.

## CCXCI. a

ΑΣΒΟΛΟΣ ὔτε θεῶν τρομέων ὄπιν, ὔτ᾽ ἀνθρώπων,
ὀξυκόμοιο κρεμαςὸς ἄπ᾽ εὐλιπέος κατὰ πεύκης,
ἄγκειμαι μέγα δεῖπνον ἀμετροβίοις κοράκεσσι.

## CCXCI. b

Lect. p. 288.

Υπνώδης Φίλιος, Κύπριος γένος ἐκ Σαλαμῖνος,
υἱὸς Αριςόνου, ἄπλοκον εἶδεν ὄναρ,
Θεσμοφόρυς ἁγνὰς ποτνίας ἐν φάρεσι λευκοῖς·
ἧρω δ᾽ ἐν τρισσαῖς ὄψεσι τόνδε σέβειν
ἥνωγον πόλεως φύλακον, χῶρόν τ᾽ ἀπέδειξαν·
ὧν ἕνεκ᾽ ἵδρυσε τόνδε θεὸν Φίλιος.

## CCXCII.

T. III. p. 212.

Εἰς ἀνδριάντα Θησέως καὶ τῦ Μαραθωνίυ Ταύρυ.

Θαῦμα τέχνης ταύρυ τε καὶ ἀνέρος, ὧν ὁ μὲν ἀλκὰν
θῆρα βίῃ βρίθει, γυῖα τιταινόμενος·
ἶνας δ᾽ αὐχενίυς γνάμπτων, παλάμῃσιν ἔμαρψε,
λαιῇ μυκτῆρας, δεξιτερῇ δὲ κέρας.
ἀςραγάλυς δ᾽ ἐλέλιξε, καὶ αὐχένα θὴρ ὑπὸ χερσὶν
δαμνάμενος κραταιραῖς ὤκλασεν εἰς ὀπίσω.
ἔςι δ᾽ οἴσσασθαι τέχνης ὕπο τῷδ᾽ ἐνὶ χαλκῷ
θῆρα μὲν ἐμπνείειν, ἄνδρα δ᾽ ἱδρῶτι ῥέειν.

CCXCI. b 1. In lap. ἐξαλαμινος. 2. υἱὸς Συςόνου a.

T. III.

## CCXCIII.

Εἰς ἀνδριάντα Καπανέως.

Εἰ τοῖος Θήβης Καπανεὺς ἐπεμήνατο πύργοις,
ἄμβασιν ἠερίην κλίμακα μησάμενος,
p. 213. εἷλεν ἂν ἄστυ βίῃ καὶ ὑπὲρ μόρον. αἴδετο γάρ μιν
καὶ σκηπτὸς Κρονίδου τοῖον ἑλεῖν πρόμαχον.

## CCXCIV.

Εἰς εἰκόνα Φιλοκτήτου.

Ἐχθρὸς ὑπὲρ Δαναοὺς πλάστης ἐμοὶ, ἄλλος Ὀδυσσεὺς,
ὅς μ' ἔμνησε κακῆς οὐλομένης τε νόσου.
οὐκ ἤρκει πέτρη, τρῦχος, λύθρον, ἕλκος, ἀνίη·
ἀλλὰ καὶ ἐν χαλκῷ τὸν πόνον εἰργάσατο.

## CCXCV.

Εἰς Αἴαντος εἰκόνα.

Αἶαν, Τιμομάχου πλέον ἢ πατρός. ἥρπασε τέχνα
τὴν φύσιν. ὁ γράψας εἶδέ σε μαινόμενον,
καὶ συνελυσσήθη χεὶρ ἀνέρι, καὶ τὰ κεραστὰ
δάκρυα τοῖς λύπης πᾶσιν ἔμιξε πόνοις.

## CCXCVI.

Εἰς τὸν Μινώταυρον.

Ὁ παῖς ὁ ταῦρος, ὁ κατὰ μηδὲν ἐντελὴς,
ὁ τῆς τεκούσης τοῦ πάθους κατήγορος,
ὁ μιξόθηρ ἄνθρωπος, ἡ διπλῆ φύσις,
ὁ ταυρόκρανος, ἡ πλάνη τῶν σωμάτων,
ὃς οὔτε βοῦς πέφυκεν, οὔτ' ἀνὴρ ὅλως.

## CCXCVII.

T. III.

Εἰς Λυκοῦργον.

Τίς τὸν Θρηΐκα τόνδε μονοκρήπιδα Λυκοῦργον
χάλκεον, Ἠδωνῶν ταγὸν, ἀνεπλάσατο;
Βακχιακὸν παρὰ πρέμνον ἴδ' ὡς ἀγέρωχα μεμηνὼς p. 214.
βριθὺν ὑπὲρ κεφαλᾶς ἀντέτακε χάλυβα.
μανύει μορφὰ τὸ πάλαι θράσος· ἁ δ' ἀγέρωχος
λύσσα καὶ ἐν χαλκῷ κεῖνο τὸ πικρὸν ἔχει.

## CCXCVIII.

Εἰς ἄγαλμα Νιόβης.

Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον· ἐκ δὲ λίθοιο
ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

## CCXCIX.

Εἰς εἰκόνα Μηδείας ἐν Ῥώμῃ.

Τέχνη Τιμομάχου στοργὴν καὶ ζῆλον ἔδειξε
Μηδείης, τέκνων εἰς μόρον ἑλκομένων.
τῇ μὲν γὰρ συνένευσεν ἐπὶ ξίφος, ᾗ δ' ἀνανεύει,
σώζειν καὶ κτείνειν βουλομένη τέκεα.

## CCC.

Εἰς τὴν αὐτήν.

Δεῦρ' ἴδε παιδολέτειραν ἐν εἰκόνι, δεῦρ' ἴδ' ἄγαλμα,
Κολχίδα, Τιμομάχου χειρὶ τυπωσαμένου,
φάσγανον ἐν παλάμᾳ, θυμὸν μέγαν, ἄγριον ὄμμα,
παισὶν ἐπ' οἰκτίστοις δάκρυ κατερχόμενον·
πάντα δ' ὁμοῦ συνέχευεν, ἄμικτά τε εἰς ἓν ἄγειρεν,
αἵματι μὴ χρῶσαι φεισάμενος παλάμαν.

CCC. 3. Vulgo θυμὸς μέγας.

T.III.p.215.

## CCCI.

Εἰς τὴν αὐτήν.

Δεῦρ' ἴδε, καὶ θάμβησον ὑπ' ὀφρύσι κείμενον οἶκτον,
καὶ θυμὸν, βλεφάρων καὶ πυρόεσσαν ἴτυν,
καὶ μητρὸς παλάμην ἀλόχοιό τε πικρὰ παθούσης
ὁρμῇ φειδομένῃ πρὸς φόνον ἑλκομένην.
ζωγράφος εὖ δ' ἔκρυψε φόνου τέλος, οὐκ ἐθελήσας
θάμβος ἀπαμβλῦναι πένθεϊ δερκομένων.

## CCCII.

Εἰς ἄγαλμα Μηδείας.

Μαίνῃ καὶ λίθος οὖσα, καὶ ἐκ κραδίης σέο θυμὸς
ὄμματα κοιλήνας ἐς χόλον ηὐτρέπισεν.
ἕρπεις οὐδὲ βάσις σε καθέξεται, ἀλλ' ἄρα θυμῷ
πηδήσεις, τεκέων εἵνεκα μαινομένη.
ὢ, τίς ὁ τεχνίτης τόδ' ἀνέπλασεν, ἢ τίς ὁ γλύπτης,
ὃς λίθον εἰς μανίην ἤγαγεν εὐτεχνίῃ;

## CCCIII.

Εἰς τὸ αὐτό.

Οἶκτον ὁμοῦ καὶ λύσσαν ἐτήτυμον ἔνθεος ἀνὴρ
μαρμάρῳ ἐγκατέμιξε, βιαζομένην δ' ὑπὸ τέχνης
λαϊνέην Μήδειαν ὅλης ἔμνησεν ἀνίης.

## CCCIV.

Εἰς ἄγαλμα Ἀριάδνης.

Οὐ βροτὸς ὁ γλύπτας· οἵαν δέ σε Βάκχος ἐραστὰς
εἶδεν ὑπὲρ πέτρας ἔξεσε κεκλιμέναν.

CCCII. 5. Vulgo τίς ὁ τεχνίτης τόδε γ' ἔπλ.

## CCCV.

T. III. p. 216.

Εἰς τὸ αὐτό.

Ξεῖνοι, λαϊνέας μὴ ψαύετε τᾶς Ἀριάδνας,
  μὴ καὶ ἀναθρώσκῃ Θησέα διζομένη.

## CCCVI.

Εἰς Ἰφιγενείας εἰκόνα.

Μαίνεται Ἰφιγένεια· πάλιν δέ μιν εἶδος Ὀρέστου
  ἐς γλυκερὴν ἀνάγει μνῆστιν ὁμαιμοσύνης·
τῆς δὲ χολωομένης, καὶ ἀδελφεὸν εἰσοροώσης
  οἴκτῳ καὶ μανίῃ βλέμμα συνεξάγεται.

## CCCVII. a

Εἰς εἰκόνα Διδοῦς.

Ἀρχέτυπον Διδοῦς ἐρικυδέος, ὦ ξένε, λεύσσεις,
  εἰκόνα θεσπεσίῳ κάλλεϊ λαμπομένην.
τοίη γὰρ γενόμην, ἀλλ' οὐ νόον οἷον ἀκούεις
  αἰσχρὸν ἐπ' εὐφήμοις δόξαν ἐνεγκαμένη.
οὐδὲ γὰρ Αἰνείαν ποτ' ἐσέδρακον, οὐδὲ χρόνοισι
  Τροίης περθομένης ἤλυθον ἐς Λιβύην·
ἀλλὰ βίας φεύγουσα Ἰαρβαίων ὑμεναίων
  πῆξα κατὰ κραδίης φάσγανον ἀμφίτομον.
Πιερίδες, τί μοι αἰνὸν ἐφωπλίσσασθε Μάρωνα,
  σωφροσύνης κατ' ἐμῆς τοιάδε ψευσάμενον;

## CCCVII. b

Lect. p. 274.

Οἵδε Βίτων Κλέοβίς τ' ἐπὶ σώμασιν οἰκείοισι
  ζεύγλαν ζευξάμενοι, μητέρα ἦν ἀγέτην

CCCVII. a 9. Vulgo μοι ἁγνόν. 10. Vulgo τοῖα καθ' ἡμετέρης ψεύσατο σωφροσύνης.

Ἥρας εἰς ἱερόν· λαοὶ δέ μιν ἐζήλωσαν
  εὐτεκνίας παίδων. ἡ δὲ χαρεῖσα, θεᾷ
εὔξατο, παῖδε τυχεῖν τοῦ ἀρίστου δαίμονος αἴσης,
  οὕνεκ᾽ ἐτίμησαν μητέρα τὴν σφετέρην.
αὐτὼ δ᾽ εὐνηθέντε, λίπον βίον ἐν νεότητι,
  ὡς τόδ᾽ ἄριστον ἐὸν καὶ μακαριστότατον.

T.III.p.216.

## CCCVIII.

Εἰς εἰκόνα Πεισιστράτου Ἀθήνησιν.

Δίς με τυραννήσαντα τοσαυτάκις ἐξεδίωξε
  δῆμος Ἐρεχθῆος, δὶς δ᾽ ἐπανηγάγετο,
p. 217. τὸν μέγαν ἐν βουλαῖς Πεισίστρατον, ὃς τὸν Ὅμηρον
  ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον.
ἡμέτερος γὰρ κεῖνος ὁ χρύσεος ἦν πολιήτης,
  εἴπερ Ἀθηναῖοι Σμύρναν ἐπῳκίσαμεν.

## CCCIX.

Εἰς στήλην Ἀλεξάνδρου τοῦ Μακεδόνος.

Αὐτὸν Ἀλέξανδρον τεκμαίρεο· ὧδε τὰ κείνου
  ὄμματα καὶ ζωὸν θάρσος ὁ χαλκὸς ἔχει,
ὃς μόνος, ἣν ἐφορῶσιν ἀπ᾽ αἰθέρος αἱ Διὸς αὐγαί,
  πᾶσαν Πελλαίῳ γῆν ὑπέταξε θρόνῳ.

## CCCX.

Εἰς εἰκόνα τοῦ αὐτοῦ.

Τοῦτον Ἀλέξανδρον, μεγαλήτορος υἷα Φιλίππου,
δέρκεαι ἀρτιλόχευτον, Ὀλυμπιὰς ὅν ποτε μήτηρ
καρτερόθυμον ἔτικτεν· ἀπ᾽ ὠδίνων δέ μιν Ἄρης
ἔργα μόθων ἐδίδαξε, Τύχη δ᾽ ἐκέλευσεν ἀνάσσειν.

CCCVIII. 1. Vulgo τρίς με τ. — καὶ τρὶς ἐπ.

## CCCXI. T. III.

Εἰς εἰκόνα Λυσιμάχου βασιλέως.

Χαίτην καὶ ῥόπαλον καὶ ἐν ὀφθαλμοῖσιν ἀταρβῆ
 θυμὸν ὁρῶν, βλοσυρόν τ' ἀνδρὸς ἐπισκύνιον,
ζήτει δέρμα λέοντος ἐπ' εἰκόνι· κἢν μὲν ἐφεύρῃς,
 Ἡρακλέης, εἰ δ' οὐ, Λυσιμάχοιο πίναξ.

## CCCXII.

Λάδας τὸ στάδιον εἴθ' ἥλατο, εἴτε διέπτη,
 δαιμόνιον τὸ τάχος, οὐδὲ φράσαι δυνατόν.

## CCCXIII. a p. 218.

Οἷος ἔης φεύγων τὸν ὑπήνεμον, ἔμπνοε Λάδα,
 θῦμον, ἐπ' ἀκροτάτῳ πνεύματι θεὶς ὄνυχα,
τοῖον ἐχάλκευσέν σε Μύρων, ἐπὶ παντὶ χαράξας
 σώματι Πισαίου προσδοκίην στεφάνου.
πλήρης ἐλπίδος ἐστὶν, ἄκροις δ' ἐπὶ χείλεσιν ἆσθμα
 ἐμφαίνει κοίλων ἔνδοθεν ἐκ λαγόνων.
πηδήσει τάχα χαλκὸς ἐπὶ στέφος, οὐδὲ καθέξει
 ἁ βάσις· ὦ τέχνη πνεύματος ὠκυτέρα.

## CCCXIII. b Lect. p. 274.

Ὑβλαίῳ κήρυκι τόδ' Ἀρχίᾳ, Εὐκλέος υἱῷ,
 δέξαι ἄγαλμ' εὔφρων, Φοῖβ', ἐπ' ἀπημοσύνῃ,
ὃς τρὶς ἐκήρυξε τὸν Ὀλυμπιάσ' αὐτὸς ἀγῶνα,
 οὔτ' ὑποσαλπίζων, οὔτ' ἀναδείγματ' ἔχων.

## CCCXIV. p. 218.

Εἰς εἰκόνα Ἀπελλοῦ.

Αὐτὸς ἑαυτὸν ἐν εἰκόνι γράψεν ἄριστος Ἀπελλῆς.

CCCXIII. a 2. Vulgo θυμόν. 3. Vulgo ἐχάλκευσε Μύρων.
4. Vulgo Πισσαίου προσδοκίῃ.

T. III.

## CCCXV.

Εἰς Πραξιτέλους ἔργα.

Ο τραγόπους, ὁ τὸν ἀσκὸν ἐπηρμένος, αἵ τε γελῶσαι
Νύμφαι, Πραξιτέλους, ἥ τε καλὴ Δανάη.
λύγδινα πάντα καὶ ἄκρα· σοφαὶ χέρες. αὐτὸς ὁ Μῶμος
φθέγξεται· Ακρητος, Ζεῦ πάτερ, ἡ σοφίη.

## CCCXVI.

Εἰς ἀγνώριστον κεφαλήν.

Α τέχνα τὸν ἔλεγχον ἀπώλεσεν· ὐδὲ γὰρ αὐτὰ
μανῦσαι δύναται τῶ τίνος τὰν κεφαλάν.

p. 219.

## CCCXVII.

Εἰς βότρυν ἐκ χρωμάτων.

Μικρῶ κατέσχον τὸν βότρυν τοῖς δακτύλοις,
ὑπεραπατηθεὶς τῇ θέᾳ τῶν χρωμάτων.

## CCCXVIII.

Εἰς τὰς ἐν Μέμφει Πυραμίδας.

Οσσαν ἐπ' Οὐλύμπῳ καὶ Πήλιον ὑψωθέντα
ψευδὴς ἱστορίης ῥῆσις ἀνεπλάσατο·
Πυραμίδες δ' ἔτι νῦν Νειλωΐδες ἄκρα μέτωπα
κύρυσι χρυσέοις ἀστράσι Πληϊάδων.

## CCCXIX.

Εἰς λίθον ἀχάτην.

Ορᾷς τὸ κάλλος ὅσσον ἐςὶ τῆς λίθυ
ἐν ταῖς ἀτάκτοις τῶν φλεβῶν εὐταξίαις.

## CCCXX.

Η λίθος ἀςράπτει τελετὴν πολύμορφον Ιάκχυ,
καὶ πτηνῶν τρυγόωντα χορὸν καθύπερθεν Ερώτων.

CCCXXI. T. III.

Εἰς ἅρμα λίθινον.

Εἷς λίθος, ἅρμ', ἐλατήρ, ἵπποι, ζυγός, ἡνία, μάστιξ.

CCCXXII.

Εἰς ἄλλο ἅρμα λίθινον.

Εἷς λίθος, ἅρμ', ἐλατήρ, πῶλοι, ζυγοί, ἡνία, Νίκη.

ΕΙΣ ΛΟΥΤΡΑ. p. 220.

CCCXXIII.

Ἣν ποκάρος φιλέεσκες, Ἄρες, σκοπίαζε Κυθήρην
ἐνθάδε λυομένην νάμασι φαιδροτάτοις.
δέρκεο νηχομένην· μὴ δείδιθι. οὐ γὰρ Ἀθήνην
παρθένον εἰσοράας, οἷά τε Τειρεσίας.

CCCXXIV.

Αἱ Χάριτες λούσαντο· ἀμειψάμεναι δὲ λοετρὸν
δῶκαν ἑῶν ῥεθέων ὕδασιν ἀγλαΐην.

CCCXXV.

Ἢ τόδε τὴν Κυθέρειαν ὕδωρ τέκεν, ἢ Κυθέρεια
τοῖον ἔτευξεν ὕδωρ, ὃν χρόα λυσαμένη.

CCCXXVI.

Ἐνθάδε λυσαμένη δέμας ἄμβροτον αὐτίκα Κύπρις
δεῖξεν Ἀλεξάνδρῳ, καὶ ἄεθλιον ἥρπασε μῆλον.

CCCXXVII.

Τᾶν Χαρίτων τόδε λουτρὸν ἀθύρματα. καὶ γὰρ ἐκεῖνο
μούνας ἔσω παίσδειν τὰς Χάριτας δέχεται.

CCCXXVII. 2. Cod. μόνας εἴσω π.

T. III.

## CCCXXVIII.

Ουτως δὴ Χαρίτων λυτρὸν τόδε. ὐδὲ γὰρ ἄλλυς
πλείυς χωρῆσαι τῦτο τριῶν δύναται.

## CCCXXIX.

Αἱ τρεῖς Ορχομενῦ Χάριτες τὸ λοετρὸν ἔτευξαν·
τὕνεκα χωρῆσαι τέσσαρας ὐ δύναται.

p. 221.

## CCCXXX.

Μικρὰ μὲν ἔργα τάδ' ἐςὶν, ἔχει δ' ἡδεῖαν ὀδωδὴν,
ὡς ῥόδον ἐν κήποις, ὡς ἴον ἐν ταλάροις.

## CCCXXXI.

Εν μικρῷ μεγάλη λυτρῷ χάρις· ἐν δ' ἐλαχίςῳ
νάματι λυομένοις ἡδὺς ἔπεςιν ἔρως.

## CCCXXXII.

Ως δένδρον βραχύφυλλον, ἔχει δ' ἡδεῖαν ὀδωδὴν,
ὕτως λυτρὰ τάδε μικρὰ μὲν, ἀλλὰ φίλα.

## CCCXXXIII.

Μὴ νεμέσα βαιοῖσι· χάρις βαιοῖσιν ὀπηδεῖ.
βαιὸς καὶ Παφίης ἔπλετο κῦρος Ερως.

## CCCXXXIV.

Εἰς τὸ λυτρὸν Μαρίας ἐν Βυζαντίῳ.

Τῆς Μαρίης τὸ λοετρὸν ἰδὼν, ὑπεδάκρυσε Μῶμος
εἰπών· Ως Μαρίην, καὶ σὲ παρερχόμεθα.

CCCXXX. 1. Vulgo ἡδεῖαν ὀπωπὴν, et ſic etiam in Cod. a pr. manu; at ſupra correctum ὀδωδήν.

## CCCXXXV. T. III.

Εἰς ἄλλο ἐν Βυζαντίῳ.

Λουτρὸν ἐρεπτομένης προτέρων οὐ ψεύσατο μῦθος·
πίστιν ἀληθείης τοῦτο τὸ λουτρὸν ἔχει.
εἰ γὰρ ἅπαξ καθαροῖσι λοέσσεται ὕδασιν ἀνὴρ,
οὐ ποθέει πάτρην, οὐκ ἐθέλει γενέτας.

## CCCXXXVI. p. 222.

Τοῦτο ἰδὼν τὸ λοετρὸν ὁ πάνσοφος εἶπεν Ὅμηρος·
ΝΗΠΕΝΘΕΣ Τ', ΑΧΟΛΟΝ ΤΕ, ΚΑΚΩΝ ΕΠΙΛΗΘΟΝ ΑΠΑΝΤΩΝ.

## CCCXXXVII.

Ὅσσαις θηλυτέραις ἐστὶν πόθος, ἔστι δὲ πάσαις,
δεῦρ' ἴτε, φαιδροτέρης τευξόμεναι χάριτος.
χὴ μὲν ἔχουσα πόσιν, τέρψει πόσιν· ἡ δ' ἔτι κούρη
ὀτρυνέει πλείστους ἔδνα πορεῖν λεχέων·
ἡ δὲ φέρουσα πόρους ἀπὸ σώματος, ἐσμὸν ἐραστῶν
ἕξει ἐπὶ προθύροις, ἐνθάδε λουσαμένη.

## CCCXXXVIII.

Εἴτε σε κουριδίης ἀλόχου γλυκὺς ἵμερος ἴσχει,
λούεο, φαιδρότερος τῆσδε φανησόμενος.
εἴτε σε μισθοφόρους ἐπὶ μαχλάδας οἶστρος ὀρίνει,
λήψῃ, κοὐ δώσεις, ἐνθάδε λουσάμενος.

## CCCXXXIX.

Ὤμοσαν αἱ Χάριτες φερεαυγέα κοίρανον αἴγλης
ἐνθάδε ναιετάειν, ἢ παρὰ τῇ Παφίῃ.

## CCCXL.

Κύπρις, Ἔρως, Χάριτες, Νύμφαι, Διόνυσος, Ἀπόλλων
ὤμοσαν ἀλλήλοις ἐνθάδε ναιετάειν.

T. III.

## CCCXLI.

Ἀθάνατοι λῦονται ἀνοιγομένου βαλανείου,
πέμπτῃ δ' ἡμίθεοι, μετέπειτα δὲ πήματα πάντα.

p. 223.

## CCCXLII.

Εἰς λουτρὸν ἐν Τεγέῃ.

Χρήμασι τοῖς Ἀγάθωνος ἐδείματο τῇδε λοετρὸν
δῆμος ὁ τῆς Τεγέης, θαῦμα καὶ ἐσσομένοις.

## CCCXLIII.

Εἰς λουτρὸν ἐν Σμύρνῃ.

Ἐνθάδε λουσαμένων Χαρίτων ποτὲ, θέσκελα πέπλα
παιδὸς Ἔρως ἔκλεψε, καὶ ᾤχετο· τὰς δ' ἔλιπ' αὐτοῦ
γυμνὰς, αἰδομένας θυρέων ἔκτοσθε φανῆναι.

## CCCXLIV.

Εἰς κῆπον παραθαλάσσιον, ἐν ᾧ ἦν καὶ λουτρὸν, ἐν Ἀντιοχείᾳ.

Τὰς τρεῖς μοι λεύσσεις Χάριτας, ξένε. Ποντομέδων γὰρ
γείτονος ἐκ πόντου τὴν μίαν εἰργάσατο·
τὴν δ' ἑτέρην ἐτέλεσσε φυτῶν εὔκαρπος ἀλωή·
τὴν δ' ὑπολειπομένην τοῦτο τὸ λουτρὸν ἔχει.

## CCCXLV.

Εἰς λουτρὸν ἐν Πραινέτῳ.

Οὐ βαλανεῖον ἔην προπάροιθε τὸ νῦν βαλανεῖον,
ἀλλὰ τόπος σκυβάλων, χῶρος ἀποκρίσιος·
νῦν δὲ τὰ τερπνὰ τὰ πᾶσι βοώμενα καὶ χαρίεντα
ἀγλαΐῃ προφέρει. καὶ γὰρ Ἀλέξανδρος
Νικαέων ἱερεὺς, σοφίης ἐρικυδέος ἀστὴρ,
τεῦξέ μιν οἰκείοις χρήμασι καὶ δαπάναις.

CCCXLV. 4. Fort. προφέρει· Νικαέων ἱερεὺς καὶ γὰρ Ἀλέξανδρος κ. τ. λ.

## CCCXLVI.

T.III.p.226.

Εἰς κῆπον Ἔρωτα προσαγορευόμενον.

Οὐ μέγας οὐδ' ὁ Ἔρως, ἀλλ' εὔχαρις. ὡς καὶ ἐγώ τοι
οὐ μέγας ἐν κήποις, ἀλλὰ γέμω χαρίτων.

## CCCXLVII.

Μνήμονες οἱ Κᾶρες πολέων εὐεργεσιάων
Παλμᾶν ἰθυδίκην στῆσαν ἀγασσάμενοι.

## CCCXLVIII.

Κοίρανοι ὑμετέρην ἀρετὴν, κάρτος τε καὶ ἔργα
κυδήσει χρόνος αἰὲν, ἕως πόλος ἀστέρας ἕλκῃ.

## CCCXLIX.

Εἰς στήλην Ἄρεος κεχωσμένην ἐν Θρᾴκῃ.

Εἰσόκεν οὗτος ὁ θοῦρος ἐπὶ χθονὶ κέκλιται Ἄρης,
οὔποτε Θρηϊκίης ἐπιβήσεται ἔθνεα Γότθων.

## CCCL.

Εἰς ἀνδριάντα Πτολεμαίου ῥήτορος ἐν Ἀντιοχείᾳ.

α Εἰκὼν, τίς σ' ἀνέθηκε; β λόγοι. α τίνος εἶ; β Πτολεμαίου.
α ποίου; β τοῦ Κρητός. α τεῦ χάριν; β ἀντ' ἀρετῆς.
α τῆς ποδαπῆς; β πάσης. α τῆς εἰς τίνας; β εἰς δικολέκτας.
α καὶ ξύλον ἀρκεῖ; β ναί· χρύσιον οὐ δέχεται.

## CCCLI.

Ὁρᾷς πρόσωπον Κασσίης τῆς σώφρονος.
εἰ καὶ τέθνηκε, ταῖς ἀρεταῖς γνωρίζεται.
ψυχῆς τὸ κάλλος, μᾶλλον ἢ τῆς ὄψεως.

CCCXLVII. 2. Vulgo τέσσιν ἀγασσάμενοι.
CCCXLIX. Fort. in lemmate ſcr. κατακεχωσμένην et v. 1. ὑπὸ χθ.

T. III. p. 225.

## CCCLII.

Εἰς εἰκόνα Θεοδωριάδος.

Βάσκανος ἡ γραφὶς ἐσσί, καὶ εἰσορόωσι μεγαίρεις,
 χρύσεα κεκρυφάλοις βόστρυχα κρυψαμένη.
εἰ δ' ὑπάτης κεφαλῆς ὑπάτην χάριν εἰκόνι κεύθεις,
 οὐδ' ἐπὶ τῷ λοιπῷ κάλλεϊ πίστιν ἔχεις.
πᾶσα γραφὶς μορφῇσι χαρίζεται· ἀλλὰ σὺ μούνη
 τῆς Θεοδωριάδος κλέψας ἅπ' ἀγλαΐας.

## CCCLIII.

Εἰς Ξενοφῶντος Σμυρναίου ὀρχηστοῦ εἰκόνα.

Αὐτὸν ὁρᾶν Ἰόβακχον ἐδόξαμεν, ἡνίκα ληνοῖς
 ὁ πρέσβυς νεαρῆς ἦρχε χορειμανίης,
καὶ Κάδμου τὰ πάρηβα χορεύματα, καὶ τὸν ἀφ' ὕλης
 ἄγγελον εὐϊακῶν ἰχνελάτην θιάσων,
καὶ τὴν εὐάζουσαν, ἐν αἵματι παιδὸς Ἀγαύην
 λυσσάδα. Φεῦ θείης ἀνδρὸς ὑποκρισίης.

## CCCLIV.

Εἰς ἄγαλμα Καλλιόπης.

Καλλιόπη μὲν ἐγώ· Κύρῳ δ' ἐμὸν ὤπασα μαζόν,
 ὃς τρέφε θεῖον Ὅμηρον, ὅθεν πίε νήδυμος Ὀρφεύς.

## CCCLV.

Εἰς τὸν Ἀθήνησι τοῦ Διὸς ναόν.

Αὐτοῦ Ζηνὸς ὅδ' οἶκος ἐπάξιος· οὐδ' ἂν Ὄλυμπος
 μέμψεται οὐρανόθεν Ζῆνα κατερχόμενον.

p. 226.

## CCCLVI.

Εἰς τὸν αὐτόν.

Κεκροπίδαι Διὶ τόνδ' ἔθεσαν δόμον, ὡς ἀπ' Ὀλύμπου
 νισσόμενος ποτὶ γῆν, ἄλλον Ὄλυμπον ἔχῃ.

CCCLVII.

## CCCLVII.

T. III.

Εἰς ξενοδοχεῖον.

Ἀςὸς ἐμοὶ καὶ ξεῖνος ἀεὶ φίλος. ἐ γὰρ ἐρευνᾷν
τίς, πόθεν, ἠὲ τίνων, ἔςι φιλοξενίης.

## CCCLVIII.

Εἰς εἰκόνα Θεοδοσίε ἄρχοντος ἐν Σμύρνῃ.

Τὸν μέγαν ἐν βελαῖς Θεοδόσιον, Ἀσίδος ἀρχὸν,
εἰκόνι μαρμαρέῃ ςήσαμεν Ἀνθύπατον,
ἕνεκα Σμύρναν ἔγειρε, καὶ ἤγαγεν ἐς φάος αὖτις,
ἔργοις θαυμασίοις πολλὸν ἀειδομένην.

## CCCLIX. a

Εἰς εἰκόνα Δαμοχάριδος ἐν Σμύρνῃ.

Δαμόχαρι κλυτόμητι, δικασπόλε, σοὶ τόδε κῦδος,
ὅττι γε τὴν Σμύρναν μετὰ λοίγια πήματα σεισμῦ,
ἐσσυμένως πονέων, αὖθις πόλιν ἐξετέλεσσας.

## CCCLIX. b

Lect. p. 287.

Πιτθεΐδαι Θεόδωρον, ἐπεὶ πόλιν ἐξήγειρε
πευκαλίμοις ἀγανῆς μήδεσι προςασίης,
ναὶ μὴν καὶ κτεάτισον ἐπεὶ λίπε πᾶσι νέμεσθαι
ἄργυρον ἐς γενεὴν πᾶσαν ἐπεσσομένην.

## CCCLX.

T. III. p. 226.

Πᾶσα φύσις, βασιλεῦ, τὸ τεὸν κράτος αἰὲν ἀείδει,
ἕνεκα δυσμενέων ςίχας ὤλεσας, ἕνεκα φέγγος
ἀνδράσι σωφρονέεσι κακὴν μετὰ δῆριν ἀνάψας
ἱππολύτης ἐκέδασσας ὁμόγνια πήματα χάρμης.

CCCLIX. b 1. Lapis exhibet πολιν νεξηεε.
CCCLX. 1. Vulgo βασίλεια τεόν. 3. Cod. ἀνῆψας ἱππολύτης τ' ἐκέδ.

T.III.p.227.

## CCCLXI.

Εἰς βασιλέως ἄγαλμα ἐπὶ τῇ ἀνατολικῇ πύλῃ Θεσσαλονίκης.

Ηνορέης ὀλετῆρα ὑπερφιάλου Βαβυλῶνος,
καὶ σέλας ἀκτεάνοιο δίκης βασίλειον ὕπαρχον,
ξεῖνε, νόῳ σκίρτησον, ἰδὼν ἐφύπερθε πυλάων.
Εὐνομίης ποτὶ χῶρον ἀριστογένεθλον ὁδεύεις,
Βάρβαρον οὐ τρομέεις, οὐκ ἄῤῥενας ἀῤῥενοκοίτας.
ὅπλα Λάκων, σὺ δὲ τεῖχος ἔχεις βασίλειον ἄγαλμα.

## CCCLXII.

Εν τῇ αὐτῇ πύλῃ.

Μορφὰς ὁ γράψας, ἤθελον καὶ τοὺς τρόπους.
ἀνεσείρασε δέ μου τὴν ὄρεξιν ἡ τέχνη.
κάλει δέ μ' Αλέξανδρον εὔλαλον, φίλος.

## CCCLXIII.

Εἰς πηγήν.

Αέναον καθαρήν τε παρερχομένοισιν ὁδίταις
πηγὴν ἀμβλύζει γειτονέουσα νάπη·
πάντη δὲ πλατάνοισι καὶ ἡμεροθαλλέσι δάφναις
ἔστεμμαι, σκιερῇ ψυχομένη κλισίῃ.
τοὔνεκα μή με θέρευς παραμείβεο· δίψαν ἀλαλκὼν
ἄμπαυσον παρ' ἐμοὶ καὶ πόνον ἡσυχίῃ.

## CCCLXIV.

Εἰς κρήνην ἐν Τάφῳ.

Ωκεανοῦ θυγάτηρ καὶ Τηθύος εἰμὶ Νύχεια
κρήνη. Τηλεβόαι γάρ με τόδ' ὠνόμασαν.
Νύμφαις μὲν προχέω λουτρὸν, θνητοῖσι δ' ὑγείην·
θῆκε δ' ἐμὲ Πτερέλας υἱὸς Ενυαλίου.

## CCCLXV.

T.III.p.228.

Εἰς κρήνην Ὀλυμπιάδα.

Ἔνθεν Ἀλέξανδρος Μακεδὼν πίεν ἀγλαὸν ὕδωρ·
μητρὸς δ' εἶπε γάλακτι πανείκελα ῥεύματα πηγῆς,
ᾗ καὶ Ὀλυμπιάδος πόρεν οὔνομα μητέρος ἐσθλῆς.

## CCCLXVI.

Εἰς κρήνην ἐν Ἄσσῳ.

Πᾶσα μὲν Ἀξιόχῳ πόλις εὔχεται· ἄλλο γὰρ ἄλλης
πῆμα παραστείχων, ὡς θεὸς, ἠκέσατο·
ἔξοχα δὲ κραναῇ ῥόον ὕδατος ὤπασεν Ἄσσῳ,
πολλῶν πετράων σκληρὰ μέτωπα τεμών.
μηκέτι φεύγετε πάντες ἀποπροθέοντες ὁδῖται·
πλημμύρει ψυχροῖς ὕδασιν Ἀξιόχου.

## CCCLXVII.

Εἰς πόλιν Μέψου ἐσίαν.

Μόψου τήνδ' ἐσορᾷς κλεινὴν πόλιν, ἥν ποτε μάντις
δείματο, τῷ ποταμῷ κάλλος ὑπερκρεμάσας.

## CCCLXVIII.

Εἰς πόλιν Ἡράκλειαν τὴν Πόντου.

Εἰ πόλιν Ἡρακλῆος ὁμώνυμον οἶσθα καὶ ἄλλην,
ἴσθι με τὴν Πόντου μηδὲν ἀτιμοτέρην.

## CCCLXIX.

Εἰς Σμύρναν.

Εἰ τραφερῆς πάσης ἀλιτέρμονα κύκλον ὁδεύσεις,
οὔ ποτέ μοι τινὰ χῶρον ἀρείονα τοῦδε νοήσεις,
θέσκελον οἷον ἔτευξεν ἀγακλυτὸς Ἰωάννης, p. 229.
κυδαίνων βασίλειαν ὅλης χθονός. ἐκ ῥοθίων γὰρ
τερπωλὴν ἀκόρητον ἐν ἄστεϊ θῆκεν Ὁμήρου.

T. III.

## CCCLXX.

Εἰς μῶλον ἐν Σμύρνῃ τῇ θαλάσσῃ ἐπικείμενον, ἐν ᾧ καὶ ὑδρεῖον.

α Τίς βυθὸν ἠπείρωσε; τίς ἐν ῥοθίοισιν ἔτευξεν
ἀκτὴν ἀμφιρύτην λάεσι μαρμαρέοις;
τίς δ' ἐνὶ κύμασι τεῦξε ποτὸν πλωτῆρας ἀφύσσειν,
αὐτῶν ἐκ νηῶν χερσὶν ἀρυομένους;
β οὗτος ὁ ποικιλόμητις ἀνὴρ Βενέτιος ἀμύμων,
κτίσμασι νικήσας Θησέα, καὶ Πέλοπα.

## CCCLXXI.

Εἰς φάρον ἐν Σμύρνῃ.

α Τίς τόσον ἔργου ἔτευξε; τίς ἡ πόλις, ἢ τὸ γέρας, τί;
β Ἀμβρόσιος Μυλασεὺς τὸν φάρον Ἀνθύπατος.

## CCCLXXII.

Εἰς τὸν αὐτόν.

Μηκέτι δειμαίνοντες ἀφεγγέα νυκτὸς ὁμίχλην,
εἰς ἐμὲ θαρσαλέως πλώετε ποντοπόροι.
πᾶσιν ἀλωομένοις 'τηλαυγέα δαλὸν ἀνάπτω,
τῶν Ἀσκληπιαδῶν μνημοσύνην καμάτων.

## CCCLXXIII.

Εἰς φάρον Ἀλεξανδρείας.

Πύργος ἐγὼ ναύτῃσιν ἀλωομένοισιν ἀρήγων
εἰμὶ, Ποσειδάωνος ἀπενθέα πυρσὸν ἀνάπτων,
p. 230. καί με πεσεῖν μέλλοντα βαρυγδούποισιν ἀήταις
στῆσεν ἑοῖς καμάτοις Ἀμμώνιος, ὃς βασιλῆος
ἐστὶ πατήρ· κείνῳ δὲ μετ' ἄγρια κύματα ναῦται
χεῖρας ἀειρτάζουσιν, ἅτε κλυτῷ Ἐννοσιγαίῳ.

## CCCLXXIV. T. III.

Τήκει καὶ πέτραν ὁ πολὺς χρόνος· ἀλλ᾽ ἀρετάων
Ἀσκληπιοδότου τὸ κλέος ἀθάνατον,
ὅσσα καὶ οἷα πόρεν γέρα πατρίδι· τοῖς ἐπὶ πᾶσι
καὶ τόδε μετρείσθω κοῖλον ἔρεισμα θόλου.

## CCCLXXV. a

Εἰς τὴν πύλην τοῦ Ἄργους.

Τήνδε πύλην λάεσσιν ἐΰξέστοις ἀραρυῖαν,
ἀμφότερον, κόσμον τε πάτρῃ, καὶ θάμβος ὁδίταις
τεῦξε Κλέης, Κλεάδος ἁγνῆς πόσις εὐπατερείης,
Λερναίων ἀδύτων περιώσιος ὀργιοφάντης,
τερπόμενος δώροισιν ἀγασθενέων βασιλήων.

## CCCLXXV. b Lect. p. 288.

Τέρπεο καὶ σκηνῆς πολυγηθέος ἔκτοθι μίμνων,
Μεσσαλίνου κλεινοῖς ἔργμασιν ἡδόμενος,
οὗ θεάτρου κύκλον περιώσιον ἐξεσάωσε·
πανδαμάτωρ δὲ χρόνος εἶξεν ἀεργοσύνῃ.

## CCCLXXVI. T. III. p. 230.

Εἰς κάγκελον οἰκίας.

Ἢν κλείσῃς μ᾽, ἀνέῳγα· καὶ ἢν οἴξῃς, κλείσεις με.
τοῖος ἐὼν, τηρεῖν σὸν δόμον οὐ δύναμαι.

## CCCLXXVII.

Εἰς μινσώριον ἀνάγλυφον.

Ἀργύρεος πόλος οὗτος, ὅπῃ Φαέθοντα Σελήνη
δέρκεται ἀντιτύπων πιμπλαμένη φαέων·

CCCLXXV. a 3. Noſtra lectio eſt in Cod. Vat. At in lapide vet. Oxon. legitur Κλεάδας ἁγνῆς. 4. Vulgo ἀργειοφάντης.
CCCLXXVI. 1. melius Salm. οἴξῃς σύ με κλείσεις.

T.III.p.231. ἀπλανέες δ' ἑκάτερθε, καὶ ἀντιθέοντες ἀλῆται
ἀνδρομένης γενεῆς πᾶσαν ἄγουσι τύχην.

## CCCLXXVIII.

Εἰς ἄλλο μιναύριον ἀνάγλυφον.

Τέσσαρές εἰσιν Ἔρωτες. ὁ μὲν στέφος ἀμφικαλύπτει
μητρὸς ἑῆς· ὁ δὲ χεῖλος ἔχει ποτὶ πίδακι μαζοῦ·
οἱ δὲ δύω παίζουσι παρ' ἴχνεσιν· εἷμα δὲ κρύπτει
μηρῷ γείτονα χῶρον ὅλης γυμνῆς Ἀφροδίτης.

## CCCLXXIX.

Εἰς ἀσπίδα περιέχουσαν τὴν γέννην τοῦ Σωτῆρος.

Ὢ πόσον εὐήθης ὁ ζωγράφος, ὅττι χαράσσει
κοίρανον εἰρήνης ἀσπίδι τικτόμενον.

## CCCLXXX.

Πίστιν ἔχων βασίλειαν ἐμῶν μενέων συνέριθον,
σοὶ, μάκαρ Ὑψίμεδον, τόνδ' ἱερὸν ἔκτισα νηὸν,
Ἑλλήνων τεμένη καὶ βωμοὺς ἐξαλαπάξας,
χειρὸς ἀπ' οὐτιδανῆς Ἰοβιανὸς ἕδνον ἄνακτι.

## CCCLXXXI.

Εἰς ἐλαίαν βαστάζουσαν ἄμπελον.

Παλλάδος εἰμὶ φυτόν· Βρομίου τί με θλίβετε κλῶνες;
αἴρετε τοὺς βότρυας· παρθένος οὐ μεθύω.

## CCCLXXXII.

Εἰς δάφνην ἀξίνῃ κοπτομένην.

Ποῖ Φοῖβος πεπόρευτο, Ἄρης ὅτ' ἐμίγνυτο Δάφνῃ;

## CCCLXXXIII.

p. 232. Ἐκλάσθην ἀνέμοισι πίτυς. τί με τεύχετε νῆα,
ναυηγῶν ἀνέμων χερσόθι γευσαμένην;

## CCCLXXXIV. T. III.

Ο'ὔρεσιν ἐν δολιχοῖς βλωθρὴν πίτυν ὑέτιός με
πρόῤῥιζον γαίης ἐξεκύλισε Νότος·
ἔνθεν ναῦς γενόμην, ἀνέμοις πάλιν ὄφρα μάχωμαι.
ἄνθρωποι τόλμης οὔ ποτε φειδόμενοι.

## CCCLXXXV.

Τίπτ' ἐμὲ τὴν ἀνέμοισιν ἁλώσιμον, ἠλεὲ τέκτον,
τήνδε πίτυν τεύχεις νῆα θαλασσοπόρον;
οὐδ' οἰωνὸν ἔδεισας, ὅτι Βορέης μ' ἐδίωξεν
ἐν χθονί; πῶς ἀνέμους φεύξομαι ἐν πελάγει;

## CCCLXXXVI.

Τίς ποτ' ἀκηδέστως οἰνοτρόφον ὄμφακα Βάκχου
ἀνὴρ ἀμπελίνου κλήματος ἐξέταμε,
χείλεα δὲ στυφθεὶς ἀπό μιν βάλεν, ὡς ἂν ὁδίταις
εἴη νισσομένοις ἡμιδαὲς σκύβαλον;
εἴη οἱ Διόνυσος ἀνάρσιος, οἷα Λυκούργῳ,
ὅττι μιν αὐξομένην ἔσβεσεν εὐφροσύνην.
τοῦδε γὰρ ἂν τάχα τις διὰ πώματος ἢ πρὸς ἀοιδὰς
ἤλυθεν, ἢ γοεροῦ κήδεος ἔσχε λύσιν.

## CCCLXXXVII.

Εἰς γραφίδα.

Ἤμην ἀχρεῖον κάλαμος φυτόν. ἐκ γὰρ ἐμεῖο
οὐ σῦκ', οὐ μῆλα φύεται, οὐ σταφυλή,
ἀλλά μ' ἀνὴρ ἐμύησ' Ἑλικωνίδα, λεπτὰ τορήσας p. 233.
χείλεα, καὶ στεινὸν ῥοῦν ὀχετευσάμενος.

CCCLXXXV. 3. Cod. ὅτοι.

Τ. III. ἐκ δὲ τοῦ εὖτε πίοιμι μέλαν ποτὸν, ἔνθεος οἷα,
πᾶν ἔπος ἀφθέγκτῳ τῷδε λαλῶ στόματι.

## CCCLXXXVIII.

Ἕκτωρ Αἴαντι ξίφος ὤπασεν· Ἕκτορι δ' Αἴας
ζωστῆρ'. ἀμφοτέρων ἡ χάρις εἰς θάνατον.

## CCCLXXXIX.

Πικρὴν ἀλλήλοις Ἕκτωρ χάριν, ἠδὲ φερασπὶς
Αἴας ἐκ πολέμου μνῆμ' ἔπορεν φιλίης.
Ἕκτωρ γὰρ ζωστῆρα λαβὼν, ξίφος ἔμπαλι δῶκε·
τὴν δὲ χάριν δώρων πείρασαν ἐν θανάτῳ.
τὸ ξίφος εἷλ' Αἴαντα μεμηνότα, καὶ πάλι ζωστὴρ
εἵλκυσε Πριαμίδην δίφρια συρόμενον.
πέμπεται ἐξ ἐχθρῶν οὕτως αὐτοκτόνα δῶρα,
ἐν χάριτος προφάσει μοῖραν ἔχοντα μόρου.

## CCCXC.

Ἀσπίδ' Ἀχιλλῆος, τὴν Ἕκτορος αἷμα πιοῦσαν,
Λαρτιάδης Δαναῶν εἷλε κακοκρισίῃ·
ναυηγοῦ δὲ θάλασσα κατέσπασε, καὶ παρὰ τύμβον
Αἴαντος νηκτὴν ὥρμισεν, οὐκ Ἰθάκῃ.
καὶ κρίσιν Ἑλλήνων στυγερὴν ἀπέδειξε θάλασσα,
καὶ Σαλαμὶς ἀπέχει κῦδος ὀφειλόμενον.

## CCCXCI.

Καλὰ Ποσειδάων δίκασε πολὺ μᾶλλον Ἀθήνης·
ἀσπὶς ἐν αἰγιαλοῖσι βοᾷ, καὶ σῆμα τινάσσει,

CCCLXXXVII. 5. Cod. ἔνθεον οἷα.
CCCLXXXIX. 7. Vulgo οὕτως ἐξ ἐχθρῶν αὐτοκτόνα πέμπετο δῶρα.

αὐτόν σ' ἐκκαλέουσα, τὸν ἄξιον ἀσπιδιώτην. T.III.p.234.
ἔγρεο, παῖ Τελαμῶνος, ἔχεις σάκος Αἰακίδαο.

CCCXCII.

Ἀλφεὸς ἄῤῥεν ὕδωρ, Ἀρεθούσιόν ἐστι τὸ θῆλυ·
καὶ ποτὸν εὗρεν Ἔρως, κιρναμένων ὑδάτων.

CCCXCIII.

Ἐν τῷ Ἀσκληπιείῳ τῶν Παντικαπαιέων, ἐπὶ τῇ ῥαγείσῃ χαλκῇ ὑδρίᾳ διὰ τὸν πάγον.

Εἴ τις ἄρ' ἀνθρώπων μὴ πείθεται οἷα παρ' ἡμῖν
γίνεται, εἰς τήνδε γνώτω ἰδὼν ὑδρίαν,
ἣν οὐχ ὡς ἀνάθημα θεοῦ καλὸν, ἀλλ' ἐπίδειγμα
χειμῶνος μεγάλου θῆχ' ἱερεὺς Στράτιος.

CCCXCIV. a

Εἰς τοὺς Ἠλείους.

Ἦλις καὶ μεθύει, καὶ ψεύδεται. οἷος ἑκάστου
οἶκος, τοιήδε καὶ ξυνάπασα πόλις.

CCCXCIV. b p. 334.

Ἀσπίδα, φεῦγον, ὄφιν, καὶ Λαδικέας περίφευγε
καὶ κύνα λυσσητὴν, καὶ πάλι Λαδικέας.

CCCXCV. p. 234.

Ἀνδρὶ μὲν αὐλητῆρι θεοὶ νόον οὐκ ἐνέφυσαν·
ἀλλ' ἅμα τῷ φυσᾶν χῶ νόος ἐκπέταται.

CCCXCVI.

Ἰκάρου ὦ νεόφοιτον ἐς ἠέρα πωτηθέντος
Ἰκαρίη πικρῆς τύμβε πτεροδρομίης,

CCCXCVI. 2. Cod. τύμβε κακοδρομίης.

T. III. ἄβαλε μήτε σε κεῖνος ἰδεῖν, μήτ᾽ αὐτὸς ἀνεῖναι
Τρίτων Αἰγαίου νῶτον ὑπὲρ πελάγευς.
p. 235. οὐ γάρ σοι σκεπανή τις ὑφόρμισις, οὔτε βόρειον
ἐς κλίτος, οὔτ᾽ ἀγὴν κύματος ἐς νοτίην.
ἔρροις, ὦ δύσπλωτε, κακόξενε· σεῖο δὲ τηλοῦ
πλώοιμι, συγεροῦ ὅσσον ἀπ᾽ Αΐδεω.

## CCCXCVII.

Ἰξευτὴς πρὸς στρουθίον.

Τίπτε μέγα κλάζεις πωτωμένη ὄζον ἀπ᾽ ὄζου;
τοῖα καὶ ἄλλη ἔρεξε, καὶ οὐ φύγεν ἰξοφορῆας
ἡμετέρους δόνακας, περὶ δὲ πτερὰ πυκνὰ βαλοῦσα
ἤλυθε τεχνήεντα, καὶ οὐκ ἐθέλουσα, πρὸς ἄνδρα.

## CCCXCVIII.

Εσχατιαὶ Λιβύων Νασαμωνίδες, οὐκ ἔτι θηρῶν
ἔθνεσιν αὐχμηρὰ νῶτα βαρυνόμεναι,
οὐ τοι ἐρημαίῃσιν ὑποπτήσσεσθε λεόντων
ὠρυγαῖς ψαμάθους ἄχρις ὑπὲρ Νομάδων,
φῦλον. ἐπεὶ ἀνάριθμον ἐν ἰχνοπέδαισιν ἀγρευθὲν
ἐς μίαν αἰχμητὴς Καῖσαρ ἔθηκε θέαν.
αἱ δὲ πρὶν ἀγραύλων ἐγκοιτάδες ἀκρώρειαι
θηρῶν, νῦν ἀνδρῶν εἰσὶ βοηλασίαι.

## CCCXCIX.

Εἰς κόγχην, ἐν ᾗ ἐγέγλυπτο Ερως καθεύδων.

Πρὶν μὲν ἁλικλύστοιο πέτρας ἐνὶ βένθεσιν ἦμαν
εὐαλδὲς πόντου φῦκος ἀναινομένα·

CCCXCVIII. 2. Cod. ἔθνεσιν ἠπείρου νῶτα β. 6. ε. μ. αἰχμηταῖς
Καῖσαρ ἔθηκεν ὁ παῖς.
CCCXCIX. 1. Cod. ἁλικλαύστου. 2. εὐαλδές. et ἀπαινομένα.

νῦν δέ μοι ἱμερόεις κόλπων ἔντοσθεν ἰαύει T. III.
λάτρις ἐϋστεφάνου Κύπριδος ἁβρὸς Ἔρως.

## CCCC. p. 236.

Ῥεῖθρα Κασωλίνου ποταμοῦ βεβαρημένα νεκροῖς
δέξατο Τυρσηνῆς ἠϊόνος κροκάλη,
ἡνίκα Φραγγικὰ φῦλα κατέκτανεν Αὐσονὶς αἰχμή,
ὁππόσα δειλαίῳ πείθετο Βουτελίνῳ.
ὄλβιον ἂν τόδε ῥεῦμα, καὶ ἔσσεται ἀντὶ τροπαίου
αἵματι βαρβαρικῷ δηρὸν ἐρευθόμενον.

## CCCCI.

Οὕτως σῆς ἀρετῆς, Αὐξέντιε, καὶ τόδε θαῦμα,
δείμασθαι ποταμοῦ χειμερίοισι δρόμοις
ἄῤῥηκτον κρηπῖδα σιδηροδέτοισι θεμείλοις,
ὧν ὕπερ εὐρείην ἐξετάνυσσας ὁδόν,
ἥν πολλοὶ καὶ πρόσθεν ἀπειρίησι νόοιο
Κυδναίων ῥείθρων τεῦξαν ἀφαυροτέρην·
σοὶ δ' ὑπὲρ ἀψίδων αἰώνιος ἐῤῥίζωται,
καὶ ποταμὸς πλήθων πρηΰτερος τελέθει.
αὐτὸς τήνδε γέφυραν ἀνασχόμενος τελέσασθαι
ἡγεμόνος Πίθου τοῦ διασημοτάτου,
ὄφρα σε καὶ μετόπισθεν ἔχοι κλέος ἶσον ἐκείνοις,
οἳ Νείλου προχοὰς ζεῦξαν ἀπειρεσίους.

## CCCCII.

Θήρη μὲν πολέμου μελέτη, θήρη δὲ διδάσκει
κρυπτὸν ἑλεῖν, ἐπιόντα μένειν, φεύγοντα διώκειν.

CCCCI. 10. Nomen Πίθου corruptum videtur.

T. III. **CCCCIII.**

Τιμῆς ἄρχοντος λογίου χάριν ἐστήσαντο
βουλὴ καὶ βασιλεῖς τὸν σοφὸν Εὐσέβιον.

p. 237. **CCCCIV.**

Ἂν περιλειφθῇ μικρὸν ἐν ἄγγεσιν ἡδέος οἴνου,
εἰς ὀξὺ τρέπεται τοῦτο τὸ λειπόμενον.
οὕτως ἐντλήσας τὸν ὅλον βίον, εἰς βαθὺ δ' ἐλθὼν
γῆρας ὁ πρεσβύτης, γίνεται ὀξύχολος.

**CCCCV.**

Οὐκ ἔστι γήμας, ὅστις οὐ χειμάζεται.
λέγουσι πάντες, καὶ γαμοῦσιν εἰδότες.

**CCCCVI.**

Εἴ τις ἅπαξ γήμας πάλι δεύτερα λέκτρα διώκει,
ναυηγὸς πλώει δὶς βυθὸν ἀργαλέον.

**CCCCVII.**

Τρεῖς ἐτέων δεκάδας, τριάδας δύο, μέτρον ἔθηκαν
ἡμετέρης βιοτῆς μάντιες αἰθέριοι.
ἀρκοῦμαι τούτοισιν. ὁ γὰρ χρόνος ἄνθος ἄριστον
ἡλικίης· ἔθανε χὠ τριγέρων Πύλιος.

**CCCCVIII.**

Τὸν βίον, Ἡράκλειτε, πολὺ πλέον ἤπερ ὅτ' ἔζης,
δάκρυε· νῦν ὁ βίος ἔστ' ἐλεεινότερος.
τὸν βίον ἄρτι γέλα, Δημόκριτε, τὸ πλέον ἢ πρίν·
νῦν ὁ βίος πάντων ἐστὶ γελοιότερος.
εἰς ὑμέας δὲ καὶ αὐτὸς ὁρῶν, τὸ μεταξὺ μεριμνῶ,
πῶς ἅμα σοι κλαύσω, πῶς ἅμα σοι γελάσω.

## CCCCIX.

T. III. p. 238.

Ὠκεῖαι χάριτες γλυκερώτεραι· ἢν δὲ βραδύνῃ,
πᾶσα χάρις κενεὴ, μηδὲ λέγοιτο χάρις.

## CCCCX.

Ἀγρὸς Ἀχαιμενίδου γενόμην ποτὲ, νῦν δὲ Μενίππου·
καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον.
καὶ γὰρ κεῖνος ἔχειν με ποτ' ᾤετο, καὶ πάλιν οὗτος
οἴεται· εἰμὶ δ' ὅλως οὐδενὸς, ἀλλὰ Τύχης.

## CCCCXI.

Κοινῇ πὰρ κλισίῃ ληθαργικὸς ἠδὲ φρενοπλὴξ
κείμενοι, ἀλλήλων νοῦσον ἀπεσκέδασαν.
ἐξέθορε κλίνης γὰρ ὁ τολμήεις ὑπὸ λύσσης,
καὶ τὸν ἀναίσθητον παντὸς ἔτυψε μέλους.
πληγαὶ δ' ἀμφοτέροις ἐγένοντ' ἄκος, αἷς ὁ μὲν αὐτῶν
ἔγρετο, τὸν δ' ὕπνῳ πολλὸς ἔρειψε κόπος.

## CCCCXII.

Ὁ πρὶν ἀεὶ Βρομίου μεμεθυσμένος οἰνάδι πηγῇ,
σύντροφος εὐάσταις, αἰγοπόδης Σάτυρος
διχθάδιον κατὰ κῶλον ἀλυκτοπέδῃσι λυγωθεὶς,
ἔντεα παιδὶ θεᾶς χαλκοτορεῖ Θέτιδος,
οὐ σοφὸν ἐκ τέχνας ἀσκῶν πόνον, ἀλλὰ πενιχρὰν
ἐργάτιν ἐκ μόχθων ῥυόμενος βιοτάν.

## CCCCXIII.

Ποῦ σοι κεῖνα κύπελλα, λαφύστιε; ποῦ καλὰ θύρσων
πήγματα καὶ κῶμοι, σκιρτοπόδη Σάτυρε;

CCCCXI. 6. Vulgo τὸν δ' ὕπνου. Cod. ὕπνῳ dedit.

T.III.p.239. τίς σε παρὰ σμίλαισι, ποδίκροτον ἅμμα καθάψας,
θήκατο, τὸν Βρεμίῳ σπάργαν' ἑλιξάμενον;
β αἰσχρήμων ἔνδεια, καὶ ἡ πάντολμος ἀνάγκη,
ἥ με παρ' Ἡφαίςῳ θῆκε μαριλοπότην.

CCCCXIV.

Εἰ κρίσις ἐςὶ κάτω καὶ Τάνταλος, ὐδὲν ἀπιςῶ,
τῇ πενίῃ μελετῶν τὴν ὑπὸ γῆν κόλασιν.

CCCCXV.

Χρήματα καὶ πόρναις παραγίνεται· ὐκ ἀλεγίζω.
μισείτω με τάλας Χρυσὸς ὁ πορνοφίλας.

CCCCXVI.

Τίπτ' ἐμὲ τὸν φιλέρημον ἀναιδέϊ ποιμένες ἄγρῃ
τέττιγα δροσερῶν ἕλκετ' ἀπ' ἀκρεμόνων,
τὴν Νυμφέων παροδῖτιν ἀηδόνα, κήματι μέσσῳ
ὔρεσι καὶ σκιεραῖς ξυθὰ λαλεῦντα νάπαις;
ἥνιδε καὶ κίχλην καὶ κόσσυφον, ἥνιδε τόσσυς
ψᾶρας, ἀρυραίης ἅρπαγας εὐπορίης.
καρπῶν δηλητῆρας ἑλεῖν θέμις· ὄλλυτ' ἐκείνυς.
φύλλων καὶ χλοερῆς τίς φθόνος ἐςὶ δρόσυ;

CCCCXVII.

Δίκτυον ἐκθρώσκοντα πολύπλοκον ἄρτι λαγωὸν
σεῦε κύων θερμοῖς ἴχνεσιν ὠκυπόδην.
τρηχὺν ὁ δ' ἐκνεύσας ταχινῶς πάγον, ἐς βαθὺ πόντυ
ἥλατ' ἀλυσκάζων κῦμα παρακτίδιον.

CCCCXVI. 3. κήματι Cod. Vat. e correctione; nam primo ſcriptum fuerat κύματι.

εἰνάλιος τὸν δ' αἶψα κύων βρυχηδὸν ὀδοῦσι T. III.

μάρψε. κυσὶ τλήμων ἦν ἄρ' ὀφειλόμενος.

## CCCCXVIII. p. 240.

Εἰς βαθὺν ἥλατο Νεῖλον ἀπ' ὀφρύος ὀξὺς ὁδίτης,

ἡνίκα λαιμάργων εἶδε λύκων ἀγέλην.

ἀλλά μιν ἀγρεύσαντο δι' ὕδατος. ἔβρυκε δ' ἄλλος

ἄλλον, ἐπουραίῳ δήγματι δραξάμενος.

μακρὰ γεφυρώθη δὲ λύκοις βυθός. ἔφθανε δ' ἄνδρα

νηχομένων θηρῶν αὐτοδίδακτος ἄρης.

## CCCCXIX.

Λεπτὸν ὑφηναμένα ῥαδινοῖς ὑπὸ ποσσὶν ἀράχνα

τέττιγα σκολιαῖς ἔνδετον εἶχε πάγαις.

ἀλλ' οὐ μὰν λεπταῖσιν ὑπαιάζοντα ποδάγραις

τὸν φιλαοιδὸν ἰδὼν παῖδα παρετρόχασα·

λύσας δ' ἐκ βροχίδων ἀπεκούφισα, καὶ τόδ' ἔλεξα·

Σώζου μουσείῳ φθεγγόμενος κελάδῳ.

## CCCCXX.

Σοὶ, πατρὶ Θεσσαλίη πωλοτρόφε, μέμψιν ἀνάπτω

Πήγασος, ὡς ἀδίκου τέρματος ἠντίασα,

ὃς Πυθοῖ, κἠν Ἰσθμῷ ἐκώμασα, κἠπὶ Νέμειον

Ζῆνα, καὶ Ἀρκαδικοὺς ἤλυθον ἀκρέμονας·

νῦν δὲ βάρος πέτρης Νισυρίτιδος ἔγκυκλον ἕλκω,

λεπτύνων Δηοῦς καρπὸν ἀπ' ἀσταχύων.

## CCCCXXI.

Ἐκ θοίνης φάος ἔσχεν ἐπ' ἀχράδα μυκὰς ἰοῦσα,

ἐκ δ' ἐφάνη τυφλὴν μηκέτ' ἔχουσα κόρην.

CCCCXXI, 1. Cod, εἰ χθονίης. Fort. ἐξ ἁλιῆς.

T. III. δισσῶν τὴν ἑτέραν γὰρ ἐκέντρισεν ὀξὺς ἀκάνθης
ὄζος. ἴδ᾽ ὡς τέχνης δένδρον ἐνεργότερον.

p. 241. CCCCXXII.

Εἰς αἶγα θηλάζουσαν λύκον.

Τὸν λύκον ἐξ ἰδίων μαζῶν τρέφω οὐκ ἐθέλουσα,
ἀλλά μ᾽ ἀναγκάζει ποιμένος ἀφροσύνη.
αὐξηθεὶς δ᾽ ὑπ᾽ ἐμοῦ, κατ᾽ ἐμοῦ πάλι θηρίον ἔσται.
Η ΧΑΡΙΣ ΑΛΛΑΞΑΙ ΤΗΝ ΦΥΣΙΝ ΟΥ ΔΥΝΑΤΑΙ.

CCCCXXIII.

Ἡ γραφὶς ἀργυρέη μὲν, ὅτ᾽ ἐκ πυρὸς ἦλθον, ἐτύχθην·
σαῖσι δὲ καὶ χρυσέη γίνομαι ἐν παλάμαις.
ὧδέ σοι, ὦ χαρίεσσα Λεόντιον, εὖ μὲν Ἀθήνη
τέχνης, εὖ δ᾽ εἴδους ἄκρα δέδωκε Κύπρις.

CCCCXXIV.

Μή ποτε τὸν παρεόντα παρεὶς φίλον, ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

CCCCXXV.

Θησαυρὸς μέγας ἐστ᾽ ἀγαθὸς φίλος, Ἡλιόδωρε,
τῷ καὶ τηρῆσαι τοῦτον ἐπισταμένῳ.

CCCCXXVI.

Πρᾶγμα μὲν ἔσθ᾽ ὁ φίλος πάνυ δύσκολον· εἰσὶ δὲ πολλοὶ,
καὶ σχεδὸν οἱ πάντες, μέχρι προσηγορίας.

CCCCXXVI. Huic diſticho in membranis ſubiungitur hoc:
Χρησαμένῳ θεράπων ὁ χρήσιμος ἔστ᾽ ἀγαθόν τι·
αὐταρκὴς δὲ κακὸν τῶνδ᾽ ὁ πονηρότερος.
ubi fort. corr. αὐτάρκης δὲ, κακῶν ἐστὶν ἀπειρότερος.

CCCCXXVII. T. III.

Κίσσῳ μὲν Διόνυσος ἀγάλλεται, αἰγίδι δὲ Ζεύς,
οἱ ναέται ξείνοις, ἡ δὲ πόλις ναέταις.

CCCCXXVIII. p. 242.

Ὄλβιον ἀνθρώποισιν ἔχει φάος ἄμβροτος αἰὼν
σῇσιν, ὑπ' ἐννεσίῃς, εὐμενέτειρα Τύχη.
νεύματι γὰρ σῷ πάντα φέρει κλέος, ᾧ ποτε χειρὶ
δεξιτερῇ παρέχῃς αὐχένα θεσπέσιον.
τούτῳ καὶ βασιλῆες ἀμύμονες ἁρμόζονται,
καὶ λογίων ἀγέλης ἔξοχοι ἡγεμόνες.
καὶ νῆες λιμένεσσι σαώτεραι ἀμπαύονται,
σὴν δι' ἀρηγοσύνην σωζόμεναι πελάγει·
καὶ πόλιες χαίρουσιν ἀκύμονες, ἠδέ τε λαοὶ,
καὶ θαλερῶν πεδίων λείμακες ἀμβρόσιοι.
τοὔνεκα σὸν θεράποντα πρὸς ὄλβιον ἀθρήσασα
* * * * * * * *

CCCCXXIX.

Ὁ φθόνος ἐστὶ κάκιστος, ἔχει δέ τι καλὸν ἐν αὐτῷ.
τήκει γὰρ φθονερῶν ὄμματα καὶ κραδίην.

CCCCXXX.

Ὁ φθόνος αὐτὸς ἑαυτὸν ἑοῖς βελέεσσι δαμάζει.

CCCCXXXI.

Μητρυιαὶ προγόνοισιν ἀεὶ κακόν· οὐδὲ φιλοῦσαι
σώζουσι. Φαίδραν γνῶθι καὶ Ἱππόλυτον.

CCCCXXVIII. 2. Cod. ἐννεσίῃσιν. 4. παρέχοις. 7. σαώτερος.
8. διὰ ἡγοσύνην. 9. ἀμύμονες. 10. λειμῶνες ἀμβρ.

T. III. CCCCXXXII.

Στήλην μητρυιῆς, μικρὰν λίθον, ἔστεφε κοῦρος,
ὡς βίον, ἠλλάχθαι καὶ τρόπον οἰόμενος·
ἡ δὲ τάφῳ κλινθέντα κατέκτανε παῖδα πεσοῦσα.
φεύγετε μητρυιῆς καὶ τάφον οἱ πρόγονοι.

p. 243. CCCCXXXIII.

Εὐστέφιδός μ' ἐδάμασσεν ὁμοῦ, καὶ πρώϊος ὕπνος,
ὃς μὲν, ἐπιβρίσας, ὃς δ', ἐμὲ μὴ καλέσας·
ὧν ἐξ ἀμφοτέρων ὁ μὲν ἐῤῥέτω, ὃς δὲ παρείη
ἵλαος, ὡράων μέτρον ἐπιστάμενος.

CCCCXXXIV.

Αρτιπαγῆ ῥοθίαισιν ἐπὶ κροκάλαισί με νῆα,
καὶ μήπω χαροποῦ κύματος ἁψαμέναν,
οὐδ' ἀνέμεινε θάλασσα· τὸ δ' ἄγριον ἐπλήμμυρε
χεῦμα, καὶ ἐκ σταθερῶν ἥρπασεν ἠϊόνων
ὁλκάδα τὰν δείλαιαν, ἀείκλονον, ᾗ γε τὰ πόντου
χεύματα κὴν χέρσῳ λοίγια κὴν πελάγει.

CCCCXXXV.

Ην νέος, ἀλλὰ πένης· νῦν γηρῶν πλούσιός εἰμι,
ὢ μόνος ἐκ πάντων οἰκτρὸς ἐν ἀμφοτέροις,
ὃς τότε μὲν χρῆσθαι δυνάμην, ὁπότ' οὐδὲ ἓν εἶχον·
νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι, τότ' ἔχω.

CCCCXXXVI.

Εἰς κλέπτην δειλὸν εὑρόντα ξίφος χρυσοῦν.

Καὶ χρυσὸν φιλέω, καὶ δήϊον ἄρεα φεύγω.

CCCCXXXVII. T. III.

Τέρπε δανειζόμενος τὴν σὴν φρένα· τοῖς δὲ δανειςαῖς
κάλλιπε τὴν ψῆφον δακτυλοκαμψόδυνον.

CCCCXXXVIII. p. 244.

Ἐκ πυρὸς Ἰλιακᾶ δοράτων μέσον ἥρπασεν ἥρως
Αἰνείας, ὅσιον παιδὶ βάρος, πατέρα.
ἔκλαγε δ' Ἀργείοις· Μὴ ψαύετε. μικρὸν ἐς Ἄρη
κέρδος ὁ γηραλέος, τῷ δὲ φέροντι, μέγα.

CCCCXXXIX.

Εἰς νεώτερόν τινα φρόνιμον.

Εἴς σε καὶ ἀψευδὴς ἐψεύσατο βίβλος Ὁμήρε,
ὁπλοτέρων ἐνέπεσα μετήορα δήνεα φωτῶν.

CCCCXL.

Ἀρπαλέως φέρεται πολιὸς χρόνος. ἀλλὰ παρέρπων
καὶ φωνὰς κλέπτει φθεγγομένων μερόπων,
καὶ μὴ φαινόμενος τὰς φαινομένας ἀφανίζει,
καὶ μὴ φαινομένας εἰς φανερὸν προφέρει.
ὦ ζωῆς ἀβέβαιος ἐν ἀνθρώποισι τελευτή,
ἦμαρ ἐπ' ἦμαρ ἀεὶ πρὸς ζόφον ἐρχομένων.

CCCCXLI.

Εἰς τὴν κατάπτωσιν Βηρυτᾶ.

Μηκέτι κληρονόμας ὀνομάζετε φέγγος ὁρῶντας·
τὰς δ' ἀποθνήσκοντας κληρονόμας λέγετε.
εἰ νῦν κληρονόμοι νέκυες μέγα κέρδος ἔχασι,
τὴν ἀναχώρησιν τᾶ μογερᾶ βιότα.

T.III.p.245. 

## CCCCXLII.

Εἰς τὸ αὐτό.

Τὴν πόλιν οἱ νέκυες πρότερον ζῶσαν κατέλειψαν·
ἡμεῖς δὲ ζῶντες τὴν πόλιν ἐκφέρομεν.

## CCCCXLIII.

Εἰς Ἀΐδην ἰθεῖα κατήλυσις, εἴτ' ἀπ' Ἀθηνῶν
τείχοις, εἴτε νέκυς νείσεαι ἐκ Μερόης.
μή σέ γ' ἀνιάτω πάτρης ἄπο τῆλε θανόντα·
πάντοθεν εἷς ὁ φέρων εἰς Ἀΐδην ἄνεμος.

## CCCCXLIV.

Οἶνος καὶ τὰ λοετρὰ καὶ ἡ περὶ Κύπριν ἐρωὴ
ὀξυτέρην πέμπει τὴν ὁδὸν εἰς Ἀΐδην.

## CCCCXLV.

Λουτροῦ ἔπαινος.

Πολλῶν τὸ λουτρὸν αἴτιον δωρημάτων·
χυμοὺς κατασπᾷ, φλέγματος λύει πάχος,
χολῆς περιττὸν ἐκκενοῖ τῶν ἐγκάτων,
τὰς θελξιπίκρους κνησμονὰς κατασθενεῖ,
τὴν βλεπτικὴν αἴσθησιν ὀξύνει πλέον,
ὤτων καθαίρει τοὺς πόρους δυσηκόοις,
μνήμην φυλάττει, τὴν δὲ λήθην ἐκφέρει,
τρανοῖ τε τὸν νοῦν πρὸς νοήσεις εὐθέως,
τὴν γλῶτταν εὐκίνητον εἰς λόγους ἔχει,
ὅλον τὸ σῶμα τῇ καθάρσει λαμπρύνει.

p. 246.

## CCCCXLVI.

Πᾶς λόγος ἐστὶ μάταιος, ὁ μὴ τετελεσμένος ἔργῳ,
καὶ πᾶσα πρᾶξις τὸν λόγον ἔργον ἔχει.

## CCCCXLVII. T. III.

Πᾶν τὸ περιττὸν ἄκαιρον, ἐπεὶ λόγος ἐςὶ παλαιὸς,
ὡς καὶ τοῦ μέλιτος τὸ πλέον ἐςὶ χολή.

## CCCCXLVIII.

Ἤθελον ἂν πλουτεῖν, ὡς πλούσιος ἦν ποτε Κροῖσος,
καὶ βασιλεὺς εἶναι τῆς μεγάλης Ἀσίης.
ἀλλ' ὅταν ἐμβλέψω Νικάνορα τὸν σοροπηγὸν,
καὶ γνῶ πρὸς τί ποιεῖ ταῦτα τὰ γλωσσόκομα,
ἐκτὴν. που πάσσας, καὶ ταῖς κοτύλαις ὑποβρέξας,
τὴν Ἀσίαν πωλῶ πρὸς μύρα καὶ ςεφάνους.

## CCCCXLIX.

Πλουτεῖν φασί σε πάντες, ἐγὼ δέ σε φημὶ πένεσθαι.
χρῆσις γὰρ, πλούτου μάρτυς, Ἀπολλόφανες.
ἂν μετέχῃς αὐτῶν σὺ, σὰ γίνεται· ἂν δὲ φυλάττῃς
κληρονόμοις, ἀπὸ νῦν γίνεται ἀλλότρια.

## CCCCL.

Οὕτω πᾶς ἀπόλωλε, γεωπόνε, βῶλος ἀρότροις;
ἤδη καὶ τύμβους νωτοβατοῦσι βόες,
ὕννις δ' ἐν νεκύεσσι. τί τὸ πλέον; ἢ πόσος οὗτος
πυρὸς, ὃν ἐκ τέφρης, κοὐ χθονὸς ἁρπάσετε;
οὐκ αἰεὶ ζήσεσθε, καὶ ὑμέας ἄλλος ἀρόσσει,
τοίης ἀρξαμένους πᾶσι κακοσπορίης.

## CCCCLI. p. 247.

Ἰλιὰς, ὦ μέγα ἔργον, Ὀδυσσείης τε τὸ σῶφρον
γράμμα, τὸ καὶ Τροίῃ θῆκεν ἴσην Ἰθάκην,
τόν με γέροντ' αὔξοιτ' ἐς ἀεὶ νέον. ἢ γὰρ Ὁμήρου
σειρὴν ἡμετέρων ῥεῖται ἀπὸ ςομάτων.

T. III. CCCCLII.

Ἀ πέρος ἄδμητος καὶ ἀνέμβατος, ὦ Λακεδαῖμον,
καπνὸν ἐπ᾽ Εὐρώτᾳ δέρκεαι Ὠλένιον,
ἄσκιος· οἰωνοὶ δὲ κατὰ χθονὸς οἰκία θέντες
μύρονται· μήλων δ᾽ οὐκ ἀΐουσι λύκοι.

CCCCLIII.

Τέσσαρές εἰσιν ἀγῶνες ἀν᾽ Ἑλλάδα. τέσσαρες ἱροὶ,
οἱ δύο μὲν θνητῶν, οἱ δύο δ᾽ ἀθανάτων·
Ζηνὸς, Λητοΐδαο, Παλαίμονος, Ἀρχεμόροιο.
ἆθλα δὲ τῶν, κότινος, μῆλα, σέλινα, πίτυς.

CCCCLIV. a

Εἰς τὸ πένταθλον.

Ἅλμα ποδῶν, δίσκου τε βολὴ, καὶ ἄκοντος ἐρωὴ,
καὶ δρόμος, ἠδὲ πάλη· μία δ᾽ ἔπλετο πᾶσι τελευτή.

p. 334. CCCCLIV. b

Εἰς κῦβον.

Ἓξ, ἓν, πέντε, δύω, τρία, τέσσαρα κῦβος ἐλαύνει.

p. 334. CCCCLIV. c

Περὶ τοῦ Ἰαμβικοῦ μέτρου.

Ἓξ πόδες ἐν χώραισι τόσαις μετροῦσιν Ἴαμβον.
σπονδεῖος, χόριος, καὶ δάκτυλος ἠδ᾽ ἀνάπαιστος,
πυῤῥίχιος καὶ ἴαμβος· ἔχει δέ τε οἶκον ἕκαστος.
πυῤῥιχίου τέλος ἐστ᾽· ὃς μακρὰν οἶδεν ἐν ἀρχῇ,
πρώτη καὶ τριτάτη, πέμπτη δέ τε τόνδε κατίσχει·
οἱ δ᾽ ἄλλοι κατὰ πᾶσαν ὁμῶς βαίνουσιν ἀταρπόν·
μοῦνον ἴαμβον ἄνακτα φέρει τόπος, ὅν κ᾽ ἐθελήσῃ.

## CCCCLV.

T. III. p. 24

Γυμνὸν ἰδοῦσα Λάκαινα παλίντροπον ἐκ πολέμοιο
   παῖδ᾽ ἑὸν ἐς πάτραν ὠκὺν ἰέντα πόδα,
ἀντίον ἀΐξασα δι᾽ ἥπατος ἤλασε λόγχαν,
   ἄῤῥενα ῥηξαμένα φθόγγον ἐπὶ κταμένῳ·
Αλλότριον Σπάρτας, εἶπεν, γένος, ἔῤῥε ποθ᾽ Αιδαν,
   ἔῤῥ᾽, ἐπεὶ ἐψεύσω πατρίδα καὶ γενέταν.

## CCCCLVI.

p. 248.

Αἴαντος παρὰ τύμβον ἀταρβήτοιο παραςὰς
   Φρὺξ ἐπέων δεδαὼς ἤρχεν ἐπεσβολίης·
ΑΙΑΣ Δ᾽ ΟΥΚΕΤ᾽ ΕΜΙΜΝΕΝ. ὁ δ᾽ ἀντιγέγωνεν ἔνερθε·
   μίμνειν δ᾽ οὐκ ἔτλη ζωὸς ἀποφθίμενον.

## CCCCLVII.

Τλῆθι λέων ἄτλητα παθὼν τετληότι θυμῷ.
οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτίσει.

## CCCCLVIII.

Ελθὼν εἰς Αΐδην, ὅτε δὴ σοφὸν ἤνυσε γῆρας,
   Διογένης ὁ κύων, Κροῖσον ἰδὼν ἐγέλα,
καὶ στρώσας ὁ γέρων τὸ τριβώνιον ἐγγὺς ἐκείνου,
   τοῦ πολὺν ἐκ ποταμοῦ χρυσὸν ἀφυσσαμένου,
εἶπεν· Εμοὶ καὶ νῦν πλείων τόπος. ὅσσα γὰρ εἶχον,
   πάντα φέρω σὺν ἐμοὶ, Κροῖσε, σὺ δ᾽ οὐδὲν ἔχεις.

## CCCCLIX.

Ζῆσον λογισμῷ, καὶ μενεῖς ἀνενδεής.

CCCCLVI. 2. Vulgo ἐπέων κακῆς ἦρχεν ἐπ.

T. III.

## CCCCLX.

Σώματα πολλὰ τρέφειν, καὶ δώματα πόλλ' ἀνεγείρειν,
ἀτραπὸς εἰς πενίην ἐστὶν ἑτοιμοτάτη.

## CCCCLXI.

Εἴς τινα θανόντα ὑπὸ πλησμονῆς Περσικῶν μήλων.

Ἐκ φονίων Περσῶν φόνιον φυτὸν ἤγαγε Περσεὺς,
παιδὶ Θεογνώστου τοῦ θανάτου πρόφασιν.

p. 249.

## CCCCLXII.

Κρανίον ἐν τριόδοισι κατοιχομένου τις ἐσαθρῶν
εἰκόνα τὴν κοινὴν οὐκ ἐδάκρυσε βίου·
δεξιτερὴν δ' ἔρριψεν ἐπὶ χθόνα, καὶ λίθον ἧκε,
κωφὸν μὲν δοκέοντ', ἀλλὰ πνέοντα δίκης.
ὀστέον ὡς γὰρ ἔπληξεν, ἀφήλατο, καὶ τὸν ἀφέντα
πήρωσε, γλυκεροῦ βλέμματος ὀρφανίσας.
καὶ πάλιν εἰς Ἀΐδην ἐκολάζετο· τὴν ἰδίην δὲ
ἔκλαυσε χειρῶν εὔστοχον ἀφροσύνην.

## CCCCLXIII.

Αἱ τρισσαί ποτε παῖδες ἐν ἀλλήλαισιν ἔπαιζον
κλήρῳ, τίς προτέρη βήσεται εἰς Ἀΐδην·
καὶ τρὶς μὲν χειρῶν ἔβαλον κύβον, ἦλθε δὲ πασέων
ἐς μίαν· ἡ δ' ἐγέλα κλῆρον ὀφειλόμενον.
ἐκ τέγεος δ' ἄρ' ἄελπτον ἀπωλίσθησε πέσημα
δύσμορος· εἰς Ἀΐδην δ' ἤλυθεν, ὡς ἔλαχεν.
ἀψευδὴς ὁ κλῆρος, ὅτῳ κακόν· ἐς δὲ τὸ λῷον
οὔτ' εὐχαὶ θνητοῖς εὔστοχοι, οὔτε χέρες.

## CCCCLXIV. T. III.

Σωφροσύνη καὶ Ἔρως κατεναντίον ἀλλήλοισιν
ἐλθόντες ψυχὰς ὤλεσαν ἀμφότεροι.
Φαίδρην μὲν κτεῖνε πυρόεις πόθος Ἱππολύτοιο·
Ἱππόλυτον δ' ἁγνὴ πέφνε σαοφροσύνη.

## CCCCLXV.

Τίς θεὸν εἶπεν Ἔρωτα; θεοῦ κακὸν ὐδὲν ὁρῶμεν
ἔργον· ὁ δ' ἀνθρώπων αἵματι μειδιάει.
ὐ θοὸν ἐν παλάμαις κατέχει ξίφος; ἤνιδ' ἄπιστα p. 250.
τῆς θεοδηλήτυ σκῦλα μιαιφονίης.
μήτηρ μὲν σὺν παιδὶ κατέφθιτο· αὐτὰρ ἐπ' αὐταῖς
ποίνιμος ἔκτεινε φῶτα λιθοκτονίη.
καὶ ταῦτ' ὐτ' Αἴδος, ὐτ' Ἄρεος, ἔργα δ' Ἔρωτος
λεύσσομεν, οἷς παίζει κεῖνος ὁ νηπίαχος.

## CCCCLXVI.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
ἄμμι δίδυ· τὰ δὲ λυγρὰ καὶ εὐχομένων ἀπερύκοις.

## CCCCLXVII.

Παραίνεσις πρὸς ἄρχοντα.

Μίξον μειλιχίῃ βαιὸν φόβον, ὅττι καὶ αὐτὴ
βομβήεσσα μέλισσα κορύσσεται ὀξέϊ κέντρῳ.
ὐ γὰρ ἄτερ μάστιγος ἰθύνεται ἵππος ἀγήνωρ·
ὐδὲ συῶν ἀγέλη ἐπιπείθεται ἀνδρὶ νομῆϊ,
πρὶν καὶ ἐριγδύποιο καλαύροπος ἦχον ἀκύσῃ.

T. III.

## CCCCLXVIII.

Γραμματικοῦ τινος ἐπὶ τῷ μὴ δύνασθαι τοῖς ποιήμασι Παλλαδᾶ ἐξισοῦσθαι.

Εἰ κύκνῳ δύναται κόρυδος παραπλήσιον ᾄδειν,
τολμῷεν δ' ἐρίσαι σκῶπες ἀηδονίσιν,
εἰ κόκκυξ τέττιγος ἐρεῖ λιγυρώτερος εἶναι,
ἶσα ποιεῖν καὶ ἐγὼ Παλλαδίῳ δύναμαι.

## CCCCLXIX.

Αἰεὶ Λαερτιάδῃ πόντος βαρύς· εἰκόνα κῦμα
ἔκλυσε, κἀκ δέλτων τὸν τύπον ἠφάνισε.
p. 251. τί πλέον; εἰν ἐπέεσσιν Ὁμηρείοις γὰρ ἐκείνου
εἰκὼν ἀφθάρτοις ἐγγράφεται σελίσι.

## CCCCLXX.

Ἑρμείῃ ξυλίνῳ τις ἐπεύχετο, καὶ ξύλον ἦεν.
εἶτά μιν ἀείρας χαμάδις βάλε· τοῦ δ' ἄπο χρυσὸς
ἔῤῥευσε καταγέντος. ὕβρις πόρε πολλάκι κέρδος.

## CCCCLXXI.

Χάλκειόν τις Ἔρωτα μετήγαγεν ἐκ πυρὸς εἰς πῦρ,
τήγανον ἁρμόζων τῇ κολάσει κόλασιν.

## CCCCLXXII.

Εἰς ὕδατα θερμά.

Χθὼν μυχάτων γυάλων κοιλώμασιν ἀέναον πῦρ
εὖτ' ἂν ἔχῃ, φλοξὶ δὲ περιζείῃ κρυφίαισιν,
ἀτμὸς ἄνω βαίνων εἰς αἰθέρα θερμὸς, ἔνερθε
θλιβόμενος πυριθαλπὲς ἐρεύγεται ἰκμάσιν ὕδωρ.

## CCCCLXXIII. T. III.

Ὡς ἀπό τινος ὑπὸ λῃστοῦ ἀναιρεθέντος, καὶ ὑπ' αὐτοῦ καταταφέντος.

Ζωὴν συλήσας, δωρῇ τάφον· ἀλλά με κρύπτεις,
οὐ θάπτεις. τοίου καὐτὸς ὄναιο τάφου.

## CCCCLXXIV.

Εἴ με νέκυν κατέθαπτες, ἰδὼν οἰκτίρμονι θυμῷ,
εἶχες ἂν ἐκ μακάρων μισθὸν ἐπ' εὐσεβίῃ·
νῦν δ' ὅτε δὴ τύμβῳ με κατακρύπτεις ὁ φονεύσας,
τῶν αὐτῶν μετέχοις ὧνπερ ἐμοὶ παρέχεις.

## CCCCLXXV. p. 252.

Θάψεν ὅ με κτείνας κρυπτὸν φόνον· εἰ δ' ἐμὲ τύμβῳ
δωρεῖται, τοίης ἀντιτύχοι χάριτος.

## CCCCLXXVI.

Κἂν με κατακρύπτῃς, ὡς οὐδενὸς ἀνδρὸς ὁρῶντος,
ὄμμα Δίκης καθορᾷ πάντα τὰ γινόμενα.

## CCCCLXXVII.

Ἔκτανες, εἶτά μ' ἔθαπτες, ἀτάσθαλε, χερσὶν ἐκείναις,
αἷς με διεχρήσω· μή σε λάθοι Νέμεσις.

## CCCCLXXVIII.

Χερσὶ κατακτείνας τάφον ἔκτισας, οὐχ ἵνα θάψῃς,
ἀλλ' ἵνα με κρύψῃς· ταὐτὸ δὲ καὶ σὺ πάθοις.

## CCCCLXXIX.

Εἰς Ἡροφίλην τὴν Σίβυλλαν.

Ἅδ' ἐγὼ ἁ Φοίβοιο σαφηγορίς εἰμι Σίβυλλα,
τῷδ' ὑπὸ λαϊνέῳ σάματι κευθομένα,

CCCCLXXVII. 1. Cod. με θάπτεις.

T. III. παρθένος αὐδάεσσα τοπρὶν, νῦν δ' αἰὲν ἄναυδος,
Μοίρᾳ ὑπὸ στιβαρῇ τήνδε λαχοῦσα πέδην·
ἀλλὰ πέλας Νύμφαισι καὶ Ἑρμῇ τῷδ' ὑπόκειμαι,
μοῖραν ἔχουσ' Ἑκάτω τῆς τότ' ἀνακτορίης.

CCCCLXXX.

Ὦ Λίνε, πάντα θεοῖσι τετιμένε, σοὶ γὰρ ἔδωκαν
ἀθάνατοι πρώτῳ μέλος ἀνθρώποισιν ἀείδειν
ἐν ποδὶ δεξιτερῷ· Μοῦσαι δέ σ' ἐθρήνεον αὐταὶ
μυρόμεναι μολπῇσιν, ἐπεὶ λίπες ἡλίου αὐγάς.

p. 253.

CCCCLXXXI.

Ὧδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα,
Μούσης Οὐρανίης υἱὸν ἐϋστεφάνου.

CCCCLXXXII.

Καλλιόπης Ὀρφῆα καὶ Οἰάγροιο θανόντα
ἔκλαυσαν ξανθαὶ μυρία Βιστονίδες·
στικτοὺς δ' ἠμάξαντο βραχίονας, ἀμφὶ μελαίνῃ
δευόμεναι σποδιῇ Θρηΐκιον πλόκαμον.
καί ῥ' αὐταὶ στοναχεῦντι σὺν εὐφόρμιγγι Λυκείῳ
ἔρρηξαν Μοῦσαι δάκρυα Πιερίδες,
μυρόμεναι τὸν ἀοιδόν· ἐπωδύραντο δὲ πέτραι
καὶ δρύες, ἃς ἐρατῇ τοπρὶν ἔθελγε λύρῃ.

CCCCLXXXIII.

Θρήϊκα χρυσολύρην τῇδ' Ὀρφέα Μοῦσαι ἔθαψαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.

CCCCLXXIX. 6. ap. Pauſan. Ἑκάτω.
CCCCLXXXII. 5. Vulgo καὶ δ' αὐταί. in membr. δ' omiſſum.

CCCCLXXXIV. T. III.

Μȣσάων πρόπολον τῇδ' Ορφέα Θρῆκες ἔθηκαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει,
Οἰάγρȣ φίλον υἱὸν, ὃς Ηρακλῆν ἐδίδαξεν,
εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην.

CCCCLXXXV.

Εὐμόλπȣ φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν ȣ̂δας
Μȣσαῖον, φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ.

CCCCLXXXVI.

Επτὰ ἐριδμαίνȣσι πόλεις διὰ ῥίζαν Ομήρȣ,
Κύμη, Σμύρνα, Χίος, Κολοφὼν, Πύλος, Αργος, Αθῆναι.

CCCCLXXXVII. p. 254.

Οὐχὶ πέδον Σμύρνης ἐλοχεύσατε θεῖον Ομηρον,
ȣ̓ Κολοφὼν τρυφερῆς ἄςρον Ιηονίης,
ȣ̓ Χίος, ȣ̓κ Αἴγυπτος ἐύσπορος, ȣ̓ Κύπρος ἁγνὴ,
ȣ̓ νῆσος κραναὴ Λαρτιάδαο πάτρη,
ȣ̓κ Αργος Δαναοῖο, κυκλωπείη τε Μυκήνη,
ȣ̓δὲ τὸ Κεκροπίων ἄςυ παλαιογόνων.
ȣ̓ γὰρ ἔφυ χθονὸς ἔργον· ἀπ' αἰθέρος ἀλλά ἑ Μȣ̂σαι
πέμψαν, ἵν' ἡμερίοις δῶρα ποθητὰ φέροι.

CCCCLXXXVIII.

ᵅΧῖος ἔφυς; ᵝȣ̓ φημι. ᵅτί δὲ, Σμυρναῖος; ᵝἀπαυδῶ.
ᵅΚύμη δ' ἢ Κολοφὼν πατρὶς Ομηρε σέθεν;
ᵝȣ̓δετέρη. ᵅΣαλαμὶς δὲ, τεὴ πόλις; ᵝȣ̓δ' ἀπὸ ταύτης
ἐξέφυν. ᵅἀλλ' αὐτὸς λέξον ὅπη γέγονας.

CCCCLXXXVII. 2. Vulgo τρυφερῆς.

T. III. β οὐκ ἐρέω. α τίνες ἆρα; β πέπεισμ' ὅτι τἀτρεκὲς εἰπὼν
ἕξω τὰς ἄλλας ἄμμιν ἀπεχθομένας.

## CCCCLXXXIX.

Τίς ποθ' ὁ τὸν Τροίης πόλεμον σελίδεσσι χαράξας,
ἢ τίς ὁ τὴν δολιχὴν Λαρτιάδαο πλάνην;
οὐκ ὄνομ' εὑρίσκω σαφὲς, οὐ πόλιν. οὐράνιε Ζεῦ,
μή ποτε σῶν ἐπέων δόξαν Ομηρος ἔχει;

## CCCCXC.

Ὁπποίας τὸν Ομηρον ἀναγραψώμεθα πάτρης,
κεῖνον, ἐφ' ᾧ πᾶσαι χεῖρ' ὀρέγουσι πόλεις;
ἢ τὸ μὲν ἐστιν ἄγνωστον, ὁ δ' ἀθανάτοις ἴσος ἥρως
ταῖς Μούσαις ἔλιπε πατρίδα καὶ γενεήν;

## CCCCXCI.

p. 255.

Υἱὲ Μέλητος Ομηρε, σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ
καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐς ἀΐδιον,
καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεννήσαο κούρας,
δισσὰς ἐκ στηθέων γραψάμενος σελίδας.
ὑμνεῖ δ' ἡ μὲν νόστον Οδυσσῆος πολύπλαγκτον,
ἡ δὲ τὸν Ιλιακὸν Δαρδανίων πόλεμον.

## CCCCXCII.

Εἰς αἰῶνας, Ομηρε, καὶ ἐξ αἰῶνος ἀείδῃ,
Οὐρανίης Μούσης δόξαν ἀειράμενος.
μῆνιν μὲν γὰρ ἄεισας Αχιλλέος, αὐτὰρ Αχαιῶν
στρομβηδὸν νηῶν σύγχυσιν ἐν πελάγει,
τειρόμενόν τε πλάνῃσιν Οδυσσέα ποικιλόβουλον,
τοῦ λέχος ἀσπασίως εἴσιδε Πηνελόπη.

T. III.

## CCCCXCIII.

Εἰ θεός ἐστιν Ομηρος, ἐν ἀθανάτοισι σεβέσθω·
εἰ δ' αὖ μὴ θεός ἐστι, νομιζέσθω θεὸς εἶναι.

## CCCCXCIV.

Εὗρε Φύσις, μόλις εὗρε· τεκοῦσα δ' ἐπαύσατο μόχθων,
εἰς ἕνα μοῦνον Ομηρον ὅλην τρέψασα μενοινήν.

## CCCCXCV.

Τίς ποθ' Ομηρείης μεγάλης ὀπὸς ἐστιν ἀπευθής;
τίς χθὼν, τίς δὲ θάλασσα μάχην οὐκ οἶδεν Αχαιῶν;
δῆμος ὁ Κιμμερίων, πανδερκέος ἄμμορος αἴγλης
Ηελίου, Τροίης οὔνομ' ἔκλυεν· ἔκλυεν Ατλας
οὐρανὸν εὐρύστερνον ἔχων ἐπικείμενον ὤμοις.

## CCCCXCVI.

p. 256.

Διεξιὼν Ομηρε τὴν κεκαυμένην
φθονεῖν ἀφῆκας τὰς ἀπορθήτους πόλεις.

## CCCCXCVII.

Θεῖος Ομηρος ὅδ' ἐστὶν, ὃς Ελλάδα τὴν μεγάλαυχον
πᾶσαν ἐκόσμησε καλλιεπεῖ σοφίῃ,
ἔξοχα δ' Αργείους, οἳ τὴν θεοτείχεα Τροίην
ἤρειψαν, ποινὴν ἠϋκόμου Ελένης·
οὗ χάριν ἔστησε δῆμος μεγαλόπτολις αὐτὸν
ἐνθάδε, καὶ τιμαῖς ἀμφέπει ἀθανάτων.

## CCCCXCVIII.

Οὐκ ἔθος ἐστὶν ἐμοὶ φράζειν γένος, οὐδ' οὔνομ' αὐτοῦ·
νῦν δ' ἕνεκ' Αἰλιανοῦ πάντα σαφῶς ἐρέω.
πατρὶς ἐμοὶ χθὼν πᾶσα, τὸ δ' οὔνομά φασιν Ομηρον·
ἔστι δὲ Μουσάων, οὐκ ἐμὸν οὐδὲν ἔπος.

T. III. CCCCXCIX.

Εἰ μὲν θνητὸς ἔφυς, πῶς ἀθάνατόν σ' ἐποίησαν
Μοῦσαι, καὶ Μοιρῶν νῆμ' ἀνέκλωσαν, ἄναξ;
εἰ δ' ἦσθ' ἀθάνατος, πῶς ἐν θνητοῖς σ' ἀριθμοῦσιν;
οὐ μά σε ταῦτ' ἐχρῆν, σεμνὲ ποιητὰ, φρονεῖν.
ἀλλ' ἔγνων τἀληθές· ἐπεὶ τὸ σαφὲς διαφεύγει,
ἄνθρωπόν φασι θεῖέ σ' Ομηρε πέλειν.

D.

Ενθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ομηρον.

p. 257. DI.

Ενθάδε θεῖος Ομηρος, ὃς Ελλάδα πᾶσαν ἄεισε,
Θήβης ἐκγεγαὼς τῆς ἑκατονταπύλου.

DII.

Ελλάδος εὐρυχόρου στέφανον καὶ κόσμον ἀοιδῆς,
Ασκραῖον γενεὴν, Ησίοδον, κατέχω.

DIII.

Αρχιλόχου τάδε μέτρα, καὶ ἠχήεντες ἴαμβοι,
θυμοῦ καὶ φοβερῆς ἰὸς ἐπεσβολίης.

DIV.

Τόνδε Θαλῆν Μίλητος Ιὰς θρέψασ' ἀνέδειξεν
ἀστρολόγον, πάντων πρεσβύτατον σοφίᾳ.

DV.

Η ῥ' ὀλίγον γε τὸ σῆμα, τὸ δὲ κλέος οὐρανόμηκες
τοῦ πολυφροντίστου τοῦτο Θάλητος ὅρη.

DVI.

Η Μήδων ἄδικον παύσασ' ὕβριν, ἥδε Σόλωνα
τόνδε τεκνοῖ Σαλαμὶς θεσμοθέτην ἱερόν.

DVII.

DVII. T. III.

Τόνδε δορυςέφανος Σπάρτα Χείλων' ἐφύτευσεν,
ὃς τῶν ἑπτὰ σοφῶν πρῶτος ἔφυ σοφίῃ.

DVIII. p. 258.

Ἦν Λακεδαιμόνιος Χείλων σοφὸς, ὃς τάδ' ἔλεξε·
ΜΗΔΕΝ ΑΓΑΝ. ΚΑΙΡΩι ΠΑΝΤΑ ΠΡΟΣΕΣΤΙ ΚΑΛΑ.

DIX.

Κλεινῆς ἐν δαπέδοισι Πριήνης φύντα καλύπτει
ἥδε Βίαντα πέτρη, κόσμον Ἰωσι μέγαν.

DX.

Ἄνδρα σοφὸν Κλεόβυλον ἀποφθίμενον καταπενθεῖ
ἥδε πάτρα Λίνδος πόντῳ ἀγαλλομένη.

DXI.

Πλούτου καὶ σοφίης πρύτανιν πατρὶς ἥδε Κόρινθος
κόλποις ἀγχιάλου γῆς Περίανδρον ἔχει.

DXII.

Εἰς Φερεκύδην.

Τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἢν δέ τι πλεῖον
Πυθαγόρῃ τῷ 'μῷ, λέγε ταῦθ', ὅτι πρῶτος ἁπάντων
ἐςὶν ἀν' Ἑλλάδα γῆν. οὐ ψεύδομαι ὧδ' ἀγορεύων.

DXIII.

Ἡνίκα Πυθαγόρης τὸ περικλεὲς εὕρατο γράμμα
κεῖν', ἐφ' ὅτῳ κλεινὴν ἤγαγε βουθυσίην,
δή τότε μιν ςυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος·
Παῦσαι, μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐςὶ
ψυχὴ, τὴν ἔγνων, φθεγξαμένης ἀΐων.

T.III.p.259.

DXIV.

Εἰς εἰκόνα Πυθαγόρου.

Αὐτὸν Πυθαγόρην ὁ ζωγράφος, ὃν μετὰ φωνῆς
εἶδες ἂν, εἴ γε λαλεῖν ἤθελε Πυθαγόρης.

DXV.

Ἐνθάδ' ὁ πλεῖςον ἀληθείας ἐπὶ τέρμα περήσας
οὐρανίου κόσμου κεῖται Αναξαγόρας.

DXVI.

Εἰς τὴν Ηρακλείτου βίβλον.

Ηράκλειτος ἐγώ· τί με ὦ κάτω ἕλκετ' ἄμουσοι;
οὐχ ὑμῖν ἐπόνουν, τοῖς δέ μ' ἐπιςαμένοις.
εἷς ἐμοὶ ἄνθρωπος, τρισμύριοι· οἱ δ' ἀνάριθμοι,
οὐδείς. ταῦτ' αὐδῶ καὶ παρὰ Περσεφόνῃ.

DXVII.

Μὴ ταχὺς Ηρακλείτου ἐπ' ὀμφαλὸν εἴλυε βίβλον
τοὐφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός.
ὄρφνη καὶ σκότος ἐςὶν ἀλάμπετον· ἢν δέ σε μύςης
εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

DXVIII.

Εἰς Δημόκριτον.

Ην ἄρα Δημοκρίτοιο γέλως τόδε, καὶ τάχα λέξει·
Οὐκ ἔλεγον γελόων, πάντα πέλουσι γέλως;
καὶ γὰρ ἐγὼ σοφίην μετ' ἀπείρονα, καὶ ςίχα βίβλων
τοσσατίων, κεῖμαι νέρθε τάφοιο γέλως.

p. 260.

DXIX.

Εἰς τοὺς ἐννέα Λυρικούς.

Πίνδαρε, Μουσάων ἱερὸν ςόμα, καὶ λάλε Σειρὴν
Βακχυλίδη, Σαπφοῦς τ' Αἰολίδες χάριτες;

γράμμα τ' Ανακρείοντος, Ομηρικὸν ὅς τ' ἀπὸ ῥεῦμα T. III.
ἔσπασας οἰκείοις Στησίχορ' ἐν καμάτοις,
ἥ τε Σιμωνίδεω γλυκερὴ σελὶς, ἡδύ τε πειθῦς
Ἴβυκε καὶ παίδων ἄνθος ἀμησάμενε,
καὶ ξίφος Αλκαίοιο, τὸ πολλάκις αἷμα τυράννων
ἔσπεισε, πάτρης θέσμια ῥυόμενον,
θηλυμελεῖς τ' Αλκμᾶνος ἀηδόνες, ἵλατε, πάσης
ἀρχὴν οἳ λυρικῆς καὶ πέρας ἐσπάσατε.

## DXX.

Εἰς τὺς αὐτύς.

Εκλαγεν ἐκ Θηβῶν μέγα Πίνδαρος· ἔπνεε τερπνὰ
ἡδυμελιφθόγγυ μῦσα Σιμωνίδεω.
λάμπει Στησίχορός τε καὶ Ἴβυκος. ἦν γλυκὺς Αλκμὰν·
λαρὰ δ' ἀπὸ σομάτων φθέγξατο Βακχυλίδης.
πειθὼ Ανακρείοντι συνέσπετο· ποικίλα δ' αὐδᾷ
Αλκαῖος κιθάρᾳ Λέσβιος Αἰολίδι.
ἀνδρῶν δ' ὐκ ἐνάτη Σαπφὼ πέλεν, ἀλλ' ἐρατειναῖς
ἐν Μύσαις δεκάτη Μῦσα καταγράφεται.

## DXXI.

Εἰς Σαπφώ.

Ελθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν Ηρης,
Λεσβίδες, ἁβροπόδων βήμαθ' ἑλισσόμεναι,
ἔνθα καλὸν σήσασθε θεῇ χορόν· ὔμμι δ' ἀπάρξει p. 261.
Σαπφὼ χρυσείην χερσὶν ἔχυσα λύρην.
ὄλβιαι ὀρχηθμῦ πολυγηθέος· ἦ γλυκὺν ὕμνον
εἰσαΐειν αὐτῆς δόξετε Καλλιόπης.

DXX. 6. Vulgo A. κύκνος Λέσβιος, Αἰολίδι. Codd. omnes κύκνῳ. tum Codd. plerique Planud. Αἰολίδης aut Αἰολίδῃ.

T. III.

## DXXII.

Εἰς τὴν αὐτὴν, ὡς ἀπὸ τῶν Μουσῶν.

Οὐκ ἄρα σοί γε ὀλίζον ἐπὶ κλέος ὤπασε Μοῖρα
ἤματι, τῷ πρῶτον φῶς ἴδες ἀελίου,
Σαπφοῖ. σοὶ θὴν χρυσὸν ἐνείμαμεν ἄφθιτον εἶμεν,
σύν τε πατὴρ πάντων νεῦσεν ἐρισμάραγος·
μέλψῃ δ' ἐν πάντεσσιν ἀοίδιμος ἀμερίοισιν,
οὐδὲ κλυτᾶς φάμας ἔσσεται ἠπανία.

## DXXIII.

Εἰς τὴν Ηρίννης Ηλακάτην.

Λέσβιον Ηρίννης τόδε κηρίον. ἀδύ τι. μικρὸν,
ἀλλ' ὅλον ἐκ Μουσέων κιρνάμενον μέλιτι.
οἱ δὲ τριηκόσιοι ταύτης στίχοι ἶσοι Ομήρῳ,
τῆς καὶ παρθενικῆς ἐννεακαιδεκέτευς,
ἣ καὶ ἐπ' ἠλακάτῃ μητρὸς φόβῳ, ἣ καὶ ἐφ' ἱστῷ
ἑστήκει, Μουσέων λάτρις ἐφαπτομένη.
Σαπφὼ δ' Ηρίννης ὅσσον μελέεσσιν ἀμείνων,
Ηριννὰ Σαπφοῦς τόσσον ἐν ἑξαμέτροις.

## DXXIV.

Αρτι λοχευομένην σε μελισσοτόκων ἔαρ ὕμνων,
ἄρτι δὲ κυκνείῳ φθεγγομένην στόματι,
p. 262. ἤλασεν εἰς Αχέροντα διὰ πλατὺ κῦμα καμόντων
Μοῖρα, λινοκλώστου δεσπότις ἠλακάτας·
σὸς δ' ἐπέων, Ηριννα, καλὸς πόνος οὔ σε γεγωνεῖ
φθίσθαι, ἔχειν δὲ χοροὺς ἄμμιγα Πιερίσι.

DXXII. 2. Cod. τῷ πρώτῳ. 3. Cod. Σαπφοῖ. σοι τὴν κρίσιν εὖθ μέν. 4. Cod. σὺν δέ. 5. Cod. μέλψαι. 6. Cod. ἔσσεαι ἠπεδανά.

## DXXV. T. III.

Εἰς Ανακρέοντα.

Τήϊον ἀμφοτέρων με βλέπεις ἀκόρεστον ἐρώτων
  πρέσβυν, ἴσον κούροις, ἶσον ἀδόντα κόραις·
ὄμμα δέ μευ Βρομίῳ βεβαρημένον, ἠδ' ἀπὸ κώμων
  τερπνὰ φιλαγρύπνων σήματα παννυχίδων.

## DXXVI.

Ω ξένε, τόνδε τάφον τὸν Ανακρείοντος ἀμείβων,
  σπεῖσόν μοι παριών· εἰμὶ γὰρ οἰνοπότης.

## DXXVII.

Πολλὰ πιὼν τέθνηκας, Ανάκρεον. ἀλλὰ τρυφήσας·
  καὶ σὺ δὲ μὴ πίνων ἵξεαι εἰς Αΐδην.

## DXXVIII.

Εἰς Ιβυκον.

Ρήγιον Ιταλίης τεναγώδεος ἄκρον ἀείδω,
  αἰεὶ Θρινακίῃ γευομένης ὕδατος,
οὕνεκα τὸν φιλέοντα λύρην, φιλέοντά τε παῖδας·
  Ιβυκον εὐφύλλῳ θῆκεν ὑπὸ πτελέῃ,
ἡδέα πολλὰ παθόντα· πολὺν δ' ὑπὸ σήματι κισσὸν
  χεύατο, καὶ λευκοῦ φυταλιὴν καλάμου.

## DXXIX. p. 263.

Εἰς Επίχαρμον.

Εἴ τι παραλλάσσει φαέθων μέγας ἅλιος ἄστρων,
  καὶ πόντος ποταμῶν μεῖζον ἔχει δύναμιν,
φαμὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν Επίχαρμον,
  ὃν πατρὶς ἐστεφάνωσ' ἅδε Συρακοσίων.

T. III. παρθένος αὐδάεσσα τοπρὶν, νῦν δ᾽ αἰὲν ἄναυδος,
Μοίρᾳ ὑπὸ ςιβαρῇ τήνδε λαχοῦσα πέδην·
ἀλλὰ πέλας Νύμφαισι καὶ Ἑρμῇ τῷδ᾽ ὑπόκειμαι,
μοῖραν ἔχουσ᾽ Ἑκάτω τῆς τότ᾽ ἀνακτορίης.

CCCCLXXX.

Ὦ Λίνε, πάντα θεοῖσι τετιμένε, σοὶ γὰρ ἔδωκαν
ἀθάνατοι πρώτῳ μέλος ἀνθρώποισιν ἀείδειν
ἐν ποδὶ δεξιτερῷ· Μοῦσαι δέ σ᾽ ἐθρήνεον αὐταὶ
μυρόμεναι μολπῇσιν, ἐπεὶ λίπες ἡλίου αὐγάς.

p. 253. CCCCLXXXI.

Ὧδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα,
Μούσης Οὐρανίης υἱὸν ἐϋςεφάνου.

CCCCLXXXII.

Καλλιόπης Ὀρφῆα καὶ Οἰάγροιο θανόντα
ἔκλαυσαν ξανθαὶ κοῦραι Βιςονίδες·
ςικτοὺς δ᾽ ἠμάξαντο βραχίονας, ἀμφὶ μελαίνῃ
δευόμεναι σποδιῇ θρηΐκιον πλόκαμον.
καί ῥ᾽ αὐταὶ ςεναχεῦντι σὺν εὐφόρμιγγι Λυκείῳ
ἔῤῥηξαν Μοῦσαι δάκρυα Πιερίδες,
μυρόμεναι τὸν ἀοιδόν· ἐπωδύραντο δὲ πέτραι
καὶ δρύες, ἃς ἐρατῇ τοπρὶν ἔθελγε λύρῃ.

CCCCLXXXIII.

Θρήϊκα χρυσολύρην τῇδ᾽ Ὀρφέα Μοῦσαι ἔθαψαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.

CCCCLXXIX. 6. ap. Pauſan. Ἑκάτω.
CCCCLXXXII. 5. Vulgo καὶ δ᾽ αὐταί. in membr. δ᾽ omiſſum.

### CCCCLXXXIV.

T. III.

Μουσάων πρόπολον τῇδ' Ὀρφέα Θρῆκες ἔθηκαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει,
Οἰάγρου φίλον υἱὸν, ὃς Ἡρακλῆν ἐδίδαξεν,
εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην.

### CCCCLXXXV.

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας
Μουσαῖον, φθίμενον σῶμ' ὑπὸ τῷδε τάφῳ.

### CCCCLXXXVI.

Ἑπτὰ ἐριδμαίνουσι πόλεις διὰ ῥίζαν Ὁμήρου,
Κύμη, Σμύρνα, Χίος, Κολοφὼν, Πύλος, Ἄργος, Ἀθῆναι.

### CCCCLXXXVII.

p. 254.

Οὐχὶ πέδον Σμύρνης ἐλοχεύσατε θεῖον Ὅμηρον,
οὐ Κολοφὼν τρυφερῆς ἄστρον Ἰηονίης,
οὐ Χίος, οὐκ Αἴγυπτος ἐΰσπορος, οὐ Κύπρος ἁγνὴ,
οὐ νῆσος κραναὴ Λαερτιάδαο πάτρη,
οὐκ Ἄργος Δαναοῖο, κυκλωπείη τε Μυκήνη,
οὐδὲ τὸ Κεκροπίων ἄστυ παλαιογόνων.
οὐ γὰρ ἔφυ χθονὸς ἔργον· ἀπ' αἰθέρος ἀλλά ἑ Μοῦσαι
πέμψαν, ἵν' ἡμερίοις δῶρα ποθητὰ φέροι.

### CCCCLXXXVIII.

[α]Χῖος ἔφυς; [β]οὔ φημι. [α]τί δὲ, Σμυρναῖος; [β]οὐκ αὐδῶ.
[α]Κύμη δ' ἢ Κολοφὼν πατρὶς Ὁμήρου σέθεν;
[β]οὐδετέρη. [α]Σαλαμὶς δὲ, τεὴ πόλις; [β]οὐδ' ἀπὸ ταύτης
ἐξέφυν. [α]ἀλλ' αὐτὸς λέξον ὅπῃ γέγονας.

CCCCLXXXVII. 2. Vulgo τρυφερῆς.

T. III. βοὐκ ἐρέω. ωτίνες ἄρα; βπέπεισμ' ὅτι τἀτρεκὲς εἰπών.
ἔξω τὰς ἄλλας ἄμμιν ἀπεχθομένας.

## CCCCLXXXIX.

Τίς ποθ' ὁ τὸν Τροίης πόλεμον σελίδεσσι χαράξας,
ἢ τίς ὁ τὴν δολιχὴν Λαρτιάδαο πλάνην;
οὐκ οὔνομ' εὑρίσκω σαφὲς, οὐ πόλιν. οὐράνιε Ζεῦ,
μή ποτε σῶν ἐπέων δόξαν Ομηρος ἔχει;

## CCCCXC.

Οπποίας τὸν Ομηρον ἀναγραψώμεθα πάτρης,
κεῖνον, ἐφ' ᾧ πᾶσαι χεῖρ' ὀρέγουσι πόλεις;
ἢ τὸ μὲν ἐστιν ἄγνωστον, ὁ δ' ἀθανάτοις ἴσος ἥρως
ταῖς Μούσαις ἔλιπε πατρίδα καὶ γενεήν;

## CCCCXCI.

p. 255. Υἱὲ Μέλητος Ομηρε, σὺ γὰρ κλέος Ελλάδι πάσῃ
καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐς ἀΐδιον,
καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεννήσαο κούρας,
δισσὰς ἐκ στηθέων γραψάμενος σελίδας.
ὑμνεῖ δ' ἡ μὲν νόστον Οδυσσῆος πολύπλαγκτον,
ἡ δὲ τὸν Ιλιακὸν Δαρδανίων πόλεμον.

## CCCCXCII.

Εἰς αἰῶνας, Ομηρε, καὶ ἐξ αἰῶνος ἀείδῃ,
Οὐρανίης Μούσης δόξαν ἀειράμενος.
μῆνιν μὲν γὰρ ἄεισας Αχιλλέος, αὐτὰρ Αχαιῶν
στρομβηδὸν νηῶν σύγχυσιν ἐν πελάγει,
τειρόμενόν τε πλάνῃσιν Οδυσσέα ποικιλόβουλον,
τοῦ λέχος ἀσπασίως εἴσιδε Πηνελόπη.

CCCCXCIII. T. III.

Εἰ θεός ἐστιν Ομηρος, ἐν ἀθανάτοισι σεβέσθω·
εἰ δ' αὖ μὴ θεός ἐστι, νομιζέσθω θεὸς εἶναι.

CCCCXCIV.

Εὗρε Φύσις, μόλις εὗρε· τεκοῦσα δ' ἐπαύσατο μόχθων,
εἰς ἕνα μοῦνον Ομηρον ὅλην τρέψασα μενοινήν.

CCCCXCV.

Τίς ποθ' Ομηρείης μεγάλης ὀπὸς ἐστιν ἀπευθής;
τίς χθών, τίς δὲ θάλασσα μάχην οὐκ οἶδεν Αχαιῶν;
δῆμος ὁ Κιμμερίων, πανδερκέος ἄμμορος αἴγλης
Ηελίου, Τροίης οὔνομ' ἔκλυεν· ἔκλυεν Ατλας
οὐρανὸν εὐρύστερνον ἔχων ἐπικείμενον ὤμοις.

CCCCXCVI. p. 256.

Διεξιὼν Ομηρε τὴν κεκαυμένην
φθονεῖν ἀφῆκας τὰς ἀπορθήτους πόλεις.

CCCCXCVII.

Θεῖος Ομηρος ὅδ' ἐστὶν, ὃς Ελλάδα τὴν μεγάλαυχον
πᾶσαν ἐκόσμησε καλλιεπεῖ σοφίῃ,
ἔξοχα δ' Αργείους, οἳ τὴν θεοτείχεα Τροίην
ἤρειψαν, ποινὴν ἠϋκόμου Ελένης·
οὗ χάριν ἔστησε δῆμος μεγαλόπτολις αὐτὸν
ἐνθάδε, καὶ τιμαῖς ἀμφέπει ἀθανάτων.

CCCCXCVIII.

Οὐκ ἔθος ἐστὶν ἐμοὶ φράζειν γένος, οὐδ' ὄνομ' αὐτοῦ·
νῦν δ' ἕνεκ' Αἰλιανοῦ πάντα σαφῶς ἐρέω.
πατρὶς ἐμοὶ χθὼν πᾶσα, τὸ δ' οὔνομά φασιν Ομηρον·
ἔστι δὲ Μουσάων, οὐκ ἐμὸν οὐδὲν ἔπος.

T. III. CCCCXCIX.

Εἰ μὲν θνητὸς ἔφυς, πῶς ἀθάνατόν σ' ἐποίησαν
Μοῦσαι, καὶ Μοιρῶν νῆμ' ἀνέκλωσαν, ἄναξ;
εἰ δ' ἦσθ' ἀθάνατος, πῶς ἐν θνητοῖς σ' ἀριθμοῦσιν;
οὐ μά σε ταῦτ' ἐχρῆν, σεμνὲ ποιητὰ, φρονεῖν.
ἀλλ' ἔγνων τἀληθές· ἐπεὶ τὸ σαφὲς διαφεύγει,
ἄνθρωπόν φασι θεῖέ σ' Ομηρε πέλειν.

D.

Ενθάδε τὴν ἱερὴν κεφαλὴν κατὰ γαῖα καλύπτει,
ἀνδρῶν ἡρώων κοσμήτορα, θεῖον Ομηρον.

p. 257. DI.

Ενθάδε θεῖος Ομηρος, ὃς Ελλάδα πᾶσαν ἄεισε,
Θήβης ἐκγεγαὼς τῆς ἑκατονταπύλου.

DII.

Ελλάδος εὐρυχόρου στέφανον καὶ κόσμον ἀοιδῆς,
Ασκραῖον γενεὴν, Ησίοδον, κατέχω.

DIII.

Αρχιλόχου τάδε μέτρα, καὶ ἠχήεντες ἴαμβοι,
θυμοῦ καὶ φοβερῆς ἰὸς ἐπεσβολίης.

DIV.

Τόνδε Θαλῆν Μίλητος Ιὰς θρέψασ' ἀνέδειξεν
ἀστρολόγον, πάντων πρεσβύτατον σοφίᾳ.

DV.

Η ῥ' ὀλίγον γε τὸ σᾶμα, τὸ δὲ κλέος οὐρανόμηκες,
τῶ πολυφροντίστω τοῦτο Θάλητος ὅρη.

DVI.

Η Μήδων ἄδικον παύσασ' ὕβριν, ἥδε Σόλωνα
τόνδε τεκνοῖ Σαλαμὶς θεσμοθέτην ἱερόν.

DVII.

## DVII.

Τόνδε δορυστέφανος Σπάρτα Χείλων' ἐφύτευσεν, T. III.
ὃς τῶν ἑπτὰ σοφῶν πρῶτος ἔφυ σοφίῃ.

## DVIII.

Ἦν Λακεδαιμόνιος Χείλων σοφὸς, ὃς τάδ' ἔλεξε· p. 258.
ΜΗΔΕΝ ΑΓΑΝ. ΚΑΙΡΩι ΠΑΝΤΑ ΠΡΟΣΕΣΤΙ ΚΑΛΑ.

## DIX.

Κλεινῆς ἐν δαπέδοισι Πριήνης φύντα καλύπτει
ἥδε Βίαντα πέτρη, κόσμον Ἴωσι μέγαν.

## DX.

Ἄνδρα σοφὸν Κλεόβουλον ἀποφθίμενον καταπενθεῖ
ἥδε πάτρα Λίνδος πόντῳ ἀγαλλομένη.

## DXI.

Πλούτου καὶ σοφίης πρύτανιν πατρὶς ἥδε Κόρινθος
κόλποις ἀγχιάλου γῆς Περίανδρον ἔχει.

## DXII.

Εἰς Φερεκύδην.

Τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἢν δέ τι πλεῖον
Πυθαγόρῃ τῷ 'μῷ, λέγε ταῦθ', ὅτι πρῶτος ἁπάντων
ἐστὶν ἀν' Ἑλλάδα γῆν. οὐ ψεύδομαι ὧδ' ἀγορεύων.

## DXIII.

Ἡνίκα Πυθαγόρης τὸ περικλεὲς εὕρατο γράμμα
κεῖν', ἐφ' ὅτῳ κλεινὴν ἤγαγε βουθυσίην,
δή τότε μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος·
Παῦσαι, μηδὲ ῥάπιζ', ἐπεὶ φίλου ἀνέρος ἐστὶ
ψυχὴ, τὴν ἔγνων, φθεγξαμένης ἀΐων.

T.III.p.259.

## DXIV.

Εἰς εἰκόνα Πυθαγόρου.

Αὐτὸν Πυθαγόρην ὁ ζωγράφος, ὃν μετὰ φωνῆς
εἶδες ἄν, εἴ γε λαλεῖν ἤθελε Πυθαγόρης.

## DXV.

Ἐνθάδ' ὁ πλεῖστον ἀληθείας ἐπὶ τέρμα περήσας
οὐρανίου κόσμου κεῖται Αναξαγόρας.

## DXVI.

Εἰς τὴν Ηρακλείτου βίβλον.

Ηράκλειτος ἐγώ· τί με ὦ κάτω ἕλκετ' ἄμουσοι;
οὐχ ὑμῖν ἐπόνουν, τοῖς δέ μ' ἐπισταμένοις.
εἷς ἐμοὶ ἄνθρωπος, τρισμύριοι· οἱ δ' ἀνάριθμοι,
οὐδείς. ταῦτ' αὐδῶ καὶ παρὰ Περσεφόνῃ.

## DXVII.

Μὴ ταχὺς Ηρακλείτου ἐπ' ὀμφαλὸν εἴλυε βίβλον
τοὐφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός.
ὄρφνη καὶ σκότος ἐστὶν ἀλάμπετον· ἢν δέ σε μύστης
εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

## DXVIII.

Εἰς Δημόκριτον.

Ην ἄρα Δημοκρίτοιο γέλως τόδε, καὶ τάχα λέξει·
Οὐκ ἔλεγον γελόων, πάντα πέλουσι γέλως;
καὶ γὰρ ἐγὼ σοφίην μετ' ἀπείρονα, καὶ στίχα βίβλων
τοσσατίων, κεῖμαι νέρθε τάφοιο γέλως.

p. 260.

## DXIX.

Εἰς τοὺς ἐννέα Λυρικούς.

Πίνδαρε, Μουσάων ἱερὸν στόμα, καὶ λάλε Σειρὴν
Βακχυλίδη, Σαπφοῦς τ' Αἰολίδες χάριτες;

γράμμα τ' Ανακρείοντος, Ομηρικὸν ὅς τ' ἀπὸ ῥεῦμα T. III.
ἔσπασας οἰκείοις Στησίχορ' ἐν καμάτοις,
ἥ τε Σιμωνίδεω γλυκερὴ σελὶς, ἡδύ τε πειθῦς
Ἴβυκε καὶ παίδων ἄνθος ἀμησάμενε,
καὶ ξίφος Αλκαίοιο, τὸ πολλάκις αἷμα τυράννων
ἔσπεισε, πάτρης θέσμια ῥυόμενον,
θηλυμελεῖς τ' Αλκμᾶνος ἀηδόνες, ἵλατε, πάσης
ἀρχὴν οἱ λυρικῆς καὶ πέρας ἐσπάσατε.

## DXX.

Εἰς τὰς αὐτάς.

Εκλαγεν ἐκ Θηβῶν μέγα Πίνδαρος· ἔπνεε τερπνὰ
ἡδυμελιφθόγγυ μῦσα Σιμωνίδεω.
λάμπει Στησίχορός τε καὶ Ἴβυκος. ἦν γλυκὺς Αλκμάν·
λαρὰ δ' ἀπὸ ςομάτων φθέγξατο Βακχυλίδης.
πειθὼ Ανακρείοντι συνέσπετο· ποικίλα δ' αὐδᾷ
Αλκαῖος κιθάρᾳ Λέσβιος Αἰολίδι.
ἀνδρῶν δ' ὐκ ἐνάτη Σαπφὼ πέλεν, ἀλλ' ἐρατειναῖς
ἐν Μύσαις δεκάτη Μῦσα καταγράφεται.

## DXXI.

Εἰς Σαπφώ.

Ελθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν Ηρης,
Λεσβίδες, ἁβροπόδων βήμαθ' ἑλισσόμεναι,
ἔνθα καλὸν ςήσασθε θεῇ χορόν· ὔμμι δ' ἀπάρξει p. 261.
Σαπφὼ χρυσείην χερσὶν ἔχυσα λύρην.
ὄλβιαι ὀρχηθμῦ πολυγηθέος· ἦ γλυκὺν ὕμνον
εἰσαΐειν αὐτῆς δέξετε Καλλιόπης.

DXX. 6. Vulgo A. κύκνος Λέσβιος, Αἰολίδι. Codd. omnes κίθαρα, tum Codd. pleriqne Planud. Αἰολίδης aut Αἰολίδῃ.

T. III.

## DXXII.

Εἰς τὴν αὐτὴν, ὡς ἀπὸ τῶν Μουσῶν.

Οὐκ ἄρα σοί γε ὀλίζον ἐπὶ κλέος ὤπασε Μοῖρα
ἤματι, τῷ πρῶτον φῶς ἴδες ἀελίου,
Σαπφοῖ. σοὶ θὴν χρυσὸν ἐνείμαμεν ἄφθιτον εἷμεν,
σύν τε πατὴρ κάντων νεῦσεν ἐρισμάραγος·
μέλψῃ δ' ἐν πάντεσσιν ἀοίδιμος ἁμερίοισιν,
οὐδὲ κλυτᾶς φάμας ἔσσεται ἠπανία.

## DXXIII.

Εἰς τὴν Ἠρίννης Ἠλακάτην.

Λέσβιον Ἠρίννης τόδε κηρίον. ἁδύ τι. μικρὸν,
ἀλλ' ὅλον ἐκ Μουσέων κιρνάμενον μέλιτι.
οἱ δὲ τριηκόσιοι ταύτης στίχοι ἶσοι Ὁμήρῳ,
τῆς καὶ παρθενικῆς ἐννεακαιδεκέτευς,
ἣ καὶ ἐπ' ἠλακάτῃ μητρὸς φόβῳ, ἣ καὶ ἐφ' ἱστῷ
ἑστήκει, Μουσέων λάτρις ἐφαπτομένη.
Σαπφὼ δ' Ἠρίννης ὅσσον μελέεσσιν ἀμείνων,
Ἤριννα Σαπφοῦς τόσσον ἐν ἑξαμέτροις.

## DXXIV.

Ἄρτι λοχευομένην σε μελισσοτόκων ἔαρ ὕμνων,
ἄρτι δὲ κυκνείῳ φθεγγομένην στόματι,
p. 262. ἤλασεν εἰς Ἀχέροντα διὰ πλατὺ κῦμα καμόντων
Μοῖρα, λινοκλώστου δεσπότις ἠλακάτας·
σὸς δ' ἐπέων, Ἤριννα, καλὸς πόνος οὔ σε γεγωνεῖ
φθίσθαι, ἔχειν δὲ χοροὺς ἄμμιγα Πιερίσι.

DXXII. 2. Cod. τῷ πρώτῳ. 3. Cod. Σαπφοῖ. σοὶ τὴν κρίσιν οὐθ μέν. 4. Cod. σὺν δέ. 5. Cod. μέλψαι. 6. Cod. ἔσσεαι ἠπεδανά.

## DXXV.

T. III.

Εἰς Ἀνακρέοντα.

Τήϊον ἀμφοτέρων με βλέπεις ἀκόρεστον ἐρώτων
πρέσβυν, ἴσον κούροις, ἶσον ἀδόντα κόραις·
ὄμμα δέ μου Βρομίῳ βεβαρημένον, ἠδ᾽ ἀπὸ κώμων
τερπνὰ φιλαγρύπνων σήματα παννυχίδων.

## DXXVI.

Ω ξένε, τόνδε τάφον τὸν Ανακρείοντος ἀμείβων,
σπεῖσόν μοι παριών· εἰμὶ γὰρ οἰνοπότης.

## DXXVII.

Πολλὰ πιὼν τέθνηκας, Ανάκρεον. β ἀλλὰ τρυφήσας·
καὶ σὺ δὲ μὴ πίνων ἵξεαι εἰς Αἴδην.

## DXXVIII.

Εἰς Ἴβυκον.

Ῥήγιον Ιταλίης τεναγώδεος ἄκρον ἀείδω,
αἰεὶ Θρινακίης γευομένης ὕδατος,
οὕνεκα τὸν φιλέοντα λύρην, φιλέοντά τε παῖδας·
Ιβυκον εὐφύλλῳ θῆκεν ὑπὸ πτελέῃ,
ἡδέα πολλὰ παθόντα· πολὺν δ᾽ ὑπὸ σήματι κισσὸν
χεύατο, καὶ λευκοῦ φυταλιὴν καλάμου.

## DXXIX.

p. 263.

Εἰς Ἐπίχαρμον.

Εἴ τι παραλλάσσει φαέθων μέγας ἅλιος ἄστρων,
καὶ πόντος ποταμῶν μεῖζον ἔχει δύναμιν,
φαμὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν Επίχαρμον,
ὃν πατρὶς ἐστεφάνωσ᾽ ἅδε Συρακοσίων.

T. III.

## DXXX.

Δωρίδος ἐκ Μούσης κεκορυθμένον ἀνέρα Βάκχῳ
καὶ Σατύροις Σικελὸν τῇδ' Ἐπίχαρμον ἔχω.

## DXXXI.

Ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον
γέλωτι κεράσας Νικαεὺς Φιλιστίων,
ἐνταῦθα κεῖμαι λείψανον παντὸς βίου,
πολλάκις ἀποθανὼν, ὧδε δ' οὐδεπώποτε.

## DXXXII.

Ἡρόδοτος Μούσας ὑπεδέξατο· τῷ δ' ἄρ' ἑκάστη
ἀντὶ φιλοξενίης βίβλον ἔδωκε μίαν.

## DXXXIII.

Ἡρόδοτον Λύξεω κρύπτει κόνις ἥδε θανόντα,
Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν,
Δωριέων πάτρης βλαστόντ' ἄπο, τῶν ἄρ' ἄπλητον
μῶμον ὑπεκπροφυγὼν, Θούριον ἔσχε πάτρην.

p. 264.

## DXXXIV.

Χαῖρε μελαμπέπλοις, Εὐριπίδη, ἐν γυάλοισι
Πιερίας, τὸν ἀεὶ νυκτὸς ἔχων θάλαμον·
ἴσθι δ' ὑπὸ χθονὸς ὢν, ὅτι σοι κλέος ἄφθιτον ἔσται,
ἶσον Ὁμηρείαις ἀενάοις χάρισι.

## DXXXV.

Εἰ καὶ δακρυόεις, Εὐριπίδη, εἷλέ σε πότμος,
καί σε λυκορραῖσται δεῖπνον ἔθεντο κύνες,

DXXXIII, 3. Vulgo τῇ γὰρ ἀπλ.

τὸν σκηνῇ μελίγηρυν ἀηδόνα, κόσμον Ἀθηνῶν, T. III.
τὸν σοφίῃ Μουσέων μιξάμενον χάριτα,
ἀλλ' ἔμολες Πελλαῖον ὑπ' ἠρίον, ὡς ἂν ὁ λάτρις
Πιερίδων ναίῃς ἀγχόθι Πιερίδων.

## DXXXVI.

Οὐ σὸν μνῆμα τόδ' ἔς', Εὐριπίδη, ἀλλὰ σὺ τοῦδε.
τῇ σῇ γὰρ δόξῃ μνῆμα τόδ' ἀμπέχεται.

## DXXXVII.

Ἐπὶ τοῦ μνήματος Θρασυμάχου τοῦ σοφιςοῦ ἐν Χαλκηδόνι.

Τοὔνομα Θῆτα Ρῶ Ἀλφα Σὰν Υ Μῦ Ἀλφα Χῖ Οὖ Σάν·
πατρὶς Χαλκηδών· ἡ δὲ τέχνη, σοφίη.

## DXXXVIII.

Πάτρα Μίλητος τίκτει τὸν Μούσαισι ποθεινὸν
Τιμόθεον, κιθάρας δεξιὸν ἡνίοχον.

## DXXXIX. p. 265.

Εἰς τὴν Θουκυδίδου ἱςορίαν.

Ὦ φίλος, εἰ σοφὸς εἶ, λάβε μ' ἐς χέρας· εἰ δὲ πέφυκας
νῆϊς Μουσάων, ῥίψον ἃ μὴ νοέεις.
εἰμὶ γὰρ οὐ πάντεσσι βατός· παῦροι δ' ἀγάσαντο
Θουκυδίδην Ὀλόρου, Κεκροπίδην τὸ γένος.

## DXL.

Οὗτος ἀκεςορίης κρυφίας ὤϊξε κελεύθους,
Παιήων μερόπων, Κῷος Ἱπποκράτης.

## DXLI.

Ἢ τεὴν φωνὴν, Ἱππόκρατες, ἔγραφε Παιὰν,
ἢ σὺ τῆς κείνου μάρτυς ἀκεςορίης.

T. III. 

## DXLII.

Θεσσαλὸς Ἱπποκράτης, Κῷος γένος, ἐνθάδε κεῖται,
Φοίβου ἀπὸ ῥίζης ἀθανάτου γεγαώς,
πλεῖστα τρόπαια νόσων στήσας ὅπλοις Ὑγιείης,
δόξαν ἑλὼν πολλὴν, οὐ τύχῃ, ἀλλὰ τέχνῃ.

## DXLIII.

Ἀτθίδος εὐγλώττου στόμα φέρτατον, οὐ σέο μεῖζον
φθέγμα Πανελλήνων πᾶσα κέκευθε σελίς·
πρῶτος δ' εἴς τε θεὸν καὶ ἐς οὐρανὸν ὄμμα τανύσσας,
θεῖε Πλάτων, ἤθη καὶ βίον ηὐγάσαο,
Σωκρατικῷ Σάμιον κεράσας μυκτῆρι φρόνημα,
κάλλιστον σεμνῆς σῆμα διχοστασίης.

p. 266.

## DXLIV.

Γαῖα μὲν ἐν κόλποις κρύπτει τόδε σῶμα Πλάτωνος·
ψυχὴ δ' ἀθανάτων τάξιν ἔχει μακάρων·
υἱοῦ Ἀρίστωνος, τόν τις καὶ τηλόθι ναίων
τιμᾷ ἀνὴρ ἀγαθὸς, θεῖον ἰδόντα βίον.

## DXLV.

Αἰετὲ, τίπτε βέβηκας ὑπὲρ τάφον, ἢ τίνος, εἰπὲ,
ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέων;
ψυχῆς εἰμὶ Πλάτωνος ἀποπταμένης ἐς Ὄλυμπον
εἰκών· σῶμα δὲ γῆ γηγενὲς Ἀτθὶς ἔχει.

## DXLVI.

Τὸν νοῦν διδάσκων αἰθερεμβατεῖν Πλάτων
τοὺς τῶν ὑπὲρ νοῦν ἐξερεύγεται λόγους.

DXLIII. 5. Cod. μυκτῆρει.

DXLVII. T. III.

Βωμὸν Ἀριϛοτέλης ἱδρύσατο τόνδε Πλάτωνος,
ἀνδρὸς ὃν ὐδ' αἰνεῖν τοῖσι κακοῖσι θέμις.
ὃς μόνος ἢ πρῶτος θνητῶν κατέδειξεν ἐναργῶς,
οἰκείῳ τε βίῳ καὶ μεθόδοισι λόγων,
ὡς ἀγαθός τε καὶ εὐδαίμων ἅμα γίνεται ἀνήρ·
ὐ νῦν δ' ἔϛι λαβεῖν ὐδενὶ ταῦτα ποτέ.

DXLVIII.

Εἰς τὸν Φαίδωνα, Πλάτωνος διάλογον, νοθευόμενον ὑπὸ Παναιτίυ.

Εἴ με Πλάτων ὐ γράψε, δύω ἐγένοντο Πλάτωνε.
Σωκρατικῶν ὀάρων ἄνθεα πάντα φέρω.
ἀλλὰ νόθον μ' ἐτέλεσσε Παναίτιος, ὅς ῥ' ἐτάλασσε
καὶ ψυχὴν θνητὴν καὶ νόθον ἐκτελέσαι.

DXLIX. p. 267.

Φαιϛίδος ἦν μητρὸς καὶ Νικομάχυ γενετῆρος
τῶν Ἀσκληπιαδῶν δῖος Ἀριϛοτέλης.

DL.

Οὗτος Ἀριϛοτέλης μετρῶν χθόνα, καὶ πόλον ἄϛρων.

DLI.

Νῦς καὶ Ἀριϛοτέλυς ψυχὴ, τύπος ἀμφοτέρων εἷς.

DLII.

Σμικρὸς, φαλακρὸς, τραυλὸς ὁ Σταγειρίτης,
λαγνὸς, προγάϛωρ, παλλακαῖς συνημμένος.

DLIII.

Πρὸς τὸν γράψαντα τὸ πρὸ τύτυ ἐπίγραμμα.

Ἀναλφάβητος ὑτοσὶ ϛιχογράφος,
ἄνυς, ἄφρων, ἄγροικος, αὐθάδης, λάλος.

T. III. DLIV.

Επὶ τῇ Ισοκράτους εἰκόνι χαλκῇ ἐν Ελευσῖνι.

Τιμόθεος φιλίας τε χάριν, σύνεσίν τε προτιμῶν
Ισοκράτους, εἰκὼ τήνδ' ἀνέθηκε θεαῖς.

DLV.

Επὶ τῇ Αθήνησιν πρὸς τῷ Ολυμπίῳ εἰκόνι χαλκῇ.

Ισοκράτους Αφαρεὺς πατρὸς εἰκόνα τήνδ' ἀνέθηκε
Ζηνὶ, θεούς τε σέβων, καὶ γονέων ἀρετήν.

p. 268. DLVI.

Ηδε χθὼν κόλποισι Φασηλίτην Θεοδέκτην
κρύπτει, ὃν ηὔξησαν Μοῦσαι Ολυμπιάδες·
αὐτὰρ ἐπὶ χθονὸς ὢν ἱεραῖς τρισὶ καὶ δέχ' ἁμίλλαις
ὀκτὼ ἀγηράντους ἀμφεθέμην στεφάνους.

DLVII.

Τὸν κύνα Διογένη νεκυοστόλε δέξο με πορθμεῦ
γυμνώσαντα βίου παντὸς ἐπισκύνιον.

DLVIII.

α Εἰπὲ κύον τίνος ἀνδρὸς ἐφεστὼς σῆμα φυλάσσεις;
β τοῦ Κυνός. α ἀλλὰ τίς ἦν οὗτος ἀνὴρ ὁ Κύων;
β Διογένης. α γένος εἰπέ. β Σινωπεύς. α ὃς πίθον ᾤκει;
β καὶ μάλα. νῦν δὲ θανὼν ἀστέρας οἶκον ἔχει.

DLIX.

Επὶ τῷ Δημοσθένους ἀνδριάντι.

Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες,
οὔποτ' ἂν Ελλήνων ἦρξεν Αρης Μακεδών.

## DLX. T. III.

Εἰς Μένανδρον.

Αὐταί σοι στομάτεσσιν ἀνηρείψαντο μέλισσαι
ποικίλα Μουσάων ἄνθεα δρεψάμεναι·
αὐταὶ καὶ Χάριτες σοὶ ἐδωρήσαντο, Μένανδρε,
στωμύλον εὐστοχίην δράμασιν ἐνθέμεναι.
ζώεις εἰς αἰῶνα· τὸ δὲ κλέος ἐστὶν Ἀθήναις
τοὐκ σέθεν, οὐρανίων ἁπτόμενον περάτων.

## DLXI. p. 269.

Ἐχρῆν μὲν στῆσαι σὺν Ἔρωτι φίλῳ σε, Μένανδρε,
ᾧ συζῶν ἐτέλεις ὄργια τερπνὰ θεοῦ·
δῆλος δ' εἶ φορέων αἰεὶ θεὸν, ὁππότε καὶ νῦν
σὴν μορφὴν κατιδὼν αὐτίκα πᾶς σε φιλεῖ.

## DLXII.

Φαιδρὸν ἑταῖρον Ἔρωτος ὁρᾷς, σειρῆνα θεάτρων,
τόνδε Μένανδρον, ἀεὶ κρᾶτα πυκαζόμενον,
οὕνεκ' ἄρ' ἀνθρώπους ἱλαρὸν βίον ἐξεδίδαξεν,
ἡδύνας σκηνὴν δράμασι πᾶσι γάμων.

## DLXIII.

Οὐ φαύλως ἔστησα κατ' ὀφθαλμούς σε, Μένανδρε,
τῆσδέ γ' Ὁμηρείης, φίλτατέ μοι, κεφαλῆς·
ἀλλά σε δεύτερ' ἔταξε σοφὸς κρίνειν μετ' ἐκεῖνον
γραμματικὸς κλεινὸς πρόσθεν Ἀριστοφάνης.

## DLXIV.

Εἰς τὴν Λυκόφρονος Κασσάνδραν.

Οὐκ ἂν ἐν ἡμετέροισι πολυγνάμπταις λαβυρίνθοις
ῥηϊδίως προμόλοις ἐς φάος, αἴκε τύχῃς.

T. IH. τοίȣς γὰρ Πριαμὶς Κασσάνδρη φοίβασε μύθȣς,
ἄγγελος ὢν βασιλεῖ ἔφρασε λοξοτρόχις.
εἰ δέ σε φίλατο Καλλιότη, λάβε μ' ἐς χέρας· εἰ δὲ
νῆϊς ἔφυς Μȣσέων, χερσὶ βάρος φορέεις.

p. 270.

## DLXV.

Εἰς τὰ Καλλιμάχȣ Αἴτια.

Ἀ μέγα Βαττιάδαο σοφȣ̃ περίπυστον ὄνειαρ,
ἦ ῥ' ἐτεὸν κεράων, ȣ̓δ' ἐλέφαντος ἔης.
τοῖα γὰρ ἄμμιν ἔφηνας, ἅτ' ȣ̓ πάρος ἀνέρες ἴδμεν,
ἀμφί τε ἀθανάτȣς, ἀμφί τε ἡμιθέȣς,
εὖτέ μιν ἐκ Λιβύης ἀναείρας εἰς Ελικῶνα
ἤγαγες ἐν μέσσαις Πιερίδεσσι φέρων·
αἱ δέ οἱ εἰρομένῳ ἀμφ' ὠγυγίων ἡρώων
Αἴτια καὶ μακάρων εἶρον ἀμειβόμεναι.

## DLXVI.

Ὦ μάκαρ ἀμβροσίῃσι συνέστιε φίλτατε Μȣ́σαις,
χαῖρε καὶ εἰν Αΐδεω δώμασι Καλλίμαχε.

## DLXVII.

Εἰς Νίκανδρον.

Καὶ Κολοφὼν ἀρίδηλος ἐνὶ πτολίεσσι τέτυκται,
δοιȣ̀ς θρεψαμένη παῖδας ἀριστονόȣς,
πρωτότοκον μὲν Ομηρον, ἀτὰρ Νίκανδρον ἔπειτα,
ἀμφοτέρȣς Μȣ́σαις ȣ̓ρανίῃσι φίλȣς.

## DLXVIII.

Φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ
Νίκανδρος κατέλεξεν, ἐπιστάμενος περὶ πάντων
ἀνθρώπων. ἦ γὰρ Παιήονός ἐστι γενέθλης.

## DLXIX.

T. III. p. 271.

Ιαιήων, Χείρων, Ασκληπιὸς, Ιπποκράτης τε·
ἴς δ' ἔπι Νίκανδρος προφερέστερον ἔλλαχεν εὖχος.

## DLXX.

Λακαίου τάφος οὗτος, ὃν ἔκτανεν ἡ πλατύφυλλος
τιμωρὸς μοιχῶν γῆς θυγάτηρ ῥάφανος.

## DLXXI.

Εἰς τὴν Απολλοδώρου Βιβλιοθήκην.

Αἰῶνος σπείρημα ἀφυσσάμενος ἀπ' ἐμεῖο
παιδείης, μύθους γνῶθι παλαιγενέας·
μηδ' ἐς Ομηρείην σελίδ' ἔμβλεπε, μηδ' ἐλεγείην,
μὴ τραγικὴν μοῦσαν, μηδὲ μελογραφίην,
ἢ κυκλίων ζήτει πολύθρουν στίχον· εἰς ἐμὲ δ' ἀθρῶν
εὑρήσεις ἐν ἐμοὶ πάνθ' ὅσα κόσμος ἔχει.

## DLXXII.

Εἰς Μελέαγρον τὸν ποιητήν.

Πρῶτα μοι Γαδάρων κλεινὰ πόλις ἔπλετο πάτρα,
ἤνδρωσεν δ' ἱερὰ δεξαμένα με Τύρος·
ἐς γῆρας δ' ὅτ' ἔβην, καὶ δῖα θρεψαμένη Κῶς
ἀμὲ θετὸν Μερόπων ἀστὸν ἐγηροτρόφει.
Μοῦσαι δ' εἶν ὀλίγοις με, τὸν Εὐκράτεω Μελέαγρον
παῖδα, Μενιππείαις ἠγλάϊσαν χάρισι.

## DLXXIII.

Εὐκράτεω Μελέαγρον ἔχω, ξένε, τὸν σὺν Ερωτι
καὶ Μούσαις κεράσανθ' ἡδυλόγους Χάριτας.

DLXXII, 6. Cod: μελιπτείοις ἠγλ.

T. III.

## DLXXXIII.

Εἰς Σώσανδρον Ἱππίατρον.

Ἰητὴρ μερόπων, Ἱππόκρατες, ἀλλὰ καὶ ἵππων,
 Σώσανδρε, κρυφίης ἵστορ' ἀκεστορίης,
ἢ τέχνην μεταμείψατ' ἢ οὔνομα· μηδὲ καλείσθω
 ἅτερος ἐκ τέχνης, ἧς ἕτερος κρατέει.

## DLXXXIV.

Ἀλκῇ, καὶ μύθοισι καὶ ἐν μούσαισι κρατίστους
 ἄνδρας ἀγακλειτοὺς τέτροφε Κεκροπίη,
ὧν ἕνα καὶ Δέξιππον, ὃς ἱστορίην ἐσαθρήσας
 αἰῶνος δολιχὴν, ἀτρεκέως ἔφρασε.
καὶ τὰ μὲν αὐτὸς ἐπεῖδε, τὰ δ' ἐκ βίβλων ἀναλέξας
 ηὕρατο παντοίην ἱστορίης ἀτραπόν.
ἦ μέγα κλεινὸς ἀνὴρ, ὃς νοῦ ἄπο μυρίον ὄμμα
 ἐκτείνας, χρονίους πρήξιας ἐξέμαθε.
φήμη μὲν περίβωτος ἀν' Ἑλλάδα, τὴν ὁ νεανθὴς
 αἶνος Δεξίππῳ δῶκεν ἐφ' ἱστορίῃ.
τοὔνεκα καὶ παῖδες τὸν ἀγακλειτὸν γενετῆρα
 μορφήεντα λίθου θῆκαν ἀμειβόμενοι.

p. 275.

## DLXXXV.

Εἰς εἰκόνα Ὀρειβασίου.

Ἰητὴρ μέγας οὗτος Ἰουλιανοῦ βασιλῆος,
 ἄξιος εὐσεβίης δῖος Ὀρειβάσιος.
εἶχε γὰρ οἷα μέλισσα σοφὸν νόον, ἄλλοθεν ἄλλα
 ἰητρῶν προτέρων ἄνθεα δρεψάμενος.

DLXXXIII. 2. Vulgo ἴσορ. 3. Vulgo μετάμειψον.

DLXXXVI.

## DLXXXVI. T. III.

Εἰς τὴν Ορειβασίου βίβλον.

Δίου Ορειβασίοιο, τὸν ἀθανάτην διὰ τέχνην
πολλάκι δειμαίνουσα μίτους ἀνεβάλλετο Μοίρη.

## DLXXXVII.

Εἰς τὴν Φιλοστοργίου ἱστορίαν.

Ἱστορίην ἐτέλεσσα θεοῦ χαρίτεσσι σοφῇσι.
πράγματ' ἀληθείης ποικίλ' ὑφηνάμενος.

## DLXXXVIII.

Γράμματα δώδεκ' ἔχει ΦΙΛΟΣΤΟΡΓΙΟΣ, οὔνομα καλόν·
τοὔνεκα δὴ κατὰ γράμμα λόγους ἀνεγράψατο τούτους,
ἀρξάμενος πρώτου ἀπὸ γράμματος, ἔνθεν ἐφεξῆς
καὶ διὰ τῆς αὐτῶν ἀρχῆς ἑὸν οὔνομα γράψας.

## DLXXXIX.

Εἰς ἄγαλμα Κλαυδιανοῦ.

Εἰν ἑνὶ Βιργιλίοιο νόον καὶ μοῦσαν Ομήρου
Κλαυδιανὸν Ρώμη καὶ βασιλεῖς ἔθεσαν.

## DXC. p. 276.

Εἰς τὴν βίβλον Τακτικῶν Ορβικίου ἀπὸ ὑπάτων. ἦν δὲ ποίημα Αδριανοῦ βασιλέως.

Τέρπεό μοι κρατερῶν καμάτων ἐγκύμονι βίβλῳ,
ἣν πάρος Αδριανὸς μὲν ἄναξ ἔχεν ἐν πολέμοισι,
κρύψε δ' ἀεργίη χρόνον ἄσπετον ἐγγύθι λήθης·
ἀλλ' ὑπὸ καρτερόχειρος Αναστασίου βασιλῆος
ἤλυθον ἐς φάος αὖθις, ἵνα στρατιῇσιν ἀρήξω.
οἶδα γὰρ ἀνδροφόνους καμάτους πολέμοιο διδάσκειν·
οἶδα δὲ πῶς μετ' ἐμεῖο καὶ ἑσπερίης ἀλὸς ἄνδρας
καὶ Πέρσας ὀλέσεις, καὶ αἰνομόρους Σαρακηνούς,

T. III. καὶ θοὸν ἱπποκέλευθον ἀερειμανέων γένος Οὔννων,
πετράων τ' ἐφύπερθεν ἀλυσκάζοντας Ισαύρους·
πάντα δ' ὑπὸ σκήπτροισιν Αναστασίοιο τελέσσω,
ὃν καὶ Τραϊανοῖο φαάντερον ἤγαγεν ἠώς.

DXCI.

Νόννος ἐγώ. Πανὸς μὲν ἐμὴ πόλις· ἐν Φαρίῃ δὲ
ἔγχεϊ φωνήεντι γονὰς ἤμησα Γιγάντων.

DXCII.

Κλαύδιος ἰητὴρ Αγαθήμερος ἐνθάδε κεῖμαι,
παντοίης δεδαὼς κραιπνὸν ἄκεσμα νόσου·
ξυνὸν τοῦτο δ' ἐμοὶ καὶ Μυρτάλῃ εἶσα συνεύνῳ
μνῆμα. μετ' εὐσεβέων δ' ἐσμὲν ἐν Ηλυσίῳ.

DXCIII.

Εν τε φίλοισι φίλοιο, καὶ ἰητῆρος ἀρίστου,
παιδείης θ' ἱερῆς ἐγγύθεν ἁψαμένου,
p. 277. σῶμ' Ασκληπιάδου καὶ υἱέος ἐνθάδε Βήρου,
ὡς ἐπέτελλε φίλοις, εἷς ὅδε τύμβος ἔχει.

DXCIV.

Εἰς τὸν Μαρίνου Νεαπολίτου Πρόκλον.

Καὶ τόδε σῆς ζαθέης κεφαλῆς περιώσιον ἔργον,
Πρόκλε μάκαρ, πάντων βρέτας ἔμπνοον ὅττι Μαρῖνον
ἀθανάτων, μερόπεσσι βοηθόον εὐσεβέεσσιν,
ἀντὶ τεῆς ἱερῆς κεφαλῆς ψυχοσσόον ἄλκαρ
κάλλιπες, ὃς βιοτὴν θεοτερπέα σεῖο λιγαίνων
γράψε τάδ' ἐσσομένοις μνημήϊα σῶν ἀρετάων.

## DXCV. T. III.

Εἰς τὴν ἰατρικὴν βίβλον Παύλου Αἰγινήτου.

Τοὔνομά μοι Παῦλος, πατρὶς Αἴγινα· πολλὰ μογήσας,
πᾶσαν ἀκεστορίην βίβλον ἔτευξα μίαν.

## DXCVI.

Εἰς τὰ Ναυμαχικὰ συνταχθέντα παρὰ Βασιλείου Πατρικίου καὶ Παρακοιμωμένου.

Αὐσονίων σοφίης δεδιδαγμένος ἔξοχα ἔργα,
καὶ στίχας, ἠδὲ φάλαγγας, ἰδ' ἀῤῥαγέας παρατάξεις
ὁπλιτῶν, πρυλέων, κρατερῶν πάλιν ἱπποκορυστῶν,
ἱστορικαῖς σελίδεσσιν, ὑπ' εὐγενέων βασιλήων
δειχθεὶς Αὐσονίων στρατιῆς πανυπέρτατος ἀρχὸς,
Χαμβδᾶν ἥττησας, Αράβων γένος ἐξενάριξας·
νηῶν δ' ὠκυπόρων δεδαήμεναι εἴ ποτε βούλει,
ἄνδιχα ναυμαχίης ὄφρ' εὐκλέα μήσεαι ἔργα,
βίβλου τῆσδε, φέριστε, νοήματα πάντα κατ' αἶσαν p. 278.
ὄμμασι σοῖς σκοπίαζε, καὶ ἐν φρεσὶ βάλλεο σῇσιν.
ἔνθεν δὴ, Βασίλειε, πέδον Κρήτης ἀλαπάξεις,
καὶ γενεὴν ὀλέσεις Καρχηδονίων μεγαθύμων.

## DXCVII.

Αδηλον ἐπὶ τίνι.

Ηέλιον νίκησε τεὸς νόος ἡδὺ φαείνων,
αἰὲν ἀπαστράπτων βροτοφεγγέα πάνσοφον αἴγλην,
ἡδυφαῆ, χαρίεσσαν, ἀποστάζουσαν ἀλήκτως.

## DXCVIII.

Εἰς τὰ Πάτρια Ἀναζαρβοῦ.

Κωνσταντινιάδης Ασκληπιὸς ἄστυ γεραίρων
γράψεν Αναζαρβοῦ πάτρια κυδαλίμης.

T. III.

## DXCIX.

Ενθάδε Γοργίυ ἡ κυνικῦ κεφαλὴ κατάκειμαι,
ὐκέτι χρεμπτομένη, ὗτ' ἀπομυσσομένη.

## DC.

Εἰκὼν Καλλίςυ τῦ ῥήτορος· οἱ δὲ παρ' αὐτὴν
ἐρχόμενοι, Ερμῇ σπένδετε τῷ λογίῳ.

## DCI.

Φύρμος με Φύρμον, πυρφόρος τὸν πυρφόρον,
ὁ παῖς ὁ ῥήτωρ τὸν πατέρα τὸν ῥήτορα.

p. 279.

## DCII.

Χαίρετ' Αριςείδυ τῦ ῥήτορος ἑπτὰ μαθηταὶ,
τέσσαρες οἱ τοῖχοι, καὶ τρία συψέλια.

## DCIII.

Εἰς εἰκόνα Γεωργίυ.

Καλλιόπη βασίλεια Γεώργιον εἶπεν ἰδῦσα·
Οὗτος ἐμὸς γενέτης γνήσιος, ὐ Κρονίδης.

## DCIV.

Επὶ τῦ ἀθήνησιν ἐν Πυθίυ Απόλλωνος βωμῦ.

Μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίςρατος Ιππίυ υἱὸς
θῆκεν Απόλλωνος Πυθίυ ἐν τεμένει.

## DCV.

Εἰς Πυθαγόραν Σάμιον τὸν πύκτην.

Οὗτος πυκτεύσων ἐς Ολύμπια παισὶν ἄνηβος
ἤλυθε Πυθαγόρας ὁ Κράτεω Σάμιος.

## DCVI.

Τάσδ' ὀςρειογραφεῖς καὶ χρυσελεφαντηλέκτρυς
ἀσπίδας ἀσπιδίοις εἵλομεν εὐτελέσι.

## DCVII. T. III.

Ἐπὶ τῷ Μαρκέλλου ἀνδριάντι, ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς
ἐν Λίνδῳ.

Οὗτός τοι Ῥώμης ὁ μέγας, ξένε, πατρίδος ἀστὴρ,
Μάρκελλος κλεινῶν Κλαύδιος ἐκ πατέρων,
ἑπτάκι τὰν ὑπάταν ἀρχὰν ἐν Ἄρηϊ φυλάξας, p. 280.
καὶ πολὺν ἀντιπάλων ἐγκατέχευε φόνον.

## DCVIII.

Εἰς Μάρκον Κάτωνα.

Πυῤῥὸν, πανδακέτην, γλαυκόμματον, ἠδὲ θανόντα
Πόρκιον εἰς Ἀΐδην Φερσεφόνη δέχεται.

## DCIX.

Ἐπὶ τῇ Ἀράτου εἰκόνι χαλκῇ.

Βουλαὶ μὲν καὶ ἄεθλα, καὶ ἁ περὶ Ἑλλάδος ἀλκὰ
τοῦδ' ἀνδρὸς στάλαις πλάζεται Ἡρακλέους·
ἄμμες δ' εἰκόν' Ἀρατε τεὰν, νόστοιο τυχόντες,
στάσαμεν ἀντ' ἀρετᾶς ἠδὲ δικαιοσύνας.
σωτῆρος, σωτῆρσι θεοῖς, ὅτι πατρίδι τᾷ σᾷ
δαίμον' ἴσον, θείαν τ' ὤπασας εὐνομίαν.

## DCX.

Ἀρχὸν ἐμὲ Θεόδωρον Ἀχαιῶν εἰκόνι τῇδε
στῆσε Θεμιστοκλέης νεύματι Κεκροπίης.

---

Ἀρχὸν ὁρᾷς Θεόδωρον, ὃς εὐδικίης ἀγανῇσι
σῶσε Πανελλήνων σώματα καὶ πόλιας.
τοὔνεκά μιν κατὰ ἄστυ Θεμιστοκλέης ἀνέθηκεν
εἰκόνι λαϊνέῃ· τοὺς γὰρ ἄνωγε πόλις·

T. III. εὐχόμενος μετέπειτα θεῷ γεννήτορι πάντων,
καὶ χαλκοῦν στήσειν νεύματι Θευδοσίου.

p. 281.

## DCXI.

Εἰκόνα σου, Πολύκλεις, ἀνὰ παστάδα τάνδε πολῖται
θῆκαν· ὁ μυριέτης δ' οὐ μαρανεῖ σε χρόνος·
ἐν βουλαῖς μὲν ἄριστον, ἀγῶσι δὲ τοῖς περὶ πάτρας
ἄλκιμον, ἐν δὲ βίῳ σώφρονα δερκόμενοι.

## DCXII. a

Δηοῦς καὶ Κούρης θεοείκελον ἱεροφάντην,
κυδαίνων πατέρα, στῆσε δόμοις Κλεάδας,
Κεκροπίης σοφὸν ἔρνος, Ἐρώτιον, ᾧ ῥα καὶ αὐτὸς
Λερναίων ἀδύτων ἶσον ἔδεκτο γέρας.

Lect. p. 286.

## DCXII. b

Εἰκόνα τήνδ' εἰσάθρει· πέλεται δὲ τοῦ ἁγνοῦ ὑπάρχου
ἐς Κρητῶν πόλιν, ἣν μοῦνος ἔθηκα νέην.
ἀγχίθυρος δ' ἕστηκα Δίκης πέλας. εἰμὶ κριτὴς γὰρ
ἤπιος ἰθυδίκοις, τοῖς δ' ἀδίκοισι δέος.
στῆσε δὲ Καλλείνικος ἐνηής, δόγματι νήσου,
γαίης Ἰλλυρίδος δεύτερον ἠέλιον.

Lect. p. 287.

## DCXII. c

Ἑσπερίης πάσης χθονὸς ὄβριμον ἰθυντῆρα,
Μάρκελλον, ὃ θρασὺς μάρψε μόρος ταμίην,
Ἑλλάδος ἀγλαὸν ἔρνος, ὃς εὐδοκίῃ Κυκλάδων γῆς
κουφίζων πόλιας, θῆκεν ἐλαφροτέρας.
τοὔνεκα καὶ προθύροισι Δίκης, ἐπιμάρτυρα θεσμῶν
βουλὴ καὶ Πύῤῥου θῆκεν ἐφημοσύνη.

DCXII. c v. 6. in Lapide Πύῤῥου.

## DCXIII.

T.III.p.281.

Εἰς Νιόβην.

Ὁ τύμβος οὗτος ἔνδον οὐκ ἔχει νέκυν.
ὁ νεκρὸς οὗτος ἐκτὸς οὐκ ἔχει τάφον.
ἀλλ' αὐτὸς αὐτοῦ νεκρός ἐστι καὶ τάφος.

## DCXIV.

Εἰς Λαοδίκην τὴν Πριάμου θυγατέρα.

Τῇδέ ποτ' ἀκτερέϊστον ἐδέξατο γαῖα χανοῦσα
Λαοδίκην, δηΐων ὕβριν ἀλευομένην.
σῆμα δ' ἀμαλδύναντος ἀνωΐστοιο χρόνοιο,
Μάξιμος ἔκδηλον θῆκ' Ἀσίης Ὕπατος,
καὶ κούρης χάλκειον ἐπεὶ τύπον ἐφράσατ' ἄλλῃ
κείμενον ἀκλειῶς, τῷδ' ἐπέθηκε κύκλῳ.

## DCXV.

Ψήχει καὶ πέτρην ὁ πολὺς χρόνος, οὐδὲ σιδήρου
φείδεται, ἀλλὰ μιῇ πάντ' ὀλέκει δρεπάνῃ·
ὡς καὶ Λαέρταο τόδ' ἠρίον, ὃ σχεδὸν ἀκτῆς p. 282.
βαιὸν ἄπο, ψυχρῶν λείβεται ἐξ ὑετῶν.
οὔνομα μὴν ἥρωος ἀεὶ νέον. οὐ γὰρ ἀοιδὰς
ἀμβλύνειν αἰὼν, κἢν ἐθέλῃ, δύναται.

## DCXVI.

Τύμβος Ἀχιλλῆος ῥηξήνορος, ὅν ποτ' Ἀχαιοὶ
δώμησαν, Τρώων δεῖμα καὶ ἐσσομένων·
αἰγιαλῷ δὲ νένευκεν, ἵνα στοναχῇσι θαλάσσης
κυδαίνοιτο πάϊς τῆς ἁλίας Θέτιδος.

## DCXVII.

Ἄνδρε δύω φιλότητι καὶ ἐν τεύχεσσιν ἀρίστω,
χαίρετον, Αἰακίδη, καὶ σὺ Μενοιτιάδη.

T. III.

## DCXVIII.

Σῆμα τόδ' Αἴαντος Τελαμωνίου, ὃν κτάνε Μοῖρα,
αὐτοῦ χρησαμένη καὶ χερὶ καὶ ξίφεϊ.
οὐδὲ γὰρ ἐν θνητοῖσι δυνήσατο καὶ μεμαυῖα
εὑρέμεναι Κλωθὼ τοῦδ' ἕτερον φονέα.

## DCXIX.

Μή με τάφῳ σύγκρινε τὸν Ἕκτορα, μηδ' ἐπὶ τύμβῳ
μέτρει τὸν πάσης Ἑλλάδος ἀντίπαλον.
Ἰλιὰς, αὐτὸς Ὅμηρος ἐμοὶ τάφος, Ἑλλὰς, Ἀχαιοὶ
φεύγοντες· τούτοις πᾶσιν ἐχωννύμεθα.
εἰ δ' ὀλίγην ἀθρεῖς ἐπ' ἐμοὶ κόνιν, οὐκ ἐμὸν αἶσχος,
Ἑλλήνων ἐχθραῖς χερσὶν ἐχωννύμεθα.

## DCXX.

Εἴ τινα πώποτ' ἄκουσας Ἐνυαλίου φίλον υἱὸν,
καὶ κρατερὸν δυνάμει, καὶ θαρσαλέον πολεμίζειν,
p. 283. Ἕκτορα τὸν Πριάμοιο νόει μοῦνον γεγενῆσθαι,
ὅν ποτε μαρνάμενον Διομήδης ἔκτανεν ἀνὴρ
αἴας πρὸ Τρώων, Δαναοῖσι μάχην προφέροντα·
ὃν καὶ τῇδε θανόντα τάφος ὅδε ἀμφικαλύπτει.

## DCXXI.

Ἕκτορα τὸν Πριάμου Διομήδης ἔκτανεν ἀνὴρ
αἴας πρὸ Τρώων ἐγχεϊ μαρνάμενον.

## DCXXII.

Ἡδυεπὴς Νέστωρ, Πύλιος Νηλήϊος ἥρως
ἐν Πύλῳ ἠγαθέῃ τύμβον ἔχει τριγέρων.

DCXXII. 1. Cod. πόλιος.

## DCXXIII.

T. III.

Ἀβρότονον Θρῄϊσσα γυνὴ πέλον· ἀλλὰ τεκέσθαι
τὸν μέγαν Ἕλλησι φημὶ Θεμιστοκλέα.

## DCXXIV.

Εἰς Τίμωνα τὸν μισάνθρωπον.

Καὶ νέκυς ὢν, Τίμων ἄγριος· σὺ δέ γ' ὦ πυλαωρὲ
Πλούτωνος, τάρβει, Κέρβερε, μή σε δάκῃ.

## DCXXV.

Τούσδε ποτὲ φθιμένους ὑπὲρ Ἑλλάδος ἀντία Μήδων
μητρόπολις Λοκρῶν κεύθει ὁμοῦ Ὀπόεις.

## DCXXVI.

Μνοπάλης νικῶ δὶς Ὀλύμπια Πύθιά τ' ἄνδρας,
τρὶς Νεμέᾳ, τετράκις δ' Ἰσθμῷ ἐν ἀγχιάλῳ,
Χίλων, ὃς Πατρεὺς ἦν· αὐτὰρ ὁ λαὸς Ἀχαιῶν
ἐν πολέμῳ φθίμενον θάψ' ἀρετῆς ἕνεκεν.

## DCXXVII.

p. 284.

Οἵδε πάτρας ἕνεκα σφετέρας εἰς δῆριν ἔθεντο
ὅπλα, καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν·
μαρνάμενοι δ' ἀρετῆς καὶ λήματος, οὐκ ἐσάωσαν
ψυχὰς, ἀλλ' Ἀΐδην κοινὸν ἔθεντο βράβην,
οὕνεκεν Ἑλλήνων, ὡς μὴ ζυγὸν αὐχένι θέντες
δουλοσύνης, στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν.
γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων
σώματ', ἐπεὶ θνητοῖς ἐκ Διὸς ἥδε κρίσις.
μηδὲν ἁμαρτεῖν ἐστι θεῶν καὶ πάντα κατορθοῦν·
ἐν βιοτῇ Μοῖραν δ' οὔτι φυγεῖν ἔπορον.

DCXXVII. 6. Fort. ἀμφὶς ἔχειν.

T. III.

## DCXXVIII.

Ἐπὶ τῷ Λαΐδος τάφῳ παρὰ τῷ Πηνειῷ.

Τῆσδέ ποθ' ἡ μεγάλαυχος, ἀνίκητός τε πρὸς ἀλκὴν
    Ἑλλὰς ἐδουλώθη κάλλεος ἰσοθέου,
Λαΐδος, ἣν τέκνωσεν Ἔρως, θρέψεν δὲ Κόρινθος·
    κεῖται δ' ἐν κλεινοῖς Θετταλικοῖς πεδίοις.

## DCXXIX.

Σβεννύντας ποτὲ τούσδε τυραννίδα χάλκεος Ἄρης
    εἷλε· Σελινοῦντος δ' ἀμφὶ πύλας ἔθανον.

## DCXXX.

Τούσδε θανόντας ἔχει ξείνους τάφος, οἳ περὶ Δῆλον
    μαρνάμενοι ψυχὰς ὤλεσαν ἐν πελάγει,
τὴν ἱερὰν ὅτε νῆσον Ἀθηναῖοι κεράϊζον
    κοινὸν ἄρη βασιλεῖ Καππαδόκων θέμενοι.

p. 285.

## DCXXXI.

Ἕκτον ἐπ' εἰκοστῷ πλήσας ἔτος Ἄβγαρος ἔνθα
    ταρχύθη, Μοιρῶν ὡς ἐπέκλωσε μίτος,
ᾧ φθόνος ὧς ἄδικός τις ἀπέσβεσεν ἀρχόμενον φῶς,
    λυπήσας τὸ γένος, καὶ φιλίους ἑτάρους·
τύμβον δ' Ἀντωνῖνος ἑῷ θέτο τοῦτον ἀδελφῷ,
    οἷσιν ὁ πρὶν βασιλεὺς Ἄβγαρος ἦν γενέτης.

## DCXXXII.

Κλαύδιος Αὐρηλῷ μετὰ δήϊον ἄρεα Καῖσαρ
    τὰ κτέρεα, θνητῶν ὡς θέμις, ἐνδίδοσι.
τῷ γ' ἂρ καὶ ζωήν· ἀλλ' οὐκ ἐθέλησε φρόνημα
    πᾶσιν ἐπιῤῥήτοις τοῦ στρατοῦ ἀντίβιον.

κεῖνος δ' οἰκτίρμων, καὶ σώματος ἔσχατ' ὀπίζων, T. III.
Αὐρείλιυ γέφυραν εἵσατο τήν τε ταφήν.

## DCXXXIII.

Εἴς τινα φθείραντα τὴν ἑαυτῦ μητέρα.

Μὴ θάψῃς τὸν ἄθαπτον, ἔα κυσὶ κύρμα γενέσθαι.
γῆ μήτηρ πάντων μητροφθόρον ὐ δέχετ' ἄνδρα.

## DCXXXIV.

Αὐτῷ καὶ τεκέεσσι γυναικί τε τύμβον ἔδειμεν
Ανδροτίων, ὔπω δ' ὐδενός εἰμι τάφος.
ὕτω καὶ μείναιμι πολὺν χρόνον· εἰ δ' ἄρα καὶ δεῖ,
δεξαίμην ἐν ἐμοὶ τὺς προτέρυς προτέρυς.

## DCXXXV.

Τὴν σορὸν, ἣν ἐσορᾷς, ζῶν Μάξιμος αὐτὸς ἑαυτῷ
θῆκεν, ὅπως ναίῃ παυσάμενος βιότυ·
σύν τε, γυναικὶ Καλλιποδίῃ τεῦξεν τόδε σῆμα, p. 286.
ὡς καὶ τὴν στοργὴν ἐν φθιμένοισιν ἔχῃ.

## DCXXXVI.

Κάτθανον, ἀλλὰ μένω σε· μενεῖς δέ τε καὶ σύ τιν' ἄλλον,
πάντας ὁμῶς θνητὺς εἷς Αΐδης δέχεται.

## DCXXXVII.

Εμῦ θανόντος, γαῖα μιχθήτω πυρί·
ὐδὲν μέλει μοι. τἀμὰ γὰρ καλῶς ἔχει.

## DCXXXVIII.

Βαιὰ φαγὼν, καὶ βαιὰ πιὼν, καὶ πολλὰ νοσήσας,
ὀψὲ μὲν, ἀλλ' ἔθανον. ἔῤῥετε πάντες ὁμῦ.

DCXXXV. 4. Vulgo ὡς ἵνα τ. σ. κἀν φ.

T. III.

## DCXXXIX.

Ἐλπὶς καὶ σὺ Τύχη, μέγα χαίρετε. τὸν λιμέν' εὗρον.
οὐδὲν ἐμοὶ χ' ὑμῖν, παίζετε τοὺς μετ' ἐμέ.

## DCXL.

Ἑξηκοντούτης Διονύσιος ἐνθάδε κεῖμαι,
Ταρσεὺς, μὴ γήμας· αἴθε δὲ μηδ' ὁ πατήρ.

## DCXLI.

Τύμβον ἐμοὶ τοῦτον γαμέτης δωρήσατο ΦΡΟΥΡΗΣ,
ἄξιον ἡμετέρης εὐσεβίης στέφανον.
λείπω δ' ἐν θαλάμοις γαμέτου χορὸν εὐκλέα παίδων,
πιστὸν ἐμοῦ βιότου μάρτυρα σωφροσύνης.
μουνόγαμος θνήσκω, δέκα δ' ἐν ζωοῖσιν ἔτι ζῶ,
νυμφικὸν εὐτεκνίης καρπὸν ἀειραμένη.

p. 287.

## DCXLII.

Τοῦτό τοι ἡμετέρης μνημήϊον, ἐσθλὲ Σαβῖνε,
ἡ λίθος ἡ μικρὴ, τῆς μεγάλης φιλίης.
αἰεὶ ζητήσω σε· σὺ δ', εἰ θέμις, ἐν φθιμένοισι
τοῦ Λήθης ἐπ' ἐμοὶ μή τι πίῃς ὕδατος.

## DCXLIII.

Εἰς Σοφοκλῆν, οὐ τὸν τραγῳδίας ποιητὴν, ἀλλά τινα ἄλλον, σάρδιον φαγόντα, καὶ ἀπὸ τούτου θανόντα.

Ἐνθάδ' ἐγὼ Σοφοκλῆς στυγερὸν δόμον Αἴδος ἦλθον,
κάμμορος, εἴδατι Σαρδῴου σελίνοιο γελάσκων.
ὣς μὲν ἐγὼν, ἕτεροι δ' ἄλλως· πάντες δέ τε πάντως.

DCXLIII. 2. Vulgo εἰ δέ τι σαρδῴῳ.

## DCXLIV. T. III.

Εἰπὲ ποτὶ Φθίαν εὐάμπελον, ἤν ποθ' ἵκηαι,
καὶ πόλιν ἀρχαίαν, ὦ ξένε, Θαυμακίαν,
ὡς δρυμὸν Μαλεαῖον ἀναστείβων ποτ' ἔρημον
εἶδες Λάμπωνος τόνδ' ἐπὶ παιδὶ τάφον
Δερξίᾳ, ὅν ποτε μοῦνον ἕλον δόλῳ, οὐδ' ἀναφανδὸν,
κλῶπες ἐπὶ Σπάρταν δῖαν ἐπειγόμενον.

## DCXLV.

Εἷς ὅδε Νικάνδρου τέκνων τάφος· ἓν φάος ἀοῦς
ἄνυσε τὰν ἱερὰν Λυσιδίκας γενεάν.

## DCXLVI.

Οὔπω τοι πλόκαμοι τετμημένοι, οὐδὲ σελάνας
τοὶ τριετεῖς μηνῶν ἀνιοχεῦντο δρόμοι,
Κλεύδικε, Νικασὶς ὅτε σὴν περὶ λάρνακα μάτηρ, p. 288.
τλῆμον, ἐπ' αἰακτῷ πολλ' ἐβόα θανάτῳ,
καὶ γενέτας Περίκλειτος· ἐπ' ἀγνώστῳ δ' Ἀχέροντι
ἡβάσεις ἥβαν, Κλεύδικ', ἀνοστοτάταν.

## DCXLVII.

Νηϊάδες καὶ ψυχρὰ βοαύλια ταῦτα μελίσσαις
οἶμον ἐπ' εἰαρινὴν λέξατε νισσομέναις,
ὡς ὁ γέρων Λεύκιππος ἐπ' ἀρσιπόδεσσι λαγωοῖς
ἔφθιτο χειμερίῃ νυκτὶ λοχησάμενος.
σμήνεα δ' οὐκέτι οἱ κομέειν φίλον· αἱ δὲ τὸν ἄκρης
γείτονα ποιμένιαι πολλὰ ποθοῦσι νάπαι.

DCXLV. 1. ἀοῖς Cod.
DCXLVI. 4. Cod. ἔβρα σεφάνῳ.

T. III.

## DCXLVIII.

Ἐνθάδ᾽ ἐγὼ λῃστῆρος ὁ τρισδείλαιος ἄρηϊ
ἐδμήθην· κεῖμαι δ᾽ οὐδενὶ κλαιόμενος.

## DCXLIX.

Εἴκοσι Καλλικράτεια καὶ ἐννέα τέκνα τεκοῦσα,
οὐθ᾽ ἑνὸς, οὔτε μιῆς ἐδρακόμην θάνατον.
ἀλλ᾽ ἑκατὸν καὶ πέντε διηνυσάμην ἐνιαυτοὺς,
σκίπωνι τρομερὰν οὐκ ἐπιθεῖσα χέρα.
οὕδ᾽ ἐγὼ ἡ περίβωτος ὑπὸ πλακὶ τῇδε τέθαμμαι,
μούνῳ ἐνὶ ζώνην ἀνέρι λυσαμένη.

## DCL.

Γαῖα φίλη τὸν πρέσβυν Ἀμύντιχον ἔνθεο κόλποις,
πολλῶν μνησαμένη τῶν ἐπὶ σοὶ καμάτων.
καὶ γὰρ ἀεὶ πρέμνον σοι ἀνεστήριξεν ἐλαίης,
πολλάκι καὶ Βρομίου κλήμασιν ἠγλάϊσε,
p. 289. καὶ Δηοῦς ἔπλησε, καὶ ὕδατος αὔλακας ἕλκων
θῆκε μὲν εὐλάχανον, θῆκε δ᾽ ὀπωροφόρον.
ἀνθ᾽ ὧν σὺ πρηεῖα κατὰ κροτάφου πολιοῖο
κεῖσο, καὶ εἰαρινὰς ἀνθοκόμει βοτάνας.

## DCLI.

Νηλεὲς ὦ δαῖμον, τί δ᾽ ἐμοὶ τόδε φέγγος ἔδειξας
εἰς ὀλίγων ἐτέων μέτρα μινυνθάδια;
ἦ ἵνα λυπήσῃς δι᾽ ἐμὴν βιότοιο τελευτὴν
μητέρα δειλαίην δάκρυσι καὶ στοναχαῖς,
ἥ μ᾽ ἔτεκ᾽ ἤματι τῷδε, καὶ ἣ πολὺ μείζονα πατρὸς
φροντίδα παιδείης ἤνυσεν ἡμετέρης;

ὃς μὲν γὰρ τυτθόν τε καὶ ὀρφανὸν ἐν μεγάροισι T.III.
κάλλιπεν· ἡ δ' ἐπ' ἐμοὶ πάντας ἔτλη καμάτους.
ἣ μὲν ἐμοὶ φίλον ἦεν ἐφ' ἀγυιῶν ἡγεμονήων
ἐμπρεπέμεν μύθοις ἀμφὶ δικασπολίας,
ἀλλά μοι οὐ γενύων ὑπεδέξατο κούριμον ἄνθος
ἡλικίης ἐρατῆς, οὐ γάμον, οὐ δαΐδας·
οὐχ ὑμέναιον ἄεισε περικλυτόν, οὐ τέκος εἶδε,
δυσπότμου γενεῆς λείψανον ἡμετέρης.
τῆς πολυθρηνήτου λυπεῖ δ' ἐμέ, καὶ τεθνεῶτα,
μητρὸς Πωλίττης πένθος ἀεξόμενον,
Φρόντωνος γοεραῖς ἐπὶ φροντίσιν, ἣ τέκε παῖδα
ὠκύμορον, κενεὸν χάρμα φίλης πατρίδος.

## DCLII.

[a]Πωλίττα, τλῆθι πένθος, εὔνασον δάκρυ.
πολλαὶ θανόντας εἶδον υἱεῖς μητέρες.
[β]ἀλλ' οὐ τοιούτους τὸν τρόπον καὶ τὸν βίον,
οὐ μητέρων σέβοντας ἡδίστην θέαν.
[a]τί περισσὰ θρηνεῖς; τί δὲ μάτην ὀδύρεαι; p. 290.
εἰς κοινὸν Αἴδην πάντες ἥξουσι βροτοί.

## DCLIII.

Ἡμάξευσα καὶ αὐτὸς ὁ τρισδύστηνος Ἀγάναξ
τοῦτον δύσζωον κἄβιοτον βίοτον.
οὐ μὴν πολλὸν ἐπὶ χρόνον ἤλασα· λὰξ δὲ πατήσας
λυσσώδη ζωήν, ἤλυθον εἰς Ἀΐδεω.

## DCLIV.

Εἴς τινας ἐπαινετοὺς ἄνδρας, καὶ ἐξ ἐπαινουμένης πατρίδος.

Γῇ μὲν ἔαρ κόσμος πολυδένδρεον· αἰθέρι δ', ἄστρα·
Ἑλλάδι δ', ἥδε χθών· οἵδε δέ, τῆδε πόλει.

T. III.

## DCLV.

Μὴ σύγε θνητὸς ἐὼν, ὡς ἀθάνατός τι λογίζου.
οὐδὲν γὰρ βιότου πιστὸν ἐφημερίοις,
εἰ καὶ τόνδε Κάσανδρον ἔχει σορὸς ἥδε θανόντα,
ἄνθρωπον φύσεως ἄξιον ἀθανάτου.

## DCLVI.

Τίς λίθος οὐκ ἐδάκρυσε, σέθεν φθιμένοιο, Κάσανδρε;
τίς πέτρος, ὃς τῆς σῆς λήσεται ἀγλαΐης;
ἀλλά σε νηλειὴς καὶ βάσκανος ὤλεσε δαίμων,
ἡλικίην ὀλίγην εἰκοσιὲξ ἐτέων,
ὃς χήρην ἄλοχον θῆκε, μογερούς τε τοκῆας
γηραλέους, στυγερῷ πένθεϊ τειρομένους.

p. 291.

## DCLVII.

Εἷς δύ' ἀδελφειοὺς ἐπέχει τάφος. ἓν γὰρ ἐπέσχον
ἦμαρ καὶ γενετῆς οἱ δύο καὶ θανάτου.

## DCLVIII.

Ἀλκηστις νέη εἰμί· θάνον δ' ὑπὲρ ἀνέρος ἐσθλοῦ,
Ζήνωνος, τὸν μοῦνον ἐνὶ στέρνοισιν ἐδέγμην,
ὃν φωτὸς γλυκερῶν τε τέκνων προὔκριν' ἐμὸν ἦτορ,
οὔνομα Καλλικράτεια, βροτοῖς πάντεσσιν ἀγαστή.

## DCLIX.

Ἀΐδη ἀλλιτάνευτε καὶ ἄτροπε, τίπτε τοι οὕτω
Κάλλαισχρον ζωᾶς νήπιον ὠρφάνισας;
ἔσται μὰν ὅ γε παῖς ἐνὶ δώμασι Περσεφονείοις
παίγνιον· ἀλλ' οἴκοι λυγρὰ λέλοιπε πάθη.

DCLIX. 1. Cod. τοῦτο.

DCLX.

## DCLX. T. III.

Ακμαίη πρὸς ἔρωτα καὶ ἡδέα Κύπριδος ἔργα,
Πατροφίλα, κανθὺς τὺς γλυκερὺς ἔμυσας·
ἐσβέσθη δὲ τὰ φίλτρα τὰ κωτίλα, χὠ μετ᾽ ἀοιδῆς
ψαλμὸς, καὶ κυλίκων αἱ λαμυραὶ προπόσεις.
Αιδη δυσκίνητε, τί τὴν ἐπέραστον ἑταίρην
ἥρπασας; ἦ καὶ σὴν Κύπρις ἔμηνε φρένα;

## DCLXI.

Τίπτε μάτην γοόωντες ἐμῷ παραμίμνετε τύμβῳ;
ὐδὲν ἔχω θρήνων ἄξιον ἐν φθιμένοις.
λῆγε γόων, καὶ παῦε, πόσις, καὶ παῖδες ἐμεῖο
χαίρετε, καὶ μνήμην σώζετ᾽ Αμαζονίης.

## DCLXII. p. 292.

Βαιὸν ἐπιςήσας ἴχνος ἐνθάδε τύμβον ἄθρησον
παιδὸς ἄφνω μαζῶν μητρὸς ἀποπταμένυ·
ᾤχετο δ᾽ ἐν νεκύεσσι λιπὼν πατρὶ πένθος ἄληκτον,
δισσὴν πληρώσας πεντάδα τῶν συνόδων.
τοῖος δ᾽ ἦν γεγαὼς, οἷος πότ᾽ ἔφυσεν Ιακχος,
ἢ θρασὺς Αλκείδης, ἢ καλὸς Ενδυμίων.

## DCLXIII.

Μηδὲ καταχθονίυς μετὰ δαίμονας ἄμμορος εἴης
ἡμετέρων δώρων, ὧν σ᾽ ἐπέοικε τυχεῖν,
Αμμία, ὕνεκα Νικόμαχος, θυγάτηρ τε Διώνη
τύμβον καὶ ςήλην σὴν ἐθέμεσθα χάριν.

## DCLXIV.

Μή με θοῶς κύδιςε παρέρχεο τύμβον ὁδῖτα,
σοῖσιν ἀκοιμήτοις ποσσὶ κελευθοπόρε·

DCLXII. 5. Fort. οἷός περ ἔφυ ποτ᾽ Ιακχος.
DCLXIII. 1. Vulgo καταχθονίοις μ. δαίμοσιν.

T. III. δερκόμενος δ' ἐρέεινε, Τίς ἡ πόθεν; Ἁρμονίαν γὰρ
γνώσεαι, ἧς γενεὴ λάμπεται ἐν Μεγάροις.
πάντα οἱ, ὅσσα βροτοῖσι φέρει κλέος, ἦν ἐνιδέσθαι,
εὐγενίην, ἐρατὺν, ἤθεα, σωφροσύνην.
τοίης τύμβον ἄθρησον, ἐς ὐρανίας δ' ἄρ' ἀταρπὺς
ψυχὴ παπταίνει σῶμ' ἀποδυσαμένη.

## DCLXV.

Νικόπολιν Μαράθωνις ἐθήκατο τῇδ' ἐνὶ πέτρῃ,
ὀμβρήσας δακρύοις λάρνακα μαρμαρέην.
ἀλλ' ὐδὲν πλέον ἔσχε. τί γὰρ πλέον ἀνέρι κήδευς
μύνῳ ὑπὲρ γαίης, οἰχομένης ἀλόχυ;

## DCLXVI.

p. 293. Ἅδε τοι, Ἀρχίυ υἱὲ Περίκλεες, ἁ λιθίνα 'γὼ
ἑστακα στάλα, μνᾶμα κυναγεσίας·
πάντα δέ τοι περὶ σᾶμα τετεύχαται, ἵπποι, ἄκοντες,
αἱ κύνες, αἱ στάλικες, δίκτυ' ὑπὲρ σταλίκων,
αἲ αἲ, λάϊνα πάντα. περιτροχάυσι δὲ θῆρες·
αὐτὸς δ' εἰκοσέτας νήγρετον ὕπνον ἔχεις.

## DCLXVII.

Εἶχε κορωνοβόλον, πενίης λιμηρὸν Ἀρίστων
ὄργανον, ᾧ πτηνὰς ἠκροβόλιζε χένας,
ἧκα παραστείχων δολίην ὁδὸν, οἷον ἐκείνας
ψεύσασθαι λοξοῖς ὄμμασι φερβομένας.
νῦν δ' ὁ μὲν εἰν Αΐδῃ· τὸ δέ οἱ βέλος ὀρφανὸν ἤχυ
καὶ χερός· ἡ δ' ἄγρη τύμβον ὑπερπέταται.

DCLXIV. 6. Vulgo ἐρατύν. 7. Vulgo ἐρ. γάρ.
DCLXV. 2. Fort. δάκρυσιν ὀμβρήσας.
DCLXVII. 3. Vulgo οἷος ἐκεῖνος.

## DCLXVIII.

T. III.

Μυρτάδα, τὴν ἱεραῖς με Διωνύσȣ παρὰ ληνοῖς
ἄφθονον ἀκρήτȣ σπασσαμένην κύλικος,
ȣ̓ κεύθει φθιμένην βαιὴ κόνις· ἀλλὰ πίθος μοι,
σύμβολον εὐφροσύνης, τερπνὸς ἔπεστι τάφος.

## DCLXIX.

Ἐν πόντῳ σῷ Δᾶμις ὁ Κρὴς θάνεν, ὦ φίλε Νηρεῦ,
δίκτυα ᾧ τό τε σὸν ἦε σύνηθες ὕδωρ,
ἰχθυβόλος ὁ περισσὸς ἐν ἀνδράσιν. ἀλλὰ θάλασσα
ȣ̓́ τι διακρίνει χείματος, ȣ̓δ' ἁλιεῖς.

## DCLXX.

p. 294.

Παῦσαι νηὸς ἐρετμὰ καὶ ἔμβολα τῷδ' ἐπὶ τύμβῳ
αἰὲν ἐπὶ ψυχρῇ ζωγραφέων σποδιῇ.
ναυηγȣ̃ τὸ μνῆμα. τί τῆς ἐν κύμασι λώβης
αὖτις ἀναμνῆσαι τὸν κατὰ γῆς ἐθέλεις;

## DCLXXI.

Πάντα τις ἀρήσαιτο φυγεῖν πλόον, ὁππότε καὶ σὺ,
Θεύγενες, ἐν Λιβυκῷ τύμβον ἔθευ πελάγει,
ἡνίκα σοι κεκμηὸς ἐπέπτατο φορτίδι νηὶ
ȣ̃λον ἀνηρίθμων κεῖνο νέφος γεράνων.

## DCLXXII.

Ναυτίλε, μὴ πεύθȣ τίνος ἐνθάδε τύμβος ὅδ' εἰμὶ,
ἀλλ' αὐτὸς πόντȣ τύγχανε χρηστοτέρȣ.

DCLXIX. 1. Vat. Cod. Ε. π. Σώδαμος. et in lemmate εἰς Σώδαμον. reponendum itaque hoc nomen. 2. Vulgo δ. καὶ τὸ σὸν ἦν κεῖνο σ. υ. Scribe: Ἐν πόντῳ Σώδαμος ὁ Κρὴς θάνεν, ὦ φίλε Νηρεῦ, δίκτυα καὶ τὸ σὸν ἦν κεῖνο σ. υ.

T. III.

## DCLXXIII.

Ἀίδης μὲν σύλησεν ἐμῆς νεότητος ὀπώρην·
κρύψε δὲ παππῴῳ μνήματι τῷδε λίθος.
οὔνομα Ρουφῖνος γενόμην, παῖς Αἰθερίοιο,
μητρὸς δ' ἐξ ἀγαθῆς· ἀλλὰ μάτην γενόμην.
ὡς γὰρ ἄκρον μούσης τε καὶ ἥβης ἧκον ἐλάσσας,
φεῦ, σοφὸς εἰς Ἀΐδην, καὶ νέος εἰς ἔρεβος.
κάμνε καὶ σὺ βλέπων τάδε γράμματα μακρὸν, ὁδῖτα,
δὴ γὰρ ἔφυς ζωῶν ἢ παῖς, ἠὲ πατήρ.

## DCLXXIV.

Οὐκ ἄρα τοῦτο κάκιστον, ὅταν κλαίωσι θανόντα
νυμφίον, ἢ νύμφην· ἡνίκα δ' ἀμφοτέρους,
p. 295. Εὔπολιν ὡς ἀγαθήν τε Λυκαίνιον, ὧν ὑμέναιον
ἔσβεσεν ἐν πρώτῃ νυκτὶ πεσὼν θάλαμος.
οὐκ ἄλλῳ τόδε κῆδος ἰσόῤῥοπον, ᾧ σὺ μὲν υἱὸν,
Νῖκι, σὺ δ' ἔκλαυσας, Εὔδικε, θυγατέρα.

## DCLXXV.

Υἱϊ πατὴρ τόδε σῆμα. τὸ δ' ἔμπαλιν ἦν τὸ δίκαιον·
ἦν δὲ δικαιοσύνης ὁ φθόνος ὀξύτερος.

## DCLXXVI.

Σοὶ καὶ νῦν ὑπὸ γῆν, ναὶ δέσποτα, πιστὸς ὑπάρχω,
ὡς πάρος, εὐνοίης οὐκ ἐπιληθόμενος,
ὅς με τότ' ἐκ νούσου τρὶς ἐπ' ἀσφαλὲς ἤγαγες ἴχνος,
καὶ νῦν ἀρκούσῃ τῇδ' ὑπέθου καλύβῃ,

DCLXXIV. 1. Vulgo αἲ αἲ τοῦτο. 5. Vulgo ὁ καλῶς τόδε. Cod. οὐκ ἄλλος. 6. Codd. νίκια σὺ δ' ἔκλαυσας εὔδικε.
DCLXXVI. 3. ὅς με τὸν ε.

Μάνην ἀγγείλας, Πέρσην γένος· εὖ δ' ἐμὲ ῥέξας T. III.
ἕξεις ἐν χρείᾳ δμῶας ἑτοιμοτέρους.

## DCLXXVII.

Νυμφιδίου θαλάμοιο λιπὼν δυσπένθεα κόσμον,
καὶ γονέων οἰκτρῶν δακρυόεντα δόμον,
κεῖμαι ἐς αὐχμηροὺς καὶ ἀλαμπέας Ἀΐδος εὐνὰς,
εἰκοσιτέσσαρ' ἔχων Κασσιόδωρος ἔτη.
ἀπροϊδὴς νοῦσός με συνήρπασε· μουνογενῆ δὲ
νηπίαχον κούρην λείπω ὑπ' ἠέλιον.

## DCLXXVIII.

* * * * * * * *

Δαιδαλέοισι πυρὸς σάρκες ῥοθίοισι τρυφηλαὶ
ληφθεῖσαι, νοτίην ὥσαν ἐπαιθόμεναι·
μοῦνα δ' ἔνεστι τάφῳ πολυδακρύτῳ ὀστέα κωφὰ, p. 296.
καὶ πόνος εἰνοδίοις τῇδε παρερχομένοις.

## DCLXXIX.

Ἐπί τινι ἑαυτὸν θάψαντι πρὸ τελευτῆς.

Γήραϊ καὶ πενίῃ τετρυμένος, οὐδ' ὀρέγοντος
οὐδενὸς ἀνθρώπου δυστυχίης ἔρανον,
τοῖς τρομεροῖς κώλοισιν ὑπελθὼν ἠρέμα τύμβον,
εὗρον ὀϊζυροῦ τέρμα μόλις βιότου.
ἠλλάχθη δ' ἐπ' ἐμοὶ νεκύων νόμος. οὐ γὰρ ἔθνησκον
πρῶτον, ἔπειτ' ἐτάφην· ἀλλὰ ταφεὶς ἔθανον.

DCLXXIX. 3. Vulgo ὑπήλυθον.

T. III.

## DCLXXX.

Εἰς Ζηνόδοτον ἱππέα βασιλέων Ἀδριανοῦ καὶ Μάρκου.

Ηρωος μεγάλου τύμβος κατὰ σῶμα καλύπτει
Ζηνοδότου· ψυχὴ δὲ κατ' οὐρανὸν, οὔχί περ Ορφεὺς,
οὔχι Πλάτων, ἱερὸν θεοδέγμονα χῶρον ἐφεῦρεν.
ἱππεὺς μὲν γὰρ ἔην βασιλήϊος ἄλκιμος οὗτος,
κύδιμος, ἀρτιεπὴς, θεοείκελος· ἐν δ' ἄρα μύθοις
Σωκράτεος μίμημα παρ' Αὐσονίοισιν ἐτύχθη·
παισὶ δὲ καλλείψας πατρώϊον αἴσιον ὄλβον,
ὠμογέρων τέθνηκε, λιπὼν ἀπερείσιον ἄλγος
ἐγγενέεσσι, φίλοις, ξείνοισί τε, καὶ πολιήταις.

## DCLXXXI. a

Πληρώσας στρατιὴν Σωτήριχος ἐνθάδε κεῖμαι,
ὄλβον ἐμῶν καμάτων γλυκεροῖς τεκέεσσιν ἐάσας.
ἦρξα δ' ἐν ἱππήεσσι, Γερήνιος οἷά τε Νέστωρ·
ἐξ ἀδίκων δὲ πόνων κειμήλιον οὐδὲν ἔτευξα.
τοὔνεκα καὶ μετὰ πότμον ἔχω φάος Οὐλύμποιο.

Lect. p. 301.

## DCLXXXI. b

Τὸν πάσης ἀρετῆς εἰδήμονα φῶτα, Φίλιππον,
πρέσβυν, κ' Αονίης ἐμπέραμον σοφίης,
Αὐσονίων Ὕπατον, πατέρα κλυτὸν Αντιγόνοιο,
θρέψε Μακηδονίη, δέξατο δ' Ιταλίη.

T. III. p. 297.

## DCLXXXII.

Δουλκίτιον μὲν ἄνακτες ἄκρον βιότοιο πρὸς ὄλβον
ἤγαγον ἐξ ἀρετῆς, καὶ κλέος Ανθυπάτων.

DCLXXX. 1. Cod. H. μ. νέκυος. 9. Cod. εὐγενέεσσι φίλοισι καὶ ἄστεῖ κ. π.

ὡς δὲ Φύσις μὲν ἔλυσεν ἀπὸ χθονὸς, ἀθάνατοι μὲν T.III.
αὐτὸν ἔχουσι θεοὶ, σῶμα δὲ σηκὸς ὅδε.

DCLXXXIII.

Εἰ γένος εὐσεβέων ζώει μετὰ τέρμα βίοιο,
ναιετάον κατὰ θεσμὸν ἀνὰ-στόμα φωτὸς ἑκάστου,
Ανδρέα, σὺ ζώεις, οὐ κάτθανες· ἀλλά σε χῶρος
ἄμβροτος ἀθανάτων ἁγίων ὑπέδεκτο καμόντα.

DCLXXXIV. a

Ενθάδε τύμβος ἔχει θεοειδέας ἀνέρας ἐσθλοὺς,
θεῖον Ιωάννην, τὸν πάνυ Θευδόσιον,
ὧν ἀρετῇ πολύολβος ἐς οὐρανοῦ ἄντυγας ἦλθεν,
καὶ φωτὸς μετόχους δεῖξεν ἀκηρασίου.

DCLXXXIV. b Lect. p. 304.

Αδ᾽ ἐγὼ ἡ τριτάλαινα, καὶ ἀμφοτέρων βασιλήων
Τιβερίου θυγάτηρ, Μαυρικίου δὲ δάμαρ,
ἡ πολύπαις βασίλεια, καὶ ἡ δείξασα λοχείῃ,
ὡς ἀγαθὸν τελέθει καὶ πολυκοιρανίη,
κεῖμαι σὺν τεκέεσσι καὶ ἡμετέρῳ παρακοίτῃ,
δήμου ἀτασθαλίῃ, καὶ μανίῃ στρατιῆς.
Τῆς Εκάβης ἔτλην πολὺ χείρονα, τῆς τ᾽ Ιοκάστης,
αἲ αἲ τῆς Νιόβης ἔμπνοος εἰμὶ νέκυς.
ναὶ ναὶ τὸν γενέτην, τί μάτην τὰ νεογνὰ ἔκτειναν,
ἀνθρώπων κακίης μηδὲν ἐπιστάμενα;
ἡμετέροις πετάλοισι κατάσκιος οὐκέτι Ρώμη.
ῥίζα γὰρ ἐκλάσθη Θρηϊκίοις ἀνέμοις.

DCLXXXIII. a. Vulgo κατὰ θυμόν.

T.III.p.297.

## DCLXXXV.

Εἰς Νικόλαον Πατριάρχην Ἀλεξανδρείας.

Ὃς βασιλεῖς ἐδάμασσε, καὶ ἠνορέην κατέπαυσεν
ἀντιπάλων, πατέρων εἵνεκεν εὐνομίης,
οὗτος ὑπὸ σμικρῷ κατάκειται σήματι τῷδε,
ἀρχιερεὺς Χριστοῦ Νικόλεως γεγαώς.
ἀλλ' ἀρετὴ πολύολβος ἐπέπτατο πείρατα κόσμου,
καὶ ψυχὴ μακάρων ἀμφιπολεῖ θαλάμους.
τοίην γὰρ βιοτὴν ποθέεσκεν ἐὼν ἐπὶ γαίης,
σῶμα καλὸν πιέσας κυδαλίμοις καμάτοις.

p.298.

## DCLXXXVI.

Στήλην εὐνομίης, καὶ σωφροσύνης ἀνάθημα,
εἰκόνα Νικόλεω στήσατο Γρηγόριος.

## DCLXXXVII.

Οὐδὲ θανὼν κλέος ἐσθλὸν ἀπώλεσας ἐς χθόνα πᾶσαν,
ἀλλ' ἔτι σῆς ψυχῆς ἀγλαὰ πάντα μένει,
ὅσσ' ἔλαχές τ' ἔμαθές τε, φύσει μῆτιν πανάριστε·
τῷ ῥα καὶ ἐς μακάρων νῆσον ἔβης, Πυθέα.

## DCLXXXVIII.

Ἐνθάδε σῶμα λέλοιπεν Ἀπελλιανὸς μέγ' ἄριστος·
ψυχὴν δ' ἐν χείρεσσιν ἑὴν παρεκάτθετο Χριστῷ.

## DCLXXXIX.

Χθὼν μὲν ἔχει δέμας ἐσθλὸν, ἔχει κλυτὸν οὐρανὸς ἦτορ
Ἀνδρέω, ὃς Δαναοῖσι καὶ Ἰλλυριοῖσι δικάσσας,
οὐχ ὁσίων κτεάνων καθαρὰς ἐφυλάξατο χεῖρας.

## DCXC. T. III.

Πατέριον λιγύμυθον, ἐπήρατον, ἔλλαχε τύμβος,
Μιλτιάδου φίλον υἷα, καὶ Αττικίης βαρυτλήτου,
Κεκροπίης βλάστημα, κλυτὸν γένος Αἰακιδάων,
ἔμπλεον Αὐσονίων θεσμῶν, σοφίης τ' ἀναπάσης,
τῶν πισύρων τ' ἀρετῶν ἀμαρύγματα πάντα φέροντα,
ἠίθεον χαρίεντα, τὸν ἥρπασε μόρσιμος αἶσα,
οἷά περ ἀγλαόμορφον ἀπὸ χθονὸς ἔρνος ἀήτης,
εἰκοσικαιτέτρατον βιότου λυκάβαντα περῶντα.
λεῖψε φίλοις δὲ τοκεῦσι γόον καὶ πένθος ἄλαστον.

## DCXCI. p. 299.

Ξανθίππην Ακύλα μνήμῃ βιότου παρέδωκε,
  βωμῷ τιμήσας σεμνοτάτην ἄλοχον,
παρθένον ἧς ἀπέλυσε μίτρην, ἧς ὥριον ἄνθος
  ἔσχεν, ἐν ἡμιτελεῖ παυσάμενον θαλάμῳ.
τρεῖς γὰρ ἐπ' εἰκοσίοις τελέωσε βιοῦσ' ἐνιαυτοὺς,
  καὶ μετὰ τούσδ' ἔθανε τοῦτο λιποῦσα φάος.

## DCXCII.

Ηλυθες οὐκ ἄβbατος ἐνὶ τρισσαῖς δεκάδεσσιν,
  Θεύδοτε, τὰν ζώοις οἶμον ὀφειλομέναν,
καί σε τὸν ἐν σπονδαῖσι γεγαθότα πουλὺ μετ' ἀστῶν
  μάτηρ αἰάζει μυρομένα πρύτανιν.
πέτρος ὅδε ξείνοισι βοάσεται, ὡς ἀΐδαλος
  ἀσφαλὲς ἀνθρώποις οὐδὲν ἔνειμε Τύχα.
εἴης τοι σὺν πατρὶ κεχαρμένος, ὄφρ' ἂν ἐς αἰεὶ
  Σώστρατος ἐν φθιμένοις μυρίον αἶνον ἔχῃ.

DCXC. 1. Cod. λιγύθυμον.

T. III.

## DCXCIII.

Μή μου παρέλθῃς τοὐπίγραμμ᾽, ὁδοιπόρε,
ἀλλὰ σταθεὶς ἄκουε, καὶ μαθὼν ἄπει.
οὐκ ἔστ᾽ ἐν Αἴδου πλοῖον, οὐ πορθμεὺς Χάρων,
οὐκ Αἰακὸς κλειδοῦχος, οὐχὶ Κέρβερος·
ἡμεῖς δὲ πάντες οἱ κάτω τεθνηκότες
ὀστέα τέφρα τε γεγόναμεν, ἄλλο δ᾽ οὐδὲ ἕν.
εἴρηκα. δι᾽ ὀρθῆς ὕπαγε, ὦ ὁδοιπόρε,
μὴ καὶ τεθνηκὼς ἀδόλεσχός σοι φανῶ.

p. 300.

## DCXCIV.

Ἤμην στολάρχης Ποντικῶν νεῶν ἐγώ,
ἐξηρέτμοις πτέρυξιν ἐξηγαλμένων,
ἀνὰ στρατὸν Κρισπῖνος εὐκλεὴς ἀνήρ·
Ῥάβεννα δ᾽ ἦν μοι πατρὶς, ἀρχαία πόλις.
ἔγνως τίς ἤμην, καὶ τίνος γένους κυρῶ.
λοιπὸν φυλάσσου, μή τιν᾽ ἐνθήσῃς τάφῳ,
δίκην θ᾽ ὑφέξῃς παρανόμως τυμβωρυχῶν,
Φίσκῳ τε δώσῃς ** B καὶ τῇ πόλει ** A.

## DCXCV.

Πρωθήβην ἔτι κοῦρον, ἔτι χνοάοντος ἰούλου
 δευόμενον, φθονερὴ Μοῖρα καθεῖλε βίου,
πολλὰ σοφῆς χερὸς ἔργα λελοιπότα. βάσκανε δαῖμον,
 οἵας οὐχ ὁσίως ἐλπίδας ἐξέταμες.
ἀλλὰ σὺ, Γαῖα, πέλοις ἀγαθὴ κούφη τ᾽ Ἀκυλίνῳ,
 καὶ δὲ παρὰ πλευρὰς ἄνθεα λαρὰ φύοις,
ὅσσα κατ᾽ Ἀραβίους τε φέρεις, ὅσα τ᾽ ἐστὶ κατ᾽ Ἰνδοὺς,
 ὡς ἂν ἀπ᾽ εὐόδμου χρωτὸς ἴουσα δρόσος

ἀγγέλλῃ· τὸν παῖδα θεοῖς φίλον ἔνδοθι κεῖσθαι, T. III.
λοιβῆς καὶ θυέων ἄξιον, οὐχὶ γόων.
εἰκοσέτη τὸν παῖδα θοὴ κατενήρατο Μοῖρα,
κἆςιν ἐν εὐσεβέων ἦν διὰ σωφροσύνην.

## DCXCV.b

p. 335.

Ζήσας ὡς δεῖ ζῆν, ἀγαθὸς δ' ἐν ἅπασι νομισθεὶς,
ἤδ' ἀκμὴν νέος ὢν ᾤχετ' ἐς ἡμιθέους.

## DCXCVI.

p. 300.

Τὴν Διὸς ἀμφίπολόν με Χελιδόνα, τὴν ἐπὶ βωμοῖς
σπένδειν ἀθανάτων γρηῢν ἐπιςαμένην,
εὔτεκνον, ἀςονάχητον, ἔχει τάφος· οὐ γὰρ ἀμαυροὺς
δαίμονες ἡμετέρην ἔβλεπον εὐσεβίην.

## DCXCVII.

p. 301.

Τύμβον ὁρᾷς, παροδῖτα, περικλειτῆς Ροδογούνης,
ἥν κτάνεν οὐχ ὁσίως λάεσι δεινὸς ἀνήρ·
κλαῦσε δὲ καὶ τάρχυσε Λιβάνιος ἣν παράκοιτιν,
καὶ βαιὴν ςήλῃ τῇδ' ἀπέδωκε χάριν.

---

Ονομα τοπρίν με πᾶς ἔκλησεν Επαγαθώ·
νῦν δὲ Ροδογούνην Βασιλίδος τὸ ἐπώνυμον.

## DCXCVIII.

Τάφον τὸν ὄντα πλησίον, βωμόν θ' ἅμα
ἔτευξα κατὰ γῆς Κλαυδία, ἡ καὶ Δεχὰς,
Αθηνίωνι γλυκυτάτῳ καὶ φιλτάτῳ
ἀγόνῳ γενομένῳ συμβίῳ, μνήμης χάριν.

T. III.

## DCXCIX.

Εὐφρανθεὶς συνεχῶς, γελάσας, παίξας τε, τρυφήσας,
καὶ ψυχὴν ἱλαρῶς πάντων τέρψας ἐν ἀοιδαῖς,
οὐδένα λυπήσας, οὐ λοίδορα ῥήματα πέμψας,
ἀλλὰ φίλος Μουσῶν, Βρομίου, Παφίης τε βιώσας,
ἐξ Ἀσίης ἐλθὼν Ἰταλῇ χθονὶ ἐνθάδε κεῖμαι,
ἐν φθιμένοις νέος ὤν, τοὔνομα Μηνόφιλος.

## DCC.

Ὀστέα μὲν καὶ σάρκας ἐμὰς σπιλάδες διέχευαν
ὀξεῖαι, κρημνῶν ἅλμ᾽ ὑποδεξάμεναι·
ψυχὴ δ᾽ αἰθέριον κατέχει πόλον. ἀξυνέτων δὲ
βουλαῖς ἀνθρώπων τοῦδ᾽ ἔτυχεν θανάτου.

p. 302.

## DCCI.

Σῆμα τόδ᾽ Εὐδαίμων Διονυσίῳ, ὅν ῥ᾽ ἕταρον ὣς
φίλατο, καὶ Μούσαις ἔξοχα φιλαμένῳ.
εἰ καί μοι θυμὸς, Διονύσιε, τείρεται αἰνῶς
ἀμφί σοι, ἀλλ᾽ ἔμπης, οἷα πάρεστι, δέχου
ὕστατα δὴ, φίλε, δῶρα· τὰ δ᾽ ἄλλα τοι ὅσσα ἔοικε
καὶ πάρος Εὐδαίμων δῶκε, καὶ οἰχομένῳ.
ζωὸν μὲν μεθέηκεν ἐλεύθερον, οὐδὲ πάροιθεν
οὐ σύ γ᾽ ἐπειρήθης πώποτε δουλοσύνης.
ἦ γὰρ ἔης αὐτῷ κεχαρισμένος ἐξέτι παίδων,
ἤπιος, ἐσθλὸς ἰδεῖν, εὔνοος, ἀγχίνοος,
καρπαλίμως γράψαι σημήια διπλόα φωνῆς
Ἑλλάδος εὖ εἰδὼς ἠδὲ καὶ Αὐσονίων.

* * * * * *

## DCCII. T. III.

Πλείστην δὴ θνητῶν ἀρετὴν πατρὶ μητρί τε δείξας
  κεῖθ᾽ Ἡρακλείδης ὁ Φίλωνος Δήλιος ὧδε.

## DCCIII.

Κλαύσατε πάντες ἐμὸν γοερὸν μόρον οἱ παριόντες,
  στάντες ἐμῆς ὀλίγον πρόσθε λυγρῆς σποδιῆς·
κλαύσατε τὴν δύστηνον, ἐφ᾽ ᾗ μέγα πένθος ἔχουσι
  νυκτὶ καὶ ἠελίῳ δυσοκέες τοκέες,
ἧς ζυγὸν οὐκ εἶδον τὸ γαμήλιον, οὐδ᾽ ὑμέναιον
  ᾖσέ τις οἰνοχαρὴς πρόσθεν ἐμῶν θαλάμων.

## DCCIV.

Φλῶρος Καικιλίου Στάκτης θ᾽ ἅμα δεῦρ᾽ ὑπόκειται,
  ἐξ ἄλλου τύμβου δεύτερα κλαιόμενος,
ἓξ ἐτέων ὥρης, ὀλίγον δέμας, ἀλλὰ τέλειον p. 303.
  ὃς γενετῆρσι λίπεν ἡλικίης ἔλεον.
δεύτερα δ᾽ οὐκ ἄκλαυτον ἔχων τάφον· οὐδὲ γὰρ ἔνθα
  φείσαντο, προτέρων μνησάμενοι δακρύων.
δειλαίων τροφέων δειλαὶ χέρες, αἳ συνέλεξαν
  τὴν ὀλίγην σποδιὴν οὐκ ὀλίγης ὀδύνης.

## DCCV.

Ἄνθεα πολλὰ γένοιτο νεοδμήτῳ ἐπὶ τύμβῳ,
  μὴ βάτος αὐχμηρή, μὴ κακὸν αἰγίπυρον,
ἀλλ᾽ ἴα, καὶ σάμψυχα, καὶ ὑδατίνη νάρκισσος,
  Οὐίβιε, καὶ περί σου πάντα γένοιτο ῥόδα.

DCCIV. 7. In lapide κειναι χ. Fort. δειλαῖαι τροφέων κεῖναι χέρες, αἳ.

T. III.

## DCCVI.

Πυνθάνεαι τίς ἔφυν, ξένε, τίς τ' ἐγενήθην.
ὦ παροδῖτα, μάθε, ϛᾶς ὀλίγον πρὸ τάφων.
γεννᾷ μὲν Γλαῦκός με πατὴρ, τίκτει δ' ἐμὲ μήτηρ
Χρυσογόνη, καί μευ δύσμορος οὐκ ὄνατο.
Θηλόθι γὰρ πάτρης Βιθυνίδος ὤλεσα θυμὸν,
ναυτιλίῃ κρυερῇ νηΐ τ' ἐμῇ πίσυνος·
κεῖμαι δ' ἐν Σχερίῃ παρὰ θῖν' ἁλὸς ἠνεμόεσσαν,
ὕϛατα λυγρὸν ἐμοὶ δερκόμενος πέλαγος.

## DCCVII.

α Φράζε τίνας γονέος, σέο τ' οὔνομα, καὶ πόσιν αὔδα,
καὶ χρόνον εἰπὲ, γύναι, καὶ πόλεως ὅθεν εἶ.
β Νίκανδρος γενέτωρ, πατρὶς Πάρος, οὔνομα δ' ἦν μοι
Σωκρατέα· φθιμένην Παρμενίων δ' ἔθετο
σύλλεκτρος τύμβῳ με· χάριν δ' ἐμοὶ ὤπασε τήνδε,
εὐδόξου ζωᾶς μνῆμα καὶ ἐσσομένοις.
* p. 304. καί με πικρὰ νεαροῖο βρέφους ἀφύλακτος ἐρινὺς
αἱμορύτοιο νόσου τερπνὸν ἔλυσε βίον.
οὐδ' ὑπ' ἐμαῖς ὠδῖσι τὸ νήπιον ἐς φάος ἦγον,
ἀλλ' ὑπὸ γαϛρὶ φίλᾳ κεύθεται ἐν φθιμένοις.
τρισσᾶς ἐκ δεκάδος δὲ πρὸς ἓξ ἐτέων χρόνον ἦλθον,
ἀνδρὶ λιποῦσα τέκνων ἀρσενόπαιδα γονάν·
δισσὰ δὲ πατρὶ λιποῦσα καὶ ἱμερτῷ συνομεύνῳ,
αὐτὰ ὑπὸ τριτάτῳ τόνδε λέλογχα τόπον.
α ἀλλὰ σὺ παμβασίλεια θεὰ, πολυώνυμε Κούρα,
τήνδ' ἄγ' ἐπ' εὐσεβέων χῶρον, ἑλοῦσα χερός.
β τοῖς δὲ παρερχομένοισι θεὸς τέρψιν τινὰ δώῃ,
εἴπασιν χαίρειν Σωκρατέαν κατὰ γῆς.

## DCCVIII. T. III.

Δοιοὺς Ἱππομέδοντας ὁμοῦ χθὼν ἅδε καλύπτει,
  παῖδά τε, καὶ γενέταν, ἄμφω ἀποφθιμένους,
παῖδα μὲν ἐς λαιὰν ἐσιόντων χεῖρα τεθέντα,
  δεξιὰ δ' ἀντετάφη γηραιὸς Ἱππομέδων.
ἀμφοτέροις δ' ἐπέθηκε χυτὰν κόνιν Ἱπποδάμεια
  μάτηρ Ποικιλίου, ἐγγόνου ἀμφοτέρων,
ὅς σφισι τώσδε τάφους ἐπεχώσατο, τείχισε δ' Αἰδαν,
  πάππῳ καὶ θείῳ λοισθοτάτας χάριτας.

## DCCIX.

Νύμφαι Κρηναῖαί με συνήρπασαν ἐκ βιότοιο,
  καὶ τάχα που τιμῆς εἵνεκα τοῦτ' ἔπαθον,
νηπίη, οὐδὲ δυοῖν ἐτέοιν τέλος ἐξανύσασα,
  Φιλησίη τὴν κλῆσιν, Αὐσονὶς γένος.

## DCCX. a p. 305.

Λαίνεος στήλη με πέριξ ἔχει· ἐκ δ' ἐμὲ παστῶν
  νύμφην κἀκ θαλάμων ἥρπασ' ἄφνως Ἀΐδας
Πόλλαν, λυγρὰ γονεῦσι λιπὼν μνημήϊα τέκνου.

## DCCX. b Lect. p. 303.

Μοίρη καὶ Λήθη με κατήγαγον εἰς Ἀΐδαο,
οὔπω νυμφείου θαλάμου καὶ παστάδος ὥρης
γευσαμένην· ἀθιγὴς δ' ἔλιπον φάος ἠελίοιο.

## DCCX. c Lect. p. 303.

Τύμβος ὅδε κρύπτει κούρης σεμνῆς καὶ ἀμέμπτου
σῶμα κατοιχομένης περικαλλέος, ἧς ἐπιγείων
  παρθενικὴν ζώνην οὔ τις ἔλυσε βροτῶν.

DCCVIII. 7. Vulgo τ. ἐνεώσατο.

T.III.p.305.

## DCCXI.

Οὐχ ὁσίως ἥρπαξας ὑπὸ χθόνα, κοίρανε Πλουτεῦ,
πενταέτη νύμφην πᾶσιν ἀγαλλομένην.
οἷα γὰρ ἀρχομένου ῥόδον εὔπνοον εἴαρος ὥρῃ
ἐξέτεμες ῥίζης, πρὶν χρόνον ἐκτελέσαι.
ἀλλ' ἄγ' Ἀλέξανδρα, καὶ Φίλτατε, μηκέτ' ὀδυρμοὺς
ἱμερτῇ κούρῃ σπένδετε μυρόμενοι.
εἶχεν γὰρ χάριν, εἶχεν ἐπ' ἠϋχρόοισι προσώποις,
αἰθέρος ὥστε μένειν ἀθανάτοισι δόμοις.
τοῖς πάρος οὖν μύθοις πιστεύσατε. παῖδα γὰρ ἐσθλὴν
ἥρπασαν, ὥσπερ Ὕλαν, Ναΐδες, οὐ Θάνατος.

## DCCXII.

Ἄρτι με γευόμενον ζωᾶς βρέφος ἥρπασε δαίμων,
οὐκ οἶδ' εἴτ' ἀγαθῶν αἴτιος, εἴτε κακῶν.

## DCCXIII.

Ἀπλήρωτ' Ἀΐδα, τί με νήπιον ἥρπασας ἄφνω;
τί σπεύδεις; οὐ σοὶ πάντες ὀφειλόμεθα;

## DCCXIV.

Μυρί' ἀποφθιμένοιο τάφῳ περὶ τῷδε χυθεῖσα
παιδὸς Ἀλεξάνδρου μύρατο Καλλιόπα,
ὠκύμορον καὶ ἄτεκνον ἐπεὶ θέτο τάνδ' ὑπὸ γαῖαν,
ἑπτὰ καὶ εἰκοσέτους πνεῦμα λιπόντα βίου,
p. 306. ἴστορα παιδείας, τόξῳ κλυτὸν, ᾧ πόκα λῃστὰς
ἀνδροφόνους ἀλίαις κτεῖνεν ἐπὶ Στροφάσιν.
ἀλλ' ἴθι νῦν παροδῖτα, τὸν ἐκ χθονὸς Ἀλκινόοιο
ΧΑΙΡ' εἰπὼν, ἀγαθοῦ παῖδ' ἀγαθὸν Σατύρου.

DCCXII. 2. Vulgo αἴτιον.

DCCXV.

## DCCXV.

T. III.

Πωπιλίης τάφος ὗτος· ἀνὴρ δ' ἐμὸς αὐτὸν ἔτευξεν
Ὠκεανὸς, πάσης ἐμπέραμος σοφίης.
κϋφη τοιγὰρ ἐμοὶ πέλεται κόνις, ἐν δ' Ἀχέροντι
ὑμνήσω τὴν σὴν, ὦ ἄνερ, εὐσεβίην.
μέμνεο κὴν ζωοῖς ἐμέθεν, καὶ πολλάκι τύμβῳ
σπεῖσον ἀπὸ βλεφάρων δάκρυ ἀποιχομένῃ,
καὶ λέγε Πωπιλίην εὕδειν, ἄνερ· ὐ θεμιτὸν γὰρ
θνήσκειν τὺς ἀγαθὺς, ἀλλ' ὕπνον ἡδὺν ἔχειν.

## DCCXVI. a

Σῆμα τόδε γλυκερῆς Τελεσίλλας ἐνθάδ' ἔθηκεν
Εὐξενίδας, ἄλοχον τὴν ἔλλαχε πάντοτε πλήρη
πίστεος, εὐνοίης, ἀρετῆς, ἀγάπης τε, πέλοιτο
ὄφρα καὶ ἐσσομένοισιν ἐὸν κλέος ἄφθιτον αἰεί.

## DCCXVI. b

Lect. p. 304.

Τὴν σεμνῶς ζήσασαν, ἀμώμητόν τε σύνευνον,
Παυλῖναν φθιμένην ἐννέα καὶ δέκ' ἐτῶν
Ἀνδρόνικος ἰητρὸς ἀνὴρ, μνήμης ἀλεγίζων,
τήνδε πανυστατίην στήσατο μαρτυρίην.

## DCCXVII.

T. III. p. 30.

Τὴν κυανῶπιν Μῦσαν, ἀηδόνα τὴν μελίγηρυν,
λιτὸς ὅδ' ἐξαπίνης τύμβος ἄναυδον ἔχει,
καὶ κεῖται, λίθος ὥς, ἡ πάνσοφος, ἡ περίβωτος.
Μῦσα καλὴ, κϋφη σοὶ κόνις ἧδε πέλοι.

## DCCXVIII.

Τίς μυ τὴν Σειρῆν' ἄκακον κακὸς ἥρπασε δαίμων;
τίς μυ τὴν γλυκερὴν ἥρπασ' ἀηδονίδα;

T.III.p.307. νυκτὶ μιῇ ψυχραῖσιν ἄφαρ σταγόνεσσι λυθεῖσα
ὤλεο Μοῦσ', ἐτάκη δ' ὄμματ' ἐκεῖνα σέο,
καὶ στόμα πέφρακται τὸ χρύσεον· οὐδὲν ἔτ' ἔν σοι
λείψανον οὐκ εἴδους, οὐ σοφίης πέλεται.
ἔῤῥετε μέρμηραι θυμαλγέες. ἄμμοροι ἐσθλῆς
ἐλπίδος ἄνθρωποι· πάντα δ' ἄδηλα Τύχης.

DCCXIX.

Πραξιτέλους ἤνθουν λαοξόος οὔ τι χερείων,
ἐς δ' ἐτέων δισσὰς ἤλυθον ὀγδοάδας·
οὔνομα δ' Εὐτυχίδης ψευδώνυμον, ἀλλά με δαίμων
θῆκεν ἀφαρπάξας ὠκύτατ' εἰς Αΐδα.

DCCXX.

Κήρυξ καὶ τάφος εἰμὶ βροτοῦ πάρος ἀρχεχόροιο,
Εὐτύχου, αἰάζων Κῆρα μινυνθαδίην,
ὡς θνητοῖς ψυχὴν πείσασ' ἐπὶ σώμασιν ἐλθεῖν,
τὴν αὐτοῦ μελέεσσ' οὐκ ἀνέπεισε μένειν.

DCCXXI. a

Ἡ ποτε κυδιόωσα ξανθαῖς ἐπὶ κρατὸς ἐθείραις,
καὶ χαριτοβλεφάροις ὄμμασι λαμπομένη,
χιονέοις τε πρέπουσα προσώποις ἠδὲ παρειαῖς,
καὶ γλυκεροῦ στόματος ὄπα λειριόεσσαν ἱεῖσα
χείλεσι πορφυρέοις ἐλεφαντινέων δι' ὀδόντων,
παντοίην τ' ἀρετὴν περικαλλέϊ σώματι θεῖσα,
ἣν τέκεν Εὐτυχίδῃ σθεναρῷ Κιλικὶς χαριτῶπις,
εἰκοσιπενταέτις Τρυφέρα τῇδ' ἐν χθονὶ κεῖται·

DCCXX. 4. Lapis exhibet τ. α. μελεος. Fort. αὐτὴν τοῖς μελέοις. 3. Fort. ἡ θν.

DCCXXI. a 5. Fort. ἐλεφαντοχρόων.

Ερμερος δὲ Αρισομάχοιο πατρὸς καὶ μητέρ [ος ἐσθλῆς] T. III.
μνῆμ' ἀλόχῳ φιλίῃ θήκατο κυριδίῃ.

DCCXXI. b Leɑ̈t.p.302.

Μνῆμ' ἀρετῆς, μοίρης τὸ τέλος, φίλον ὄνομα, ΧΡΗΣΤΗ,
σωφροσύνης ἱερᾶς ἥτις μέγαν ἔσχεν ἔπαινον,
ἐνθάδε νῦν κατὰ γῆς σῶμ' ἀνέπαυσε πόνων,
τὴν συνετὸν ψυχὴν μακάρων εἰς ἀέρα δοῦσα,
πρόσθεν μὲν θνητή, νῦν δὲ θεῶν μέτοχος
αἰείμνηστος ἅπασι, φίλοισί τε καὶ τεκέεσσι.
τόνδε τάφον σοφίης ἕνεκεν κυδρῇ παράκοιτι
τεῦξε ΦΡΑΣΑΣ συνόμευνος, Αλεξάνδροιο πολίτης.
ἀλλ' ἄγ' εὐψύχει, κἀμὲ μένει τὸ θανεῖν.

DCCXXI. c Leɑ̈t.p.303.

Ηλικίῃ, μορφῇ, φρεσὶ, Μούσαις, σωφροσύνῃ τε
ἐν πᾶσιν πρέψασα κατὰ χθόνα, φῶς λίπες ἠοῦς,
κἄμ' ἔφυγες ποθέοντα, καὶ οὐκ ἐσάθρησας ἴουσα.
τοιγὰρ ἐγὼ τόδε σῆμα φίλοις σταθμοῖσιν ἔτευξα,
ὄφρα σε καὶ νέκυν οὖσαν ἐμοῖς μελάθροισιν ὁροίην,
οὔνομά μοι γλυκὺ, Μέσσι', ἀειμνήστη παράκοιτι.

DCCXXI. d Leɑ̈t.p.303.

Μίσιδι Δημοκράτης ἀλόχῳ περικαλλέϊ τεῦξε
τόνδε τάφον, μνήμης σωφροσύνης ἕνεκεν.

DCCXXI. a 9. Sic lapis h. v. exhibet. Scr. Ερμος Αρισομάχοιο πατρὸς καὶ μητέρος ἐσθλῆς.

DCCXXI. b 1. Lapis φίλον. 3. σῶμά γ' ἔπαυσε. 5. θνητήν. 6. α. ι. μνηςος. 7. κυδυη. 9. αγεντι ευψυχι.

T.III.p.308.

## DCCXXII.

Ἐνθάδε Διάλογος καθαρῷ πυρὶ γυῖα καθήρας,
 ἀσκητὴς σοφίης, ᾤχετ' ἐς ἀθανάτους.
ἐνθάδε Διαλόγοιο σαόφρονος ὀστέα κεύθει
 γυμνὰς, ὃς ἀμφ' ἀρετὴν ἔπλετο καὶ σοφίην.
ἀλλὰ τὰ μὲν κεύθει μικρὰ κόνις ἀμφιχυθεῖσα,
 ψυχὴν δ' ἐκ μελέων Οὐρανὸς εὐρὺς ἔχει.

## DCCXXIII.

Ἅδ' Ηρακλείδην κατέχει κόνις, ὃν βαρὺς Αιδας
 εἴρυσεν ἀϊθέων ἥλικος ἐξ ἀγέλας.
ἄρτι γὰρ εὐμόχθου ἐπὶ γυμνάδος ἀγγὸν ἐφήβου
 σχῆμα λαχὼν ἐρατὰν ὤλεσεν ἁλικίαν,
ἄρτι δ' ἀριθμὸν ἐτῶν ἓξ καὶ δέκα τερπνὸς ἀμείβων
 Σμερτομάρᾳ στυγερὸν ματρὶ λέλοιπε γόον.

## DCCXXIV.

Ρουφίνου τάφος οὗτος, ὃν Αστέριόν ποτ' ἐκλήζον,
ὃς προλιπὼν Ρώμης δάπεδον, Νείλου πόλιν ἐλθὼν,
καὶ προκοπαῖς λάμψας, πολλοῖσι δὲ πολλὰ παρασχὼν,
μηδένα λυπήσας, ἀλλ', εἰς τὸ δίκαιον ἀθρήσας,
Μοιρῶν οὐκ ἔφυγε τρισσῶν μίτον, ἀλλὰ νεκρωθεὶς
τὴν ψυχὴν ἀπέδωκεν ἐς ἀέρα, σῶμα δὲ πρὸς γῆν.
ἀλλὰ καὶ εὐσεβίης ἔσχε κρίσιν ἐν φθιμένοισι,
καὶ πάλιν εἶδε τὸ φῶς νεκρὸς ὢν, καὶ πόντον ἔπλευσε,
καὶ χώρης ἰδίης ἐπέβη· σὺν παισὶ δὲ κεῖται,
ὧν οὐκ εἶδε τέλος θανάτου, πρῶτος γὰρ ἔθνησκε.
ἡ δὲ τέκνων δισσῶν μήτηρ σέμν' ἠδὲ φίλανδρος
καὶ πέλαγος διέπλευσε, καὶ ἤγαγε σῶμα βυθοῖσι,

καὶ κάμάτους ὑπέμεινε, καὶ ἐν θρήνοις διέμεινε, T. III.
καὶ τύμβῳ κατέθηκε, καὶ αἰδῶιν παρέδωκε. p. 309.
Δαμοστρατείας ταῦτα τῆς φιλανδρίας.

## DCCXXV.

Μηνόφιλον τάφος οὗτος ἔχει, πολυπενθέα παῖδα,
ὃν Χαρίτων τρισσῶν πανεπήρατον εἶδος ἔχοντα
αἰνοτόκων γονέων φθόνος ἥρπασεν, ὃν καθορᾶτε
ὀκτὼ μοῦνον ἔτη βεβιωκότα, μησί τε πέντε.

## DCCXXVI.

Αἴδος ἀρχιερῆος ἀγακλυτοῦ υἱέα Μίθρου
Λούκιον, ἀθλοθετῆρα πάτρης Σμύρνης ἐρατεινῆς,
εὐγενίᾳ σοφίῃ τε κεκασμένον ἔξοχον ἀνδρῶν,
Αὐσόνιον δάπεδον, βωμός θ' ὅδε, σῆμά τε κρύπτει.

## DCCXXVII.

Εἴκοσί με ζήσαντα καὶ ἑπτὰ μόνους ἐνιαυτοὺς
Παυλῖνον γαίη δέξατο νερτερίη·
καί μοι ἀδελφειὴ κεῖται νέη ἐγγὺς Τγείη
ἑπταέτις· τῆς δ' ἦν οὐ τι γλυκειότερον.

## DCCXXVIII.

Η μάλα δὴ περὶ σεῖο λυγρὸν πότμον ἔκλυε πάτρα,
ἀλκίμη Αμφιλόχων γαῖα θρασυπτολέμων,
οὕνεκέν Ιλλυριοῖσιν ὑφ' ἱππομάχοισι δαμάσθης·
ὀςέα δ' ἐν νάσῳ τᾷδ' ἕταροι κτέρισαν.
καὶ σοῦ ἀποφθιμένου πιςοὶ φίλοι οὐκ ἐλάθοντο,
σῶμα δὲ φυλόπιδος ἐξέρυσαν ςυγερᾶς
Αμφίλοχοι θρασέων εὖ εἰδότες ἔργον ἀκόντων,
οἵ σε μέγ' ἀχνύμενοι συγγενῆ ἐκτέρισαν.

T.III.p.310. DCCXXIX.[a]

Μαρκέλλης τάφος εἰμί. τίς αὐτὴ γράμματα λέξει.
ἀρτίγαμος κούρη εἴκοσιν οὐδ᾽ ἐτέων.
αὐτὸς ὁ γεννήσας καὶ κηδεύσας ἐπέγραψεν,
ἄχθος ἔχων κραδίῃ πένθεος οὐκ ὀλίγου.

Lect.p.304. DCCXXIX.[b]

Εννεακαιδεκάμηνος ἐγὼ κεῖμαι παρὰ τύμβῳ,
ὃν ποίησε πατὴρ Πρόκλος, Συρίης ἀπὸ γαίης.
οὔνομα δ᾽ ἐστὶ Πρόκλῳ· γαίη πατρὶς, ᾗ παράκειμαι.

T.III.p.310. DCCXXX.

Λείψανα Λουκίλλης διδυματόκου ἐνθάδε κεῖται,
ἧς μεμέριστο βρέφη, ζωὸν πατρὶ, θάτερον αὐτῇ.

DCCXXXI.

Ψυχρὸν ὕδωρ δοίη σοι ἄναξ ἐνέρων Ἀϊδωνεὺς,
ὦ Μέλαν, ἥβης γάρ σοι ἀπώλετο φίλτατον ἄνθος.

DCCXXXII.

Η πολὺ Σειρήνων λιγυρωτέρη, ἡ παρὰ Βάκχῳ
καὶ θοίναις αὐτῆς χρυσοτέρη Κύπριδος,
ἡ λαλίη φαιδρή τε χελιδονὶς, ἐνθ᾽ Ὁμόνοια
κεῖμαι, Ἀτιμήτῳ δάκρυα λειπομένη,
τῷ πέλον ἀσπασίη βαιῆς ἄπο· τὴν δὲ τοσαύτην
δαίμων ἀπροϊδὴς ἐσκέδασε φιλίην.

DCCXXXIII.

Σώφρονα Κρησκεντῖναν ἔχων τάφος ἐνθάδε κεύθω,
τὴν πάσης ἀρετῆς κῦδος ἐνεγκαμένην,

ἥτις ἐνὶ ζωοῖσιν ὅκως ἀνέτελλεν Ἑῷος, T. III.
νῦν δύνει δ' ὑπὸ γῆν Ἕσπερος ἐν φθιμένοις.

DCCXXXIV.

Ἕβδομον εἰς δέκατόν τε βίου λυκάβαντα περῶντα p. 311.
Μοῖρά με πρὸς θαλάμους ἥρπασε Φερσεφόνας.
λαμπάδα γὰρ ζωᾶς με δραμεῖν μόνον ἤθελε δαίμων,
τὸν δὲ μακρὸν γήρως οὐκ ἐτίθει δόλιχον.
ἄρτι δ' ἐφηβείας θάλλων Διονύσιος ἀκμαῖς
καὶ σελίσιν Μουσῶν, ἤλυθον εἰς Ἀΐδαν.
ἀλλὰ πάτερ, μᾶτέρ τε, προλείπετε πικρὸν ὀδυρμόν.
τέρμα γὰρ εἰς με βίου Μοῖρ' ἐπέκρανε τόδε.

DCCXXXV.

Τὸν πινυτὸν κατὰ πάντα, καὶ ἔξοχον ἐν πολιήταις
ἀνέρα, γηραλέου τέρματ' ἔχοντα βίου,
Αΐδεω μυχίοιο μέλας ὑπεδέξατο κόλπος,
εὐσεβέων θ' ὁσίην εὔνασεν ἐς κλισίην·
μνῆμα δ' ἀποφθιμένοιο παρὰ τρηχεῖαν ἀταρπὸν
τοῦτο πάϊς κεδνῇ τεῦξε σὺν εὐνέτιδι.
ξεῖνε, σὺ δ' ἀείσας Δημοκλέος υἱέα χαίρειν,
Δημοκλέος στείχοις ἀβλαβὲς ἴχνος ἔχων.

DCCXXXVI.

Ὀκτωκαιδεκάτου με καταρχόμενον λυκάβαντος,
ἄρτι τε ῥητορικῆς ἔργα διδασκόμενον,
Λέσβῳ ἐν εὐδένδρῳ βαρυαλγὴς νοῦσος ἐδάμνα,
κοὐκέτ' ἐς ἱμερτὴν γαῖαν ἔβην Ἐφέσου.

DCCXXXIV. 8. Fort. Μοῖρ' ἐπέκλωσε.

T. III. αὐτοκασίγνητος δὲ καμὼν μάλα πολλὰ, τοκεῦσι
πένθος ἐπ' ὠκυάλου νηὸς ἔδωκε φέρειν.
ναίω δ' ἡρώων ἱερὸν δόμον, οὐδ' Ἀχέροντος.
τοῖον γὰρ βιότου τέρμα σοφοῖσιν ἔνι.

p. 312.

## DCCXXXVII.

Οὐκ ἔθανες, Πρώτη, μετέβης δ' ἐς ἀμείνονα χῶρον,
καὶ ναίεις μακάρων νήσους θαλίῃ ἐνὶ πολλῇ,
ἔνθα κατ' Ἠλυσίων πεδίων σκιρτῶσα γέγηθας
ἄνθεσιν ἐν μαλακοῖσι, κακῶν ἔκτοσθεν ἁπάντων·
οὐ χειμὼν λυπεῖ σ', οὐ καῦμ', οὐ νοῦσος ἐνοχλεῖ,
οὐ πείνη σ', οὐ δίψος ἔχει σ'· ἀλλ' οὐδὲ ποθεινὸς
ἀνθρώπων ἔτι σοὶ βίοτος. ζώεις γὰρ ἀμέμπτως
αὐγαῖς ἐν καθαραῖσιν Ὀλύμπου πλησίον ὄντος.

## DCCXXXVIII.

Τὸν σοφίῃ προὔχοντα, καὶ εὐτεχνίης ἀροτῆρα,
τὸν πατέρ' ἡμέτερον πολλοῖσι χρόνοις γεγαῶτα,
τὸν τρὶς ἀριστεύσαντα, σὺν ἐντίμοισι φίλοισιν
Εὐτόνιοι παῖδες πατέρ' Εὐτόνιον τεθνεῶτα
πολλάκις ὑμνήσωμεν ἐνὶ στήλαισι γραφέντα.

## DCCXXXIX.

Εἰκοσιὲξ λυκάβασιν ἐγὼ ζήσασα Σαβῖνα
καὶ μησὶν τέτρασιν, εἶθ' ἑνδέκατον πάλιν ἦμαρ,
τῇδε σορῷ κεῖμαι θυγατρὸς μέτα, ἥ με δίωξε
δειξαμένη στοργὴν φιλομήτορα δόγμασι Μοιρῶν.

DCCXXXVI. 6. Scr. φέρων.

T. III.

## DCCXL.

Υἱὸς ἐγὼ γενόμην Αγαπωμένυ, ᾧ με μιγεῖσα
  Κυῖντα τέκε θαλερὴ Ρηγίῳ ἐν διερῷ·
ἐνδυκέως δὲ τρέφοντες Ατίμητόν μ' ἐκάλεσσαν.
  δῶρα δὲ Μυσάων καὶ βρέφος ὢν ἀγάπων.
δωδεκέτης ἦλθον Ρώμην, φίλε, τῆς με καλύπτει
  ἥδε νέου βῶλος, πατρὶ λιπόντ' ἄχεα.

p. 313.

## DCCXLI.

Μήπω γευσάμενος ἥβης ὤλισθον ἐς Αιδυ,
δάκρυα καὶ ςοναχὰς λείψας αἰῶνι γονεῦσιν·
δύσμορος, ὐδ' ἐνόησα βροτῶν ψαῦσαι βιότοιο.
ἑπτὰ μόνοις λυκάβασι δύω καὶ μῆνας ἔζησα,
ὧν τρεῖς ἐξετέλυν Διονύσῳ ὄργια βάζων.
Ηρόφιλον δ' ἐκάλυν με πατὴρ καὶ πότνια μήτηρ.
ἔγνως, ὦ παροδῖτα, τίς ἤμην. ὐκ ἐγενήθην.

## DCCXLII.

Φλαβιανῷ ἥρωϊ πατὴρ Δῶρος τόδε σῆμα,
  ἓξ ἐπὶ τοῖς δέκ' ἔτη μῦνα βιωσαμένῳ.
Μοῖρα γὰρ Αἰολίδος πάτρης ἀπάνευθε Μυρίνης
  θάψε τε, καὶ Μυσῶν εὔνιν ἔθηκ' ἀρετῆς.

## DCCXLIII.

Στὰς ξένε, τᾷδ' ἄθρησον ἐπὶ ςάλᾳ Κλεοπάτραν,
  ἃν φθόνος εἰς Αΐδαν, ὐ χρόνος ἠγάγετο,

DCCXLI. 4. ap. Fabr. μόνυς λικαβανδας διῳ καὶ μ. ε. 7. Fort. ὧν τ' ἐγ.
DCCXLIII. 1. In lap. inciſ. τάνδ'.

T. III. μορφᾶς ἁ πρωτεῖον ἔχειν δωρήσατο Κύπρις,
ἔργα δ᾽ Ἀθαναία τερπνὰ σαοφροσύνας,
Μοῦσα δὲ καὶ σοφίαν, καὶ πακτίδα τὰν φιλέραστον
σύμφωνον ἐρατοῖς μιξαμένα μέλεσι·
καὶ γνοὺς ὡς θνατοῖς οὐδὲν γλυκερώτερον αὐγᾶς,
ζῆθι κάλον τείνας οὐρίῳ εὐφροσύνᾳ.

---

Εἰ καί σου κεύθει κάλλος νέον, ὦ Κλεοπάτρα,
τύμβος, καὶ φροῦδον σῶμα λέλογχε κόνις,
ἀλλ᾽ ἀρετὰ βιοτᾶς αἰὲν ζωοῖσι μέτεστι,
ψυχᾶς μανύουσ᾽ εὐκλέα σωφροσύναν.

p. 314.

## DCCXLIV.

Ἱστορίας δείξας, καὶ χερσὶν ἅπαντα λαλήσας,
ἔμπειρος Βρομίοιο σοφῆς ἱερῆς τε χορείας,
συμπάσχων κείνοισιν, ὅσων κινεῖτο προσώποις,
κοσμήσας πᾶσαν θυμέλην διδαχαῖς πολυδόξοις,
οὗτος ὁ παιδείας θαλερῆς ἐγκώμια λείψας,
κεῖται δὴ γήρᾳ βεβαρημένος. οὐκ ἔθανεν γὰρ,
ζώσης ἠϋχόροιο τέχνης ἀρεταῖσι μαθητῶν.

## DCCXLV.

α Τίς ἦν σ᾽ ὁ θρέψας; β ἦν Κίλιξ Ἀθηνίων
α χρηστὸν τὸ θρέμμα, τίς καλῇ; β Νουμήνιος.
α πόσων δὲ θνήσκεις τῶν ἐτῶν; β δὶς εἴκοσιν.
α ἐχρῆν σ᾽ ἔτι ζῆν. β ἀλλὰ καὶ θανεῖν ἐχρῆν.

DCCXLIII. 6. μειξαμένα. 7. ὡς θανάτοιο οὐδὲν γλυκερ. αὐτᾶς. 8. οὔριον εὐφροσύναν.

DCCXLIV. 3. In lap. κεινοις περ . . . . κεινειτο. 7. εὐχόροιο.

ᵃγενναῖος εἶ, ναί. χαῖρε. ᵝκαὶ σύ γ', ὦ ξένε. T. III.
σοὶ γὰρ χαρᾶς μέτεστιν· ἀλλ' ἡμῖν ἅλις.

DCCXLVI.

Ἦλθες ἐμῆς ζωῆς γλυκερώτερος, ὅς μ' ἀπέλυσας
νούσων, καὶ καμάτων, καὶ μογερᾶς ποδάγρας.

DCCXLVII.

Ὅστις, καὶ τίνος εἰμὶ τὰ πρόσθεν γράμματα φράζει·
ἀμφὶ δ' ἐμῆς μοίρης πᾶς ἐδάκρυσε λεώς·
οὕνεκεν οὐκ ἔφθην, χλαῖναν περὶ αὐχένι θέσθαι,
κώμῳ ἐν ἠγαθέῳ παυσάμενος βιότου.

DCCXLVIII. p. 315.

Ἀθάνατος μερόπων οὐδεὶς ἔφυ. τοῦδε Σεβῆρα,
Θησεύς, Αἰακίδαι μάρτυρές εἰσι λόγου.
αὐχῶ σώφρονα τύμβος ἐμαῖς λαγόνεσσι Σεβήραν
κούρην Στρυμονίου παιδὸς ἀμύμον' ἔχων,
οἵην οὐκ ἤνεικε πολὺς βίος, οὐδέ τις οὕτως
ἔσχε τάφος· χρηστὴν ἄλλος ὑφ' ἠελίῳ.

DCCXLIX.

Πολλὰ μεθ' ἡλικίας ὁμοήλικος ἡδέα παίσας,
ἐκ γαίας βλαστὼν, γαῖα πάλιν γέγονα·
εἰμὶ δ' Ἀριστοκλῆς Πειραιεὺς, παῖς δὲ Μένωνος.

DCCL.

Μνῆμα τόδ' ὑψιφανὲς Δηοῦς ταμίοιο δέδορκας
μυρίον ἐν σοφίῃ κῦδος ἐνεγκαμένου,
ὃς τελετὰς ἀνέφηνε καὶ ὄργια πάννυχα μύσταις
Εὐμόλπου, προχέων ἱμερόεσσαν ὄπα,

T. III. ὃς καὶ δυσμενέων μόθον ὢ τρέσεν, ἀλλ' ἐσάωσεν
ἄχραντ' ἀῤῥήτων θέσμια Κεκροπίδαις.
ἆ μάκαρ, ὃν καὶ δῆμος ἐπεστεφάνωσε γεραίρων,
* * * * * * *

## DCCLI.

Τόνδ' ἀρετῇ πρέχοντα νέων, φίλον ἀθανάτοισι,
μυσόπολον Φιλότιμον, ὁμώνυμον υἱέα πατρὶ,
Σύμφορος ἐσθλὸν ἑταῖρον ἀνέστησεν συνέφηβος,
πίστιν καὶ ζώοντι φέρων, μνήμην τε θανόντι.

p. 316.

## DCCLII. a

Μ. ΣΕΜΠΡΩΝΙΟΣ ΝΙΚΟΚΡΑΤΗΣ.
ἤμην ποτὲ μυσικὸς ἀνὴρ,
ποιητὴς καὶ κιθαριστὴς,
μάλιστα δὲ καὶ συνοδίτης.
πολλὰ βυθοῖσι καμὼν,
ὁδοιπορίης τ' ἀτονήσας,
ἔμπορος εὐμόρφων γενόμην,
φίλοι, μὲτέπειτα γυναικῶν.
πνεῦμα λαβὼν δάνος ὐρανόθεν,
τελέσας χρόνον, ἀνταπέδωκα·
καὶ μετὰ τὸν θάνατον
Μῦσαι τὸ σῶμά μυ κρατῦσιν.

Lect. p. 301.

## DCCLII. b

Τέρμα βίυ τελέσας πλεῖσ' αἰνετὸς ἐνθάδε κεῖμαι,
ἀσκήσας τραγικῆς εἶδος ὑποκρίσεως,

DCCLII. b In verſu 1. variant exempla. Verba πλεῖσ' αἰνετὸς ſunt ex em. Br. 2. Vulgo deeſt τραγικῆς.

ὀκτωκαίδεκ' ἔτη ζήσας Ἀσκληπιόδωρος,
Γῆς ὢν πρόσθε γένος μητέρα Γαῖαν ἔχω.

## DCCLIII.

T.III.p.316.

Μή μου ἐνυβρίσσῃς ἁγνὸν τάφον, ὦ παροδῖτα,
μή σοι μηνίσῃ πικρὸν ἔπ' Ἀγεσίλας,
Περσεφόνα τε κόρα Δαμάτερος· ἀλλὰ παρέρπων
εἰπὸν Ἀρατείῳ, ΓΑΙΑΝ ΕΧΟΙΣ ΕΛΑΦΡΑΝ.

## DCCLIV.

Ἱστορίοιο τάφος νεοπενθέος. ὦ τάφος, ὅσσην
συγκλείσας ἀρετῆς εὐκλείην κατέχεις.
οὐκ ἴδρις τραγικῆς μούσης, οὐκ εὔλυρος ἀνὴρ,
οὐκ ἐπέων ῥητὴρ ἄξια σεῖο φράσει,
οἷος ἔφυς πραπίδας, οἷος χρόα, οἷος ἰούλους,
ὅσσων θ'; ὡς πρέσβυς, κοῦρος ἐὼν κράτεες.
νύμφην δ', ἥν σοι ἐγὼ θεῖος τεὸς ἔτρεφον, οἵῳ
τλήμονα νυμφεύσων, ἥρπασε πρόσθ' Αΐδης·
οὐδὲ γάμων ὑμέναιον ἀείσαμεν· ἀλλ' ἄρα μούνῳ p. 317.
παρθενίην ἐρατὴν σῶσαθ' ἕως Ἀΐδου.

## DCCLV.

Τὴν τρίβον ὃς παράγεις, ἄν πως τόδε σῆμα νοήσῃς,
μὴ δέομαι γελάσῃς, εἰ κυνός ἐστι τάφος,
ἐκλαύσθην· χεῖρες δὲ κόνιν συνέθηκαν ἄνακτος,
ὅς μου καὶ στήλῃ τόνδ' ἐχάραξε λόγον.

## DCCLVI.

Τῇδε τὸν ἐκ Μελίτης ἀργὸν κύνα φησὶν ὁ πέτρος
ἴσχειν, Εὐμήλου πιστότατον φύλακα.

T. III. Ταῦρόν μιν καλέεσκον, ὅτ' ἦν ἔτι· νῦν δὲ τὸ κείνου
φθέγμα σιωπηραὶ νυκτὸς ἔχουσιν ὁδοί.

p. 318.

# ΑΙΝΙΓΜΑΤΑ.

## I.

Περὶ Ἀπόλλωνος Δηλίου.

Ἐν φανερᾷ γενόμην, πάτρην δ' ἐμοῦ ἁλμυρὸν ὕδωρ
ἀμφὶς ἔχει· μήτηρ δ' ἔς' ἀριθμοῖο πάϊς.

## II.

Εἰς λινοῦν χειρόμακτρον.

Ξανθὴ μέν τις ἐγὼν ἤμην πάρος, ἀλλὰ κοπεῖσα
γίνομαι ἀργεννῆς λευκοτέρη χιόνος·
χαίρω δὲ γλυκερῷ τε καὶ ἰχθυόεντι λοετρῷ,
πρώτη δαιτυμόνων εἰς χορὸν ἐρχομένη.

## III.

Εἰς κινάραν.

Ἐγκέφαλον φορέω κεφαλῆς ἄτερ· εἰμὶ δὲ χλωρὴ
αὐχένος ἐκ δολιχοῦ γῆθεν ἀειρομένη.
σφαίρῃ δ' ὡς ὑπὲρ αὐλὸν ἐείδομαι· ἢν δὲ ματεύσῃς
ἔνδον ἐμῶν λαγόνων, μητρὸς ἔχω πατέρα.

## IV.

Εἰς Πύῤῥον.

Εἰ πυρὸς αἰθομένου μέσσην ἑκατοντάδα θείης,
παρθένου εὑρήσεις υἱέα καὶ φονέα.

## V.

T.III.p 319.

Εἰς κλυςῆρα.

Μούνῳ μοὶ θέμις ἐςὶ γυναικῶν ἐν φιλότητι
μίσγεσθαι φανερῶς, λισσομένων πόσιων.
μοῦνος δ' ἠϊθέοισι, καὶ ἀνδράσιν ἠδὲ γέρουσιν,
παρθενικαῖς τ' ἐπέβην ἀχνυμένων τοκέων.
μαχλοσύνην ἤχθηρα· φιλεῖ δ' ἐμὲ παιονίη χεὶρ,
Αμφιτρυωνιάδην ἐκτελέοντα πόνον.
ἀμφὶ δ' ὀπυιομένοισι καὶ ἂν Πλουτῆϊ μαχοίμην
αἰὲν ὑπὲρ ψυχῆς τῶν ὁπόσοις ἐμίγην.
εὔρινον δ' ἐμὲ παῖδα καὶ ἀργιόδοντα τίθησιν
ἱδρείῃ μερόπων αἰγὶ μιγεὶς ἐλέφας.

## VI.

Εἰς λύχνον.

Ηφαίςῳ ποτὲ Παλλὰς ἐν ἀγκοίνῃσι μιγεῖσα
εἰς εὐνὴν ἐκλίθη Πηλέος ἐν θαλάμοις·
τοὶ δ' ὡς οὖν λιπαρῇσι καλυφθήτην ὀθόνῃσιν,
αὐτίκ' ἐγεννήθη νυκτιπόλος Φαέθων.

## VII.

Εἰς σικύαν.

Κἀμὲ σοφὴ ποίησε τέχνη Παιήονος ἔμπνουν
πῦρ ὑπὸ χαλκελάτοις χείλεσι κευθομένην·
δειλῶν δ' αἷμα κελαινὸν ἀπ' ἀνθρώπων ἐρύουσα,
Ηφαιςον κτείνω γαςρὶ περιεχομένη.

V. 4. Scr. ἀρνυμένων.
VI. 2. Cod. εὐνὴν ἐμίγη.

T. III. p. 320.

## VIII.

Εἰς τὸ αὐτό.

Ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα,
οὕτω συγκόλλως, ὥστε σύναιμα ποιεῖν.

## IX.

Εἰς ὕπνον.

Οὐ θνητὸς, οὐδ' ἀθάνατος, ἀλλ' ἔχων τινὰ
σύγκρασιν, ὥστε μήτ' ἐν ἀνθρώπου μέρει
μήτ' ἐν θεοῦ ζῆν· ἀλλὰ φύεσθαί τ' ἀεὶ
καινῶς, φθίνειν τε τὴν παρουσίαν πάλιν.
ἀόρατος ὄψιν, γνώριμος δ' ἅπασιν ὤν.

## X.

Εἰς πρωκτόν.

Ἔστι λαλῶν ἄγλωσσος, ὁμώνυμος ἄῤῥενι θῆλυς,
οἰκείων ἀνέμων ταμίας, δασὺς, ἄλλοτε λεῖος,
ἀξύνετα ξυνετοῖσι λέγων, νόμον ἐκ νόμου ἕλκων·
ἓν δ' ἐστὶν καὶ πολλὰ, καὶ, ἂν τρώσῃ τις, ἄτρωτος.

## XI.

Εἰς πάππον ἀκάνθης.

Οἶδ' ἐγὼ, ὃς νέος ὢν ἐστὶν βαρύς· ἂν δὲ γέρων ᾖ,
ἄπτερος ὢν κούφως πέταται, καὶ γῆν ἀφανίζει.

p. 321.

## XII.

Εἰς αὐλητὴν δυσὶν αὐλοῖς αὐλοῦντα.

Εἷς ἄνεμος, δύο νῆες, ἐρέττουσι δέκα ναῦται·
εἷς δὲ κυβερνήτης ἀμφοτέρας ἐλάει.

XIII.

## XIII. T.III.

### Εἰς ἐπιστολήν.

Ἔστι φύσις θήλεια βρέφη σώζουσ᾽ ὑπὸ κόλποις
αὐτῆς· ταῦτα δ᾽ ἄφωνα βοὴν ἵστησι γεγωνὸν
καὶ διὰ πόντιον οἶδμα, καὶ ἠπείρου διὰ πάσης,
οἷς ἐθέλει θνητῶν· τοῖς δ᾽ οὐ παρέουσιν ἀκούειν
ἔξεστι, κωφὴν τ᾽ ἀκοῆς αἴσθησιν ἔχουσιν.

## XIV.

### Περὶ τῆς σκιᾶς.

Τῆς φύσεως ὅσα γαῖα φέρει τροφὸς, οὐδ᾽ ὅσα πόντος,
οὔτε βροτοῖσιν ἔχει γυίων αὔξησιν ὁμοίαν.
ἀλλ᾽ ἐν μὲν γενέσει πρωτοσπόρῳ ἐστὶ μεγίστη·
ἐν δὲ μέσαις ἀκμαῖς μικρά· γήρᾳ δὲ πρὸς αὐτοῖς
μορφῇ καὶ μεγέθει μείζων πάλιν ἐστὶν ἁπάντων.

## XV.

### Τῆς Σφιγγὸς αἴνιγμα.

Ἔστι δίπουν ἐπὶ γῆς, καὶ τετράπον, οὗ μία φωνὴ,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ᾽ ἐπὶ γαῖαν
ἑρπετὰ κινεῖται, ἀνά τ᾽ αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ᾽ ὁπόταν πλείστοισιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα μένος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

### Λύσις τοῦ αἰνίγματος. p. 322.

Κλῦθι, καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης σὸν τέλος ἀμπλακίης.
ἄνθρωπον κατέλεξας, ὃς, ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων·
γηραλέος δὲ πέλων, τρίτατον πόδα, βάκτρον ἐρείδει,
αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

T. III.

## XVI.

Εἰς τὴν Ἀργώ.

Υἷας πεντήκοντα μιῇ ἐνὶ γαστρὶ λαβοῦσα
λῃστήρων πάντων ἔκτανον ἡγεμόνα.
αὐτὰρ ὁ δὶς τέθνηκεν, ἐπεὶ δύο γαστέρες αὐτὸν
τίκτον, χαλκείη, καὶ πάρος ἀνδρομέη.

## XVII.

Εἰς καπνόν.

Εἰμὶ πατρὸς λευκοῖο μέλαν τέκος, ἄπτερος ὄρνις,
ἄχρι καὶ οὐρανίων ἱπτάμενος νεφελῶν·
κούραις δ' ἀντομέναισιν ἀπενθέα δάκρυα τίκτω·
εὐθὺ δὲ γεννηθεὶς λύομαι εἰς ἀέρα.

## XVIII.

Εἰς οἶνον.

Ἦν ὅτε σὺν Λαπίθῃσι καὶ ἀλκίμῳ Ἡρακλῆϊ
Κενταύρους διφυεῖς ὤλεσα μαρνάμενος.
ἦν ὅτε μουνογένεια κόρη θάνεν ἐν τρισὶ πληγαῖς
ἡμετέραις, Κρονίδην δ' ἤκαχον εἰνάλιον.
p. 323. νῦν δὲ νέμων πύρινόν με τρισὶ Νύμφαισι μιγῆναι,
δέρκεαι ὑελίνῳ κείμενον ἐν δαπέδῳ.

## XIX.

Εἰς κάτοπτρον.

Ἂν μ' ἐσίδῃς, καὶ ἐγώ σε. τί με βλεφάροισι δέδορκας;
ἀλλ' ἐγὼ οὐ βλεφάροις· οὐ γὰρ ἔχω βλέφαρα.

XVI. 2. Cod. μὴ λῃστῶν πάντων.

XVIII. 5. Vulgo νῦν δὲ νέμουσα τρίτη πυρινοῖς νύμφαισι μιγέντα δέρκετο. Melius haec emendavit Rittersh. νῦν δ' ἐμὲ Μοῦσα τρίτη πυρίναις N. μιγέντα δέρκεται.

ἂν δ' ἐθέλῃς, λαλέω φωνῆς δίχα. σοὶ γὰρ ὑπάρχει T. III.
  φωνή· ἐμοὶ δὲ μάτην χείλε' ἀνοιγόμενα.

## XX.

Εἰς φοινικοβάλανον.

Οὔνομα μητρὸς ἔχω· γλυκερώτερος εἰμὶ τεκούσης.
  ἀλλ' ἡ μὲν δολιχή, τυτθὸς ἐγὼ δὲ πέλω.
ἄβρωτος κείνη, πλὴν κράατος· εἰμὶ δ' ἔγωγε
  τρωκτὸς ἅπας, μοῦνα δ' ἔντερ' ἄβρωτα φέρω.

## XXI.

Εἰς δέλτον.

Ὕλη μέν μ' ἔτεκεν, ἀνεκαινούργει δὲ σίδηρος·
  εἰμὶ δὲ Μουσάων μυστικὸν ἐκδόχιον,
κλειομένη σιγῶ· λαλέω δ', ὅταν ἐκπετάσῃς με,
  κοινωνὸν τὸν Ἄρη μοῦνον ἔχουσα λόγων.

## XXII.

Εἰς μάλθην.

Εἰμὶ μέλας, λευκός, ξανθός, ξηρός τε καὶ ὑγρός·
εὖτε δὲ θυρατέων πεδίων ὕπερ ἐκτανύσῃς με,
  Ἀρεῖ καὶ παλάμῃ φθέγγομαι οὐ λαλέων.

## XXIII. p. 324.

Εἰς σφαῖραν.

Λίην ἔντριχός εἰμι· τὰ φύλλα δ' ἐμοῦ κατακρύπτει
  τὰς τρίχας· ἡ δὲ τρύπη φαίνεται οὐδαμόθεν.
πολλοῖς παιδαρίοις ἐμπαίζομαι· εἰ δέ τις ἐστὶν
  εἰς τὸ βαλεῖν ἀφυής, ἵσταται ὥσπερ ὄνος.

XXI. 1. Vulgo με τέκεν ἐκαινούργει.

T. III.

## XXIV.

Ἀνδρ' ἐμὸν ἔκταν' ἑκυρὸς, ἑκυρὸν δ' ἔκτανεν ἀνὴρ,
καὶ δαὴρ ἑκυρὸν, καὶ ἑκυρὸς γενέτην.

## XXV.

Λέβητας ἔγνων μὴ σιωπᾷν εἰδότας,
πλὴν ἄρτια τὸν χαλκὸν ἠχεῖν προτρέπειν,
ἀντικτυποῦντος τοῦ πρώτου τῷ δευτέρῳ,
καὶ μεταδιδόντος τοῦ τετάρτου τῷ τρίτῳ.
ἐὰν δὲ τὸ κινοῦν ἠρεμῇ καὶ μὴ πνέῃ,
ἄφωνος ὁ λέβης· τῇ φύσει γὰρ οὐ λάλος.
τῶν σῶν δὲ λεβήτων ἡ φύσις μὲν εὔστομος·
σοὶ δ' εὐτυχοῦσα γίνετ' εὐστομωτέρα,
σιγῶσ' ὅτε χρὴ, καὶ λαλοῦσ' ὅταν δέῃ.

## XXVI.

Νῆσος ὅλη, μύκημα βοὸς, φωνή τε δανειστοῦ.

## XXVII.

Εἶδον ἐγὼ ποτὲ θῆρα δι' ὕλης τμητοσιδήρου
ὕπτιον ὀρθὰ τρέχοντα, ποσὶν δ' οὐχ ἥπτετο γαίης.

p. 325.

## XXVIII.

Μὴ λέγε, δὲ λέξεις ἐμὸν οὔνομα, δεῖ δέ σε λέξαι
οὐδὲ πάλιν, μέγα θαῦμα, λέγων ἐμὸν οὔνομα λέξεις.

## XXIX.

Νηρέος ὄντα με παῖδα φέρει γαιήϊος υἱὸς,
τὸν Στυγὸς ἱμερτοῖς νάμασι δυόμενον.

## XXX.

Παρθένον ἐν πελάγει ζητῶν τὴν πρόσθε λέοντα
τηθὴν εὑρήσεις παιδοφόνου Ἑκάβης.

T. III.

## XXXI.

Κριὸν ἔχω γενετῆρα, τέκεν δ' ἐμὲ τῶδε χελώνη·
τικτομένη δ' ἄμφω πέφνον ἐμοὺς γονέας.

## XXXII.

Ἐξ ἁλὸς ἰχθυόεν γένος ἔλλαχον· εἷς δέ μ' ἄεθλος
εἰς Διονυσιακοὺς οἶδεν ἀγῶνας ἄγειν·
καὶ δέμας ἐν σαδίοισιν ἀλειψάμενος λίπ' ἐλαίῳ
υἱέα μὲν Δηοῦς ὤλεσα χερσὶν ἐμαῖς·
δεύτερον αὖτε Γίγαντας ἀολλέας ἄλλοθεν ἄλλος
ἐκπέμπω πολλαῖς χείρεσιν ἑλκομένους.

## XXXIII.

Οἴνου τὴν ἑτέρην γράφε μητέρα, καὶ θὲς ἐπ' ἄρθρῳ
ἄρθρον, καὶ πάτρην πατρὸς ἄκοιτιν ὁρᾷς.

## XXXIV.

p. 326.

Κτανθεὶς τὸν κτείναντα κατέκτανον· ἀλλ' ὁ μὲν οὐδ' ὣς
ἤλυθεν εἰς Ἀΐδην· αὐτὰρ ἔγωγ' ἔθανον.

## XXXV.

Πικρή μοι ζωὴ, θάνατος γλυκὺς, ὕδατα δ' ἄμφι
θνήσκω ἀναιμάκτοις ἔγχεσι νυσσόμενος·
ἢν δέ τις ἐν ζώοντι νέκυν τύμβῳ με καλύψῃ,
αἵματι συγγενέων πρῶτον ἀποβρέχομαι.

## XXXVI.

Νῆσόν τις καλέων μ' οὐ ψεύσεται· ὣς ἐτεὸν γὰρ
πολλοὺς ἐς κελάδους οὔνομ' ἔθηκεν ἐμόν.

T. III.

## XXXVII.

Εἰς ἐλαίαν.

Παλλάδος εἰμὶ φίλη, τίκτω δ' ἀπερείσια τέκνα,
ἃ κατὰ πετράων ἄνδρες βάλον· ὀλλυμένων δὲ
Πηλείδης φάος ἔσχε, βροτῶν ἄκος, ἕρκος ἀγώνων.

## XXXVIII.

Παρθένος εἰμὶ γυνὴ, καὶ παρθένου εἰμὶ γυναικός,
καὶ κατ' ἔτος τίκτω παρθένον οὖσα γυνή.

Lect. p. 308.

## XXXIX.

Εὐνοῦχος στραβὸς ὢν νυκτερίδα ἐπὶ νάρθηκος καθημένην κισσήρει βάλλει καὶ ἀστοχεῖ.

Αἶνός τις ἔστιν, ὡς ἀνήρ τε κοὐκ ἀνὴρ
ὄρνιθα κοὐκ ὄρνιθ' ἰδών τε κοὐκ ἰδὼν
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
λίθῳ τε κοὐ λίθῳ βάλεν τε κοὐ βάλε.

# INDEX.

Numerus Romanus Tomum; Arabicus paginam huius editionis indicat.


| | | |
|---|---|---|
| Ablabius | III. | 156 |
| Aceratus | II. | 174 |
| Addaeus | II. | 224 |
| Admetus | III. | 21 |
| Aemilianus | II. | 251 |
| Aenigmata | IV. | 286 |
| Aeſchines | I. | 110 |
| Aeſchrio | I. | 120 |
| Aeſchylus | I. | 81 |
| Aeſopus | I. | 52 |
| Agathias | IV. | 3 |
| Agis | I. | 118 |
| Alcaeus Meſſenius | I. | 237 |
| Alexander | I. | 207 |
| Alpheus | II. | 115 |
| Ammianus | III. | 93 |
| Ammonius | III. | 154 |
| Anacreon | I. | 54 |
| Andronicus | III. | 108 |
| Antagoras | I. | 191 |
| Antigonus | II. | 227 |
| Antimachus | I. | 100 |
| Antiochus | III. | 18 |
| Antipater Sidonius | II. | 5 |
| Antipater Theſſalonicenſis | II. | 95 |
| Antiphanes | II. | 187 |
| Antiphilus | II. | 154 |
| Antiſtius | II. | 259 |
| Antonius | II. | 223 |
| Anyte | I. | 130 |
| Apollinarius | II. | 258 |
| Apollonidas | II. | 118 |
| Apollonius | III. | 67 |
| Arabius | III. | 79 |
| Aratus | I. | 186 |
| Arceſilaus | II. | 61 |
| Archelaus | II. | 57 |
| Archias | II. | 80 |
| Archilochus | I. | 40 |

Archimelus II. 62
M. Argentarius II. 242
Arion I. 48
Ariphron I. 92
Ariſto II. 234
Ariſtocles II. 95
Ariſtodicus II. 236
Ariſtoteles I. 110
Artemidorus I. 194
Artemo II. 66
Aſclepiades I. 144
Aſclepiodotus III. 193
Aſinius Quadratus III. 13
Aſtydamas I. 93
Athenaeus II. 233
In Athletarum ſtatuas III. 238
Automedon II. 190

Bacchylides I. 82
Ioannes Barbucallus III. 232
Lollius Baſſus II. 147
Bianor II. 141
Bias I. 87
Boëthus II. 114
In monumenta Byzantina IV. 101
Callias II. 3
Callicter III. 8
Callimachus I. 212
Calliſtratus I. 88
Capito II. 183
Carphylides III. 109
Cerealis III. 55
Chaeremon II. 56
Choerilus I. 117
Chriſtodorus III. 161
Claudianus III. 153
Cleobulus I. 52
Cometas III. 236
Coſmas Monachus IV. 96
Crates Thebanus I. 118
Crates Grammaticus II. 3
Crinagoras II. 127
Cyllenius II. 257
Cyrillus III. 194
Cyrus III. 159

Damagetas II. 89
Damaſcius III. 179
Damocharis IV. 89
Damoſtratus II. 235
Daphitas II. 39
Demetrius II. 64
Democritus II. 237
Demodocus II. 56
Diocles II. 167
Diodorus Zonas II. 67

| | | | | | |
|---|---|---|---|---|---|
| Diodorus Iunior | II. | 170 | Fronto | III. | 56 |
| DiogenesEpiſcopus | III. | 194 | | | |
| Dionyſius | II. | 203 | Gabriel | III. | 228 |
| Diophanes | II. | 236 | Cn. Lentulus Gaetulicus | II. | 151 |
| Diophantus | III. | 20 | | | |
| Dioſcorides | I. | 294 | Aelius Gallus | II. | 93 |
| Diotimus | I. | 183 | Gauradas | III. | 147 |
| Dorieus | II. | 62 | Tullius Geminus | II. | 254 |
| Doſiadas | I. | 202 | Germanicus | II. | 146 |
| Duris | II. | 59 | Glaucus | III. | 57 |
| | | | Glyco | II. | 254 |
| Empedocles | I. | 95 | | | |
| Epigonus | III. | 19 | Hadrianus | II. | 285 |
| Eratoſthenes Cyrenaeus | I. | 227 | Hedylus | I. | 233 |
| | | | Hegeſippus | I. | 187 |
| Eratoſthenes Scholaſticus | IV. | 93 | Heliodorus | III. | 20 |
| | | | Helladius | III. | 145 |
| Erinne | I. | 50 | Heraclides | II. | 237 |
| Erycius | III. | 9 | Hermocreon | II. | 229 |
| Etruſcus | III. | 20 | Hermodorus | I. | 193 |
| Euclides | I. | 101 | Herodes Atticus | III. | 14 |
| Evenus | I. | 96 | Herodicus | II. | 64 |
| Eugenes | III. | 158 | Hippias | II. | 57 |
| Euodus | II. | 263 | Hippo | I. | 102 |
| Euphorion | I. | 189 | Hybrias | I. | 92 |
| Eupithius | III. | 110 | Hymnus in Apollinem | III. | 218 |
| Euripides | I. | 96 | | | |
| Eutolmius | III. | 229 | Hymnus in Bacchum | III. | 217 |
| Statilius Flaccus | II. | 238 | | | |

| | | |
|---|---|---|
| Incertorum poëtarum carmina | IV. | 118 |
| Ion | I. | 93 |
| Irenaeus | III. | 231 |
| Iſidorus Aegeates | III. | 177 |
| Iſidorus Scholaſticus | III. | 179 |
| Iulianus Imp. | III. | 111 |
| Iulianus Aegypt. | III. | 195 |
| Iulianus Anteceſſor | III. | 230 |
| Tullius Laurea | II. | 90 |
| Leo Philoſophus | IV. | 97 |
| Leonidas Tarentinus | I. | 153 |
| Leonidas Alexandrinus | II. | 174 |
| Leontius | IV. | 73 |
| Libanius | III. | 112 |
| Corn. Longinus | II. | 184 |
| Lucianus | III. | 21 |
| Lucillius | III. | 29 |
| Macedonius | IV. | 81 |
| Q. Maecius | II. | 220 |
| Magnus | III. | 18 |
| Marcellus | III. | 15 |
| Marianus | III. | 211 |
| Marinus | III. | 153 |
| Meleager | I. | 1 |
| Menander. | I. | 136 |
| Menecrates | I. | 227 |
| Menſes Aegyptiorum | III. | 211 |
| Menſes Romanorum | III. | 219 |
| Meſomedes | III. | 6 |
| Metrodorus | III. | 180 |
| Michaël | IV. | 94 |
| Mnaſalcas | I. | 123 |
| Moſchus | I. | 201 |
| Mucius Scaevola | II. | 241 |
| Munatius | II. | 224 |
| Muſarum Imagines | III. | 220 |
| Myrinus | II. | 93 |
| Myro | I. | 134 |
| Neſtor | III. | 54 |
| Nicaenetus | I. | 205 |
| Nicander | II. | 2 |
| Nicarchus | III. | 58 |
| Nicias | I. | 181 |
| Nicomachus | II. | 258 |
| Nicomedes | III. | 91 |
| Nilus | III. | 235 |
| Noſſis | I. | 127 |
| Numenius | III. | 56 |
| Oenomaus | III. | 110 |
| Oneſtes | III. | 3 |

| | | | | | |
|---|---|---|---|---|---|
| Orpheus | III. | 228 | Piſo | II. | 95 |
| | | | Pittacus | I. | 87 |
| Palladas | III. | 114 | Plato Philoſophus | I. | 102 |
| Pamphilus | I. | 190 | Plato iunior | I. | 109 |
| Pancrates | I. | 191 | Polemo | I. | 169 |
| Panteleus | III. | 112 | Pollianus | III. | 146 |
| Parmenion | II. | 184 | Iulius Polyaenus | II. | 262 |
| Parrhaſius | II. | 60 | Polyſtratus | II. | 1 |
| Paulus Silentiarius | IV. | 41 | Pompeius | II. | 98 |
| Perſes | II. | 3 | Poſidippus | II. | 46 |
| Phaedimus | I. | 192 | Praxilla | I. | 90 |
| Phaënnus | I. | 190 | Problemata arithmetica | III. | 181 |
| Phalaecus | I. | 210 | | | |
| Phanias | II. | 53 | Proclus | III. | 148 |
| Phanocles | I. | 204 | Michaël Pſellus | IV. | 97 |
| Philemon | II. | 60 | Ptolemaeus | II. | 65 |
| Philetas | I. | 121 | Pytheas | II. | 227 |
| Philiadas | I. | 80 | | | |
| Philippus Rex | I. | 243 | Quintus Smyrnaeus | II. | 179 |
| Philippus Theſſalonicenſis | II. | 194 | Rhianus | I. | 229 |
| Philiſcus | I. | 101 | Rufinus | III. | 98 |
| Philo | III. | 110 | Rufus | III. | 193 |
| Philodemus | II. | 70 | | | |
| Philoſtratus | III. | 108 | Sabinus | III. | 18 |
| Philoxenus | II. | 58 | Samius | I. | 236 |
| Phocylides | I. | 53 | Sappho | I. | 49 |
| Pindarus | I. | 81 | Satyrius Thyillus | II. | 252 |
| Pinytus | II. | 264 | Scolia | I. | 87 |
| Piſander | I. | 49 | Scythinus | II. | 91 |

| | | | | | |
|---|---|---|---|---|---|
| Secundus | III. | 226 | Theodoretus | III. | 156 |
| Seleucus | I. | 258 | Theodoridas | II. | 42 |
| Serapio | III. | 5 | Theodorus | III. | 227 |
| Simmias Thebanus | I. | 100 | Theoſebia | III. | 156 |
| Simmias Rhodius | I. | 136 | Thomas Patricius | IV. | 94 |
| Simonides | I. | 57 | Thomas Scholaſticus | IV. | 95 |
| Solon | I. | 51 | Thucydides | I. | 102 |
| Sophocles | I. | 95 | Thymocles | II. | 235 |
| Sophronius | IV. | 95 | Tiberius Illuſtris | III. | 228 |
| Soſipater | I. | 255 | Timocreon | I. | 80 |
| Speuſippus | I. | 109 | Timon Miſanthropus | I. | 86 |
| Strato | III. | 68 | Traianus | II. | 241 |
| Sylla | II. | 66 | Troïlus | III. | 155 |
| Syneſius Philoſophus | III. | 155 | Tryphon | III. | 157 |
| Syneſius Scholaſticus | III. | 232 | Tymnes | I. | 256 |
| Thallus | II. | 150 | Xenocrates | II. | 59 |
| Theaetetus | II. | 227 | Xenocritus | II. | 233 |
| Theaetetus Scholaſticus | III. | 214 | *Zelotus* | III. | 108 |
| Themiſtius | III. | 112 | Zenobius | III. | 110 |
| Theo | III. | 113. 225 | Zenodotus Epheſius | II. | 61 |
| Theocritus Chius | I. | 117 | Zenodotus Stoicus | II. | 65 |
| Theocritus Syracuſanus | I. | 195 | Zoſimus | III. | 157 |

# Errata.

## T. I.

p. 18. LVII. 2. poſt ἄρχε comma ponendum.
p. 31. CVIII. 5. poſt πᾶι pone comma.
p. 49. in marg. lege T. III. p. 328. pro Lect. p. 388.
p. 59. IXa. lege in marg. Lect. p. 18.
p. 61. XVa. lege in marg. Lect. p. 25.
p. 109. III. lege: Ἀ σφραγίς pro Ασφραγίς.
p. 116. 44. lege: ἐνθάδε pro ἐνθάδε.
p. 122. IX. 2. lege Φλίας. pro Φλιδς.
p. 137. V. 9. dele colon poſt γένος.
p. 150. XXX. 2. lege: ἔθηκε pro ἔθηνε.
p. 174. lin. ult. lege: πνοιὴ ἅμα pro μία.
p. 211. V. 1. lege: μέλαινα. pro μέλαιν.
Ibid. ad VI. lege in marg. T. II. p. 525.
p. 236. II. 3. κυδιόωντα pro κυθιόωντα.

## T. II.

p. 6. III. 4. lege: νεῖται pro κεῖται.
p. 9. XVI. 2. Πίγρης pro Πίγρες.
Ibid. Lin. ult. adde: Scr. κραῦγις.
p. 10. XIX. 1. Λάδωνα pro Αάδωνα.
p. 28. LXXIX. 1. εὐαγέων pro εὐανέων.
p. 33. adde in marg. infer. XCII. 5. Scr. ἐφεδρεύουσιν.
p. 38. Lin. 3. εὐπλοΐην pro εὐπλωΐην.
p. 39. Inducendum eſt primum Damagetae Epigramma.
p. 51. XVIII. 1. Ἀρχεάνακτα. pro Ἀρχιάνακτα.
p. 65. Lin. penult. αἵρεσιν ἀτρέστ pro ῥέστ.
p. 73. Lin. ultima. adde: et τερμόνιον.
p. 77. Lin. ult. Lege: Vulgo: pro Cod. Vat.
p. 81. VII. 1. σύναιμοι pro σύναιμα.
p. 179. XXV. 1. Ητρία pro Η τρία.
p. 193. in marg. p. 210. pro: p. 161.
p. 210. LVI. 1. Ωραίας. pro Ορaίας.

p. 234. II. 2. καλύβην pro καλύβων.

p. 231. IV. 3. dele colon poſt [illegible].

## T. III.

p. 26. in marg. lege: p. 314. pro 214.

p. 60. IX. 2. ἔθηκα pro ἔθηκε.

p. 96. XIX. 4. Περίκλε pro Πλίκλε.

p. 113. Hoc loco inferenda erant eiusdem Theonis carmina, quae p. 225. leguntur.

## T. IV.

p. 53. XXXIX. 3. οἷά pro οἷς.

p. 55. XLIV. 2. comma poſt ὑφεικόμενον delendum.

p. 132. LXXVIb. 4. κἄν ἂν pro ἴον. poſt Σεμέλης pone comma.

p. 154. CLXXIX. 2. σὺν pro τύν.

p. 163. CCXXIV. 2. χεὶρ pro γείρ.

p. 166. CCXXXVIII b. lege in marg. Lect. p. 311.

Stanford University Libraries
3 6105 026 823 414

PA3458
A3
1794
v.3-4

Stanford University Libraries
Stanford, California

**Return this book on or before date due.**

JUN 1966